

44/75/21586(5)

Donum ocellissimi Amici probi pariter ac docti. Joann. Herrerae Nobilissimi Hispan. A.D. II. Non. Iul. An. ultimi saeculi. cIↄ IↄcIII. f. Castrimin

# ΣΤΕΦΑΝΟΣ ΠΕΡΙ ΠΟΛΕΩΝ.

# STEPHANVS DE VRBIBVS.

44/75/21586(5)

## Aldus Ro. Salutem dicit Ioanni Taberio Brixiensi.

Quantũ uoluptatis ceperim Taberi, cũ ĩ ista urbe Populosissima, nobiliss, q;
Brixia plurimos summo studio incũbere literis græcis te magistro accepi, non
facile dixerim. Video. n. longe melius, q̃ sperabam, cum imprimendis græcis li-
bris nauare operam cœpi, euenire. In quo illud sæpe cũ amicis admirari soleo,
cum iam tot annos omnia ardeant armis & christianorũ, & infidelium. (eodem
enim anno, quo uexari bello cœpit Italia, difficillimã hanc ego imprimendorũ
librorum prouinciã profuturus studiosis accepi) sic incensos homines ad studia
bonarum literarum, incendiq; in dies magis, ut inuitis bellis, & ĩter arma literæ,
quæ tot secula obrutæ iacuere, emergant. Nam non in Italia solum, sed etiam
in Germania. Gallia. Pannonia. Britannia. Hispania, & ubiq; fere, ubi romana
lingua legitur, non modo ab adulescentibus, iuuenibusq;, sed a Senibus quoq;
summa auiditate studetur literis græcis. Quamobrem & si pene opprimor labo-
ribus, mirifice tamen illis delector, Tum & gratulor studiosis omnibus, & maxi
me adulescentibus, ꝙ eo tempore nati sint, quo bonæ literæ reuiuiscunt, & mi-
hi admodũ gaudeo, ꝙ non frustra tantũ laboris tandiu sustinuerim, atq; eo sim
animo, ut nullo labore, nulla quã uis magna impensa ꝑterritus, ad longe maio-
ra in dies magis, magisq; accingar, succedantq; oĩa Iesu xp̃o fauente, feliciter.
Cum itaq; tu istic summa laude & græce, & latine publice q̃ plurimos doceas,
scripserisq; ad me supioribus diebus, ut quosdã græcos libros, q̃d esset eis opus
discipulis tuis, ad te mitterẽ, & tũc illos misi libenter, & nũc Stephanũ, q̃ de urbi
bus scripsit, damus libentissime, est. n. opus perq̃ utile, maxieq; necessariũ iis, qui
humanitati incũbunt ob historiarũ, poetarumq;, in quibus assidue uersantur,
lectionem, nam & urbes fere omnes, quæ apud eos ipsos historicos, poetasq; le-
guntur κατὰ στοιχεῖον eleganter docet, & quonã modo gẽtilia ab ipsis nomina de-
ducantur, ostendit. Adde, ꝙ eorum nominum orthographiam, in qua pluri-
mum errare solent græcarum literarum rudes, ex eo operæpretium est discere.
Quanq̃ illud doleo, non extare totum τῶν ἐθνικῶν στεφάνου opus. nam & abbreuia
tio est id, quod nos excudẽdum curauimus (Sic enim de Stephano apud Sudã.
ἑρμόλαος γραμματικὸς κωνσταντινουπόλεως γράψας τὴν ἐπιτομὴν τῶν ἐθνικῶν στεφάνου γραμμα
τικοῦ προσφωνηθεῖσαν ἰουστινιανῷ τῷ βασιλεῖ) & deest etiam in ea κ. μετὰ τῶν. ε. a fine. Item.
η. ι. λ. ν. ο. a prĩcipio. quapropter locus relictus est, ut si forte aliquãdo inueniatur,
insertari operi commode possit. Eum librum tibi dicamus Taberi suauiss. mu-
neriq; mittimus, ut cum sanctissimis moribus, optimisq; literis in ista urbe di-
gnissima, opulentissimaq; Brixia iuuẽtutem instituas, cognoscas te propterea a
nobis amari plurimum, sitq; hic liber apud te μνημόσυνον Amoris summi erga te
mei perpetuũ. Expecta breui Iulium Pollucẽ, & Thucydidem μετὰ τῶν παρα-
λειπομένων ξενοφῶντος, & alios quosdam. Vale. Vene. xv. cal. Apriles M. Dii.

Universitätsbibliothek Freie Universität Berlin

ἀπὸ τῆς ἐν αὐτῷ φυομένης ἄγνου. ἐπιπολάζει τε καὶ τοῦτο τὸ εἶδος παρ' ἕλλησιν. οἷον, σχοινοῦς, κυαμοῦς, πιτυωδοῦς, δαφνοῦς, σελινοῦς, ἐρικωδοῦς, ἀπὸ τῶν ἐν τοῖς τόποις φυομένων κατὰ τὸν ἐν ἀθήνησι δῆμον. τινὲς ἀχερδοῦς, φηγοῦς, μυῤῥινοῦς. ὁ δημότης ἀγνούσιος, ὡς ῥαμνούσιος, ἀπὸ τῆς γενικῆς, προσθήκῃ τοῦ ιος, τοῦ τ φυλασσομένου, ὡς ἐν τῷ σελινούντιος. ὀπούντιος. ἐλαιούντιος. τρεπομένου δὲ εἰς σ, καὶ τοῦ πρὸ αὐτοῦ ι ὑφαιρουμένου, ἁλιμούσιος, φηγούσιος, διακρίνεται ἡ ῥοπὴ τῷ ἀδιαιρέτῳ τοῦ πρωτοτύπου, ὅπερ ἀττικοὶ φυλᾶσι. παρ' αὐτοῖς γοῦν οὐ λέγεται ἀγνόεις, ἢ φηγόεις, ἢ μυῤῥινόεις. ὅθεν οὐ δὲ διὰ τοῦ τ λέγεται σιμούντιος. οὐ γὰρ ἀττικὰ ταῦτα. τὸ τοπικὸν, ἀγνουσόθεν. καὶ ἐν τόπῳ ἀγνοῦντι ἐν τοῖς ἄξοσιν, ἐπειδὴ ἀγνοῦντι θυσία ἐστὶ τῷ λεῷ. εἰς τόπον, ἀγνοῦντάδε.

A γνώνεια, πόλις θράκης, πλησίον ἀμφιπόλεως, ἄγνωνος κτίσμα τοῦ στρατηγοῦ τῶν ἀθηναίων. τὸ ἐθνικὸν ἀγνωνείτης, ὡς μαρωνείτης, τοῦ μαρώνεια, καὶ καυνωνείτης, τοῦ καυνώνεια, κατ' ἔλλειψιν τοῦ α.

A γνῶτες, ἔθνος κελτικῆς παρὰ τὸν ὠκεανὸν, ὡς ἀρτεμίδωρος.

A γορὰ, πόλις ἐν χεῤῥονήσῳ. ὁ οἰκητὴς ἀγοραῖος.

A γοραῖον τεῖχος, πόλις εὐρώπης ἐν ἑλλησπόντῳ. τὸ ἐθνικὸν, ἀγοραιοτειχίτης.

A γορησσὸς, πόλις καρίας, κτίσμα ἀργείων ἀποίκων. τὸ ἐθνικὸν ἀγορησσεὺς, ὡς τελμισσεύς. τυμνησσὸς, τυμνησσεύς. δύναται καὶ ἀγορήσιος, ὡς λυρνήσιος.

A γρα καὶ ἄγραι, χωρίον ἑνικῶς καὶ πληθυντικῶς. ἔστι καὶ τῆς ἀττικῆς πρὸ τῆς πόλεως, ἐν ᾧ τὰ μικρὰ μυστήρια ἐπιτελεῖται, μίμημα τῶν περὶ τὸν διόνυσον. ἐν ᾧ λέγουσι καὶ τὸν ἡρακλέα μεμυῆσθαι.

A γραῖοι, ἔθνος ἀράβιον, ὡς ἐν ἕκτῳ στράβων. ἔστι καὶ ἕτερον ἔθνος πλησίον ἀκαρνάνων, ὡς θουκυδίδης ἐν τρίτῃ. τὸ θηλυκὸν ἐπὶ τῆς χώρας, ἀγραΐα. λέγονται δὲ καὶ ἀγραεῖς, ὡς ἐρατοσθένης.

A γραυλὴ, δῆμος ἀθήνησι τῆς ἐρεχθηΐδος φυλῆς. τινὲς δὲ ἀγρυλὴ γράφουσιν ἄνευ τοῦ α. ἀγραυλῆθεν. θέλει δὲ τὸ α ἀπὸ ἀγραύλου τῆς κέκροπος θυγατρός. τρεῖς δὲ ἦσαν ἀπὸ τῶν αὐξόντων τοὺς καρποὺς ὠνομασμέναι, πάνδροσος, ἕρση, ἄγραυλος. ἔστι δὲ καὶ πόλις ἀθηναίων ἄποικος ἐν σαρδοῖ, ἀπὸ τοῦ δήμου κληθεῖσα ἀγρυλή. ὁ δημότης, ἀγραυλεύς. καὶ ἀγρυλῆθεν ἐκ τόπου. εἰς τόπον, ἀγραυλῶδε. δέχεται δὲ δύο τόνους. καὶ ἐν τόπῳ, ἀγρυλῆσι.

A γρη, πόλις λυδίας, ἡρωδιανὸς ἐν ἑνδεκάτῃ. τὸ ἐθνικὸν ἀγραῖος, ὡς ἀσκραῖος.

A γρίαι, ἀρσενικῶς ἔθνος παιονίας, μεταξὺ αἵμου, καὶ ῥοδόπης. παρὰ πολυβίῳ δὲ διὰ τοῦ α. εὑρέθη δὲ ἐν ὀκτωκαιδεκάτῃ. τὸ γὰρ τῶν ἀγραίων ἔθνος, λέγονται καὶ ἀγραῖοι τετρασυλλάβως, καὶ ἀγριεῖς, ὡς θεόπομπος. καὶ κτητικὸν, ἀγρικόν. λέγονται καὶ ἀγριᾶνες, ὡς ἐν τῷ ἐπιγράμματι γραφέντι εἰς νεοπτόλεμον πισίδην οὕτως, εἰμὶ νεοπτόλεμος κρεσσοῦ, τρισσῶν δ' ἐν ἀδελφῶν. ἔστασεν τλωεῖς κῦδος ἐμὸν δόρατος οὔνε

πισίδαις καὶ ἀγριᾶσι. ἡδ' ἀγριᾶνας καὶ γαλάτας τοσσοὺς ἀντιάσας στόρεσα. τὸ κτητικὸν ἀγριανικὸς, ὡς χάραξ ἐν δευτέρῳ χρονικῶν.

A γρισα, πόλις καρμανίας. ὁ πολίτης, ἀγρισαῖος, ὡς ἔδεσσα, ἐδεσσαῖος.

A γρὸς, τὸ χωρίον. ὁ οἰκήτωρ, ἀγρότης, καὶ ἀγρότις, καὶ ἀγροιώτης, καὶ ἀγρωτὴρ, καὶ ἀγρώτειρα, καὶ ἀγρώτης διὰ τοῦ ω μεγάλου, ὡς μαλλὸς, μαλλώτης, καὶ ἤπειρος, ἠπειρώτης. καὶ ἀγρώστης πλεονασμῷ τοῦ σ. καὶ συνθέτως ἄγροικος, καὶ ἀγροῖκος. ἀφ' ὧν παρώνυμον τὸ ἀγροικηρὸς, ὡς σιγηρός. καὶ ἀγροικηρὴν φύσιν. καὶ ἀγροιῶτις, καὶ ἀγρωστῖνος, καὶ ἀγρεῖος. καὶ ἀγρίτης, ὡς τόπος, τοπίτης. καὶ ἀγρέη διὰ διφθόγγου.

A γυιὰ, τόπος δηλῶν τὴν ἐν τῇ πόλει πορευτὴν ὁδόν. ἡρακλέων δὲ ὁ γλαύκωνος, παρὰ τὸ ἀΐσσω φησίν. ἔστι δὲ ὡς παρὰ τὸ ἀρπῶ, ἅρπυια, ὀρέγω, ὄρεγυια. ὁ τοπίτης, ἀγυιεύς. λέγονται καὶ ὀβελίσκοι θεοῖς ἀνειμένοι, ὡς εὔπολις. καὶ κατὰ συναίρεσιν ἀγυιέας, ἀγυιᾶς. λέγεται καὶ κίων ἀγυιεὺς εἰς ὀξὺ ἀπολήγων, ὁ πρὸ τῶν θυρῶν ἱστάμενος. ἀριστοφάνης θεσμοφοριαζούσαις. καὶ ὁ ἀπόλλων ἀγυιεὺς, καὶ ἀγυιάτης, τουτέστιν ὁ ἐφόδιος. καὶ θηλυκὸν ἀγυιάτις, ὡς καὶ τὰ προπύλαια τοῦ ἀγυιέως ἀγυιάτιδες λέγονται. τὸ τοπικὸν ἀγυιαῖος. σοφοκλῆς ἑρμιόνῃ, ἀλλ' ὦ πατρῴας γῆς ἀγυιαίου πέδον. ἔστιν οὖν τὸ μὲν ἀγυιεὺς, ἀπὸ τοῦ ἀγυιὰ, ὡς τρύφων φησὶν ἐν παρωνύμοις, πᾶν εἰς α θηλυκὸν ἰσοσύλλαβον ἔχει τῇ εὐθείᾳ καὶ τῇ γενικῇ τὸ παρώνυμον. μοψοπία, μοψοπιεύς. ὀρεστιεύς. φωκαεύς. θεσπιεύς. τὸ δὲ ἀγυιάτης, ὡς κορώνεια, κορωνειάτης. καρνάτ. καυλωνειάτ. τὸ δὲ ἀγυιαῖος, ὡς ἀγοραῖος.

A γυλλα, πόλις τυῤῥηνίας. λυκόφρων, ἀγύλλαν αὐσονῖτιν εἰσεκώμασεν. ἔστι δὲ κτίσμα τῶν ἐκ θετταλίας πελασγῶν. μετωνομάσθη δὲ καῖρε. θετταλῶν γὰρ κρατούντων τῆς πόλεως, προσελθών τις τῶν ἀπὸ λυδίας μετοικησάντων τυῤῥηνῶν, ἠρώτα τί ἂν εἴη τὸ ὄνομα τῆς πόλεως. τὶς δὲ ἀντὶ τῆς ἀποκρίσεως, τὸ χαῖρε εἶπεν. ὅθεν τυῤῥηνοὶ κρατή-

σαντες, Καῖρε προσηγόρευσαν. τὸ ἐθνικὸν καιρετάνοι, ὡς στράβων. ὁ πολίτης ἀγυλλαῖος. ῥιανὸς δὲ ἀγύλλιον εἶπε χαλκόν.

Αγύρηνα, πόλις σικελίας. τὸ ἐθνικὸν, ἀγυρηναῖος. διονύσιος δὲ τὸ ἀγύριον ἔφη.

Αγχιάλη, πόλις σικελίας, παραθαλασσία τῇ ταρσῷ, καὶ ζεφυρείῳ. ἔστι δὲ κτίσμα ἀγχιάλης τῆς ἰαπετοῦ θυγατρὸς, ὡς ἀθηνόδωρος περὶ τῆς αὐτοῦ πατρίδος γράφων, καὶ παρατιθεὶς διόδωρον τὸν γραμματικὸν συμφωνοῦντα πτολεμαίῳ βασιλεῖ. γίνεται δ' ἰαπετοῦ θυγάτηρ ἀγχιάλη, καὶ κτίζει πόλιν ἀγχιάλην, ἀγχιαλέα τὸν παρακείμενον ποταμόν. γεννᾷ δ' υἱὸν κύδνον, ἀφ' οὗ ποταμὸς κύδνος ἐν ταρσῷ. ὁ δὲ κύδνος, υἱὸν παρθένιον, ἀφ' οὗ ἡ πόλις μετωνομάσθη παρθενία. μεταπεσόντος δὲ τοῦ ὀνόματος, ταρσὸς ἐκλήθη. τινὲς δέ φασι σαρδανάπαλον δύο πόλεις κτίσαι, ἀγχιάλην σὺν ταρσῷ, οὗ ἐστι καὶ τὸ ἐπίγραμμα ὧδε, ταῦτ' ἔχω, ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος τερπνὰ πάθον. τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα, λέλειπται. σαρδανάπαλος ἀνακυνδαράξεω παῖς, ἀγχιάλην καὶ ταρσὸν ἔδειμεν ἐν ἡμέρᾳ μιῇ. ἔσθιε. πῖνε. παῖζε. ὡς τἆλλα τούτου οὐκ ἄξια τοῦ ἀποκροτήματος. λέγεται δὲ καὶ ἀγχιάλεια, ὡς διονύσιος ὁ περιηγητής. ὅθεν ὁ πολίτης ἀγχιαλεύς, ὡς σινώπη, σινωπεύς. ἔστι δὲ καὶ ἰλλυρίας ἄλλη, κτίσμα παρίων. παρ' ἣν κόλπος ἐνεστηλῶν λεγόμενος. ἐν ᾧ ἡ χρεία. ὁ πολίτης, ὁ αὐτός.

Αγχίση, πόλις ἰταλίας, ἀπὸ τοῦ προπάτορος ἀγχίσου, ὡς διονύσιος ἐν πρώτῃ περὶ ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν, ἀγχισεύς.

τὸ ἄλφα μετὰ τοῦ δέλτα.

Αδανα, κιλικίας πόλις οὐδετέρως. ταύτην ᾤκισαν ἄδανος, καὶ σάρος, ταρσεῦσι πολεμήσαντες καὶ ἡττηθέντες, ἀφ' ὧν ἡ πόλις ἀπὸ τοῦ ἡγεμόνος, ἄδανα. τὸν δὲ ποταμὸν κοίρανον καλούμενον, σάρον καλέσαντες. ἔστι δὲ ὁ ἄδανος γῆς καὶ οὐρανοῦ παῖς. καὶ ὄστασος. καὶ ἄνδης. καὶ κρόνος. καὶ ῥέα. καὶ ἰαπετός. καὶ ὄλυμβρος. ὁ πολίτης ἀδανεύς, ὡς γάργαρα, γαργαρεύς. τύανα, τυανεύς. ἔστι δὲ καὶ ἑτέρα πόλις ἐν μεσογείῳ τῆς εὐδαίμονος ἀραβίας, ὡς οὐράνιος φησὶν ἐν ἀραβικῶν τρίτῳ. ὁ ταύτης πολίτης οὐ δύναται ἀδανεὺς εἶναι. οὐ γὰρ ὁ τύπος ἀράβων, ἀλλὰ τῶν διὰ τοῦ .α. οὐδετέρων, ὁ διὰ τοῦ .ηνος. ζόαρα, ζοαρηνός. μήδαβα, μηδαβηνός. τάρφαρα, ταρφαρηνός. αὔαρα, αὐαρηνός. οὕτω καὶ ἀδανηνὸς, ἢ ἀδανίτης, ὡς αἴλινα, αἰλινίτης. ἡρωδιανὸς ἐν τετάρτῃ τῆς καθόλου. τὸ ἄδανις, καὶ θῆ μαλις, θηλυκόν. τὸ, αἰολίδος ἔχον. ἐπίσταμαι δὲ ὅτι καὶ ἀρσενικόν ἐστιν. οὕτω δὲ ἄνεμος καλεῖται, ἀπὸ θήβης πόλεως πνέων τῆς ἠετίωνος τοῦ πατρὸς ἀνδρομάχης. εἰ τοίνυν τοῦ ἀδανεὺς τὸ ἀδανεῖς, ὡς τὸ ταρσεὺς τὸ ταρσεῖς, ἔδει συνοξύνεσθαι, εἰ μὴ κατ' αἰολέας βαρύνεται, ὅπερ ἐπὶ τοῦ θήβανις εἴρηκεν, εἴ γε ὅλως ἐστὶν ἐθνικόν. ἔστι καὶ τρίτη πόλις πρὸς τῷ εὐφράτῃ. τὸ ἐθνικὸν περσικῷ ἔθει, ἀδανηνός.

Αδάρου πόλις, πόλις περσική, ὡς μαρκιανὸς ἐν περίπλῳ τοῦ περσικοῦ κόλπου. ὁ πολίτης ἀδαροπολίτης, ὡς ἡλιοπολίτης, ἡφαιστοπολίτης, τῷ τεχνικῷ λόγῳ, εἰ μὴ ὀφείλοι τῷ περσικῷ τύπῳ, ὡς καμβυσηνὸς, σωφηνὸς, παραιτακηνός. ἔστι δὲ καὶ ἄδαρα οὐδετέρως κώμη μεγάλη, τρίτη παλαιστίνης, μεταξὺ χαρακμώβων, καὶ ἀρεοπόλεως. ἴσως ἀπὸ τῆς περσίδος κληθεῖσα πόλεως. καὶ γὰρ φυλῆτες ἐν χαρακμώβοις βαβυλωνίων. τῶν δὲ ἀδάρων τὸ ἐθνικὸν, ἀδαρηνός.

Αδέρκων, πόλις ἰβηρίας, ὡς ἀσκάλων. τὸ ἐθνικὸν ἀδερκωνίτης, ὡς ἀσκαλωνίτης.

Αδιαβηνὴ, χώρα μέση τῶν ποταμῶν εὐφράτου, καὶ τίγριδος. ἥτις καὶ μεσήνη ὠνόμασται. τὸ ἐθνικὸν, ἀδιαβηνός.

Αδουλις, πόλις αἰθιόπων. οἱ δὲ, πανὸς νῆσον αὐτὴν καλοῦσι. καὶ τὰ μυσῶν βιβλία ἄδουλι, δίχα τοῦ .σ. σφάλμα δέ ἐστιν. ἄδουλις γὰρ ὀφείλει, ὡς ἡρωδιανὸς ἐν τοῖς εἰς .λις, τῷ ω παραληγόμενα. ὁ πολίτης ἀδουλίτης, ὡς ἀξωμίτης. καὶ ἀδουλιτικὸς τὸ κτητικόν.

Αδραμύττειον, πόλις τῆς κατὰ καΐκον μυσίας. ἡ γραφὴ διχῶς, διὰ τοῦ .τ. καὶ διὰ τοῦ .δ. καὶ διὰ διφθόγγου, καὶ διὰ τοῦ .ι. καὶ δι' ἑνὸς .τ. καὶ διὰ δύο, ἀλλὰ καὶ δι' ἑνὸς .τ. ὅταν ἔχῃ δίφθογγον, καὶ διὰ δύο τῷ .ι. μόνως. κέκληται ἀπὸ ἀδραμύττου κτίστου, παιδὸς μὲν ἀλυάττου, κροίσου δὲ ἀδελφοῦ, ὡς ἀριστοτέλης ἐν πολιτείαις, καὶ ἄλλοι. τινὲς δὲ ἀπὸ ἕρμωνος τοῦ λυδῶν βασιλέως. τὸν γὰρ ἕρμωνα, λυδοὶ ἄδραμυν καλοῦσι φρυγισί. οὐ δύναται δὲ ὡς ἡρωδιανὸς διὰ τὸ μὴ ἔχειν τὸ .τ. τὸ ἄδραμυς. ὁ πολίτης ἀδραμυττηνός. ὡς ἀρτακηνός. δατηνός. δακηνός. σεβαστηνός. λέγεται δὲ καὶ ἀδραμύττιον διὰ τοῦ .ι, ὡς κρατῖνος.

Αδραμύττις, νῆσος ἐν τῇ λυκίᾳ. τὸ ἐθνικὸν, ἀδραμυττίτης, ὡς ναύκρατις, ναυκρατίτης.

Αδράνη, πόλις θρακική, ἡ μικρὸν ὑπὲρ τῆς βερενίκης κεῖται, ὡς θεόπομπος. πολύβιος δὲ διὰ τοῦ .η τὴν μέσην λέγει ἐν τρισκαιδεκάτῃ, ἀδρήνη. τὸ ἐθνικὸν ἀδρηνίτης, ὡς συήνη, συηνίτης. σελήνη, σεληνίτης. τούτων τὰ μαρτύρια ἐν τοῖς οἰκείοις. δύναται δὲ καὶ ἀδρηναῖος, ὡς κυρηναῖος. μιτυληναῖος. πελληναῖος. δίδωσιν ἡ τέχνη καὶ τὸ ἀδρηνεύς, ὡς πελληνεύς.

Αδρανον,

# ΣΤΕΦΑΝΟΥ ΒΥΖΑΝΤΙΟΥ ΠΕΡΙ ΠΟΛΕΩΝ ΚΑΙ ΔΗΜΩΝ.

## Τὸ ἄλφα μετὰ τοῦ βῆτα.

α βαι, πόλις φωκική, ἀπὸ εὐθείας ἑνικῆς τῆς ἄβη. κέκληται δὲ ἀπὸ ἥρωος ἄβα. ἡρωδιανὸς δέ φησιν ὅτι τὸ ἄβας, ὅτε ἔθνος σημαίνει, περιττοσυλλάβως κλίνεται ἀεί. ὅτε δὲ ἐστὶ κύριον, καὶ ἰσοσυλλάβως, καὶ περιττοσυλλάβως. ἔστι δὲ καὶ πόλις ἰταλίας. ὡς οὖν ἀπὸ τοῦ ἀμύκλα ἀμύκλαι, οὕτως ἄβα, ἄβαι. λυκόφρων, Ποθοῦντες ἄμφισσάν τε, καὶ κνημῖδας ἄβας. τὸ κτητικόν, ἀβαῖος, καὶ τὸ ἐθνικόν. μηδεὶς δὲ περιττολογίαν ἡγείσθω τὴν παράθεσιν τῶν ἐθνικῶν διὰ τὸ ἀνόμοιον. δέρβη γὰρ φρούριον ἰσαυρίας. τὸ δὲ ἐθνικόν, δερβίτης, καὶ δερβαῖος, ὡς σιδήτης, καὶ πυλήτης, ὡς δειχθήσεται, ἀπὸ τοῦ σίδη, καὶ πύλη. ὡς καὶ ἄλβα, τὸ ἐθνικὸν, ἀλβανός. καὶ ἀλύβη, τὸ δὲ ἐθνικὸν, ἀλυβαῖος, καὶ ἀλυβεύς. τὸ θηλυκὸν, ἀλυβηΐς. καὶ ἀλυβήϊος τὸ κτητικὸν, ὡς βασιλήϊος. ἀλλὰ καὶ ἀλυβεύς, καὶ ἀρτάβη. καὶ ἀρτάκη, ἀρτακῖος, οὐκ ἀρτακαῖος. αἱ δὲ ἄβαι, πόλις φωκέων. ἔνθα ἱερὸν ἀπόλλωνος. ἦν δὲ τοῦτο μαντεῖον πρὸ τοῦ ἐν δελφοῖς. ἔστι δὲ ἄλλη ἄβα πόλις καρίας, ὡς ἡρωδιανὸς ἐν εἰκοστῷ βιβλίῳ. δύναται καὶ ἀβεὺς τὸ ἐθνικὸν, διὰ τὸν εἰθισμένον τοῖς καρικοῖς τύπον, ὡς δείξομεν.

Α βακαῖνον, πόλις σικελίας οὐδετέρως, καὶ παροξυτόνως. καὶ ἡ παραλήγουσα διὰ διφθόγγου, ὡς ἡρωδιανὸς ἐν ἑξκαιδεκάτῳ περὶ οὐδετέρων. λέγει δ᾽ εἶναι πόλιν καρικὴν, ἣν εὑρεῖν οὐκ ἠδυνήθημεν. σικελῶν δὲ μοῖρά τις ἐστί. τὸ ἐθνικὸν ἀβακαινῖνος, ὡς ἀκραγαντῖνος, ὃ οὐκ ἄηθες σικελῶν. μεταποντῖνος. λεοντῖνος. βρεντεσῖνος. τερεντῖνος. ἀρρητῖνος. ἀσωρῖνος. βρυκῖνος.

Α βαντις, ἡ εὔβοια. ὡς ἡσίοδος ἐν αἰγι
δευτέρῳ περὶ ἰοῦς, Νήσῳ ἐν ἀβαντίδι δίῃ. τὴν, πρὶν ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες. τὴν, τότ᾽ ἐπώνυμον εὔβοιαν βοὸς ὠνόμασέν νιν ζεύς. ἐκλήθη δὲ ἀπὸ ἄβαντος τοῦ ἀργείου, ἢ τοῦ υἱοῦ ποσειδῶνος, καὶ ἀρεθούσης, ὡς ἀριστοκράτης. τὸ ἐθνικὸν ὁμωνυμεῖ τῷ ἥρωϊ, ὡς, ἴων. θεσσαλός. ἀχαιός. τρώς. δαναός. λοκρός. τὸ δὲ τευκρὸς διήλλαξεν. ὀξύνεται γάρ. τὸ κτητικὸν, ἀβάντειος. ἢ τοῦ κυρίου, ἢ τῶν ἀβάντων. οὐ τόπου τινὸς ἀβαντίου, ὡς τὸ, βυζαντίου, ἀλλ᾽ ὡς θόας, θοάντειος. τὸ δ᾽ ὑάντιος ἐθνικὸν, συνέστειλεν ἀπολλώνιος ἐν τῷ ὑαντίου ὀγχηστοῖο. ἢ παρὰ λόγον, ὡς πυάντιον ἀγλαὸν υἱόν. δοκεῖ δ᾽ ἀπὸ τοῦ ἀβάντιος εἶναι τὸ ἀβαντιὰς, ὡς ἀπὸ τοῦ ἑλικώνιος, ἑλικωνιάς. ὀλύμπιος, ὀλυμπιάς. δήλιος, δηλιάς. τὸ δὲ ἀβαντὶς, ἀπὸ τῆς ἄβαντος γενικῆς, ὡς ἑλικωνὶς, τῆς ἑλικῶνος. βίστωνος, βιστωνίς. αὔσονος, αὐσονίς. ἴσως δὲ καὶ τὸ ἀβαντιὰς, ἀπὸ τοῦ ἀβαντὶς παρήχθη, ὡς ἀπὸ τοῦ λέσβος, λεσβὶς, λεσβιάς. ἀχαιὶς, ἀχαιϊάς. Ἀχαιϊάδων ἀπέπλων. μαρτυρεῖ δὲ τῷ προτέρῳ λόγῳ ἀπὸ τοῦ ἀβάντιος, ἀβαντιὰς, τὸ ἀβαντία θηλυκόν. ὅπερ κατὰ βαρβαρικὴν τροπὴν τοῦ β εἰς μ, ἀμαντία ἐκλήθη παρὰ ἀντιγόνῳ ἐν μακεδονικῇ περιηγήσει. καλλίμαχος δὲ μαντίνην, ὡς λεοντίνην αὐτὴν ἔφη. καὶ ἀμαντίνην ᾤκησαν ὠρικίην.

Α βαρνος, πόλις καὶ χώρα ἄκρα τῆς παριανῆς. ἡρόδοτος δὲ ἐν τετάρτῃ φησὶν ὅτι ἀβαρνὶς λέγεται. ἀλλὰ καὶ εἰς ος. ἀβαρνεῖς τοὺς κατοικοῦντας. ὡς παρὰ τὸ ἄψυρτος, ἀψυρτεῖς, κάμιρος, καμιρεῖς, ἁλὸς, ἁλιεῖς, τελμισσὸς, τελμισσεῖς, περὶ ὧν εἰρήσεται. τὸ δ᾽ ἀβαρνὶς, οὐ δύναται ἔχειν τοιοῦτον ἐθνικόν. τὰ γὰρ εἰς η, φιληδεῖ τῷ ιτης τύπῳ. ὡς μέμφη, μεμφίτης. τὸ δὲ μακειδὼς, καὶ χαλκειδὼς, καὶ χαλκηδοῦς, ἀπὸ γενικῆς προῆλθον. ἑκαταῖος δ᾽ ὁ μιλήσιος ἐν ἀσίας περιηγήσει, λαμψάκου ἄκραν εἶναί φησιν. ἔφορος δ᾽ ἐν τῇ πέμπτῃ λέγει κληθῆναι αὐτὴν ἀπὸ τῆς ἐν φωκίδι ἀβαρνίδος, ὑπὸ φωκέων τὴν λάμψακον κτιζόντων. ἀπολλώνιος, Περκώτην δ᾽ ἐπὶ τῇ, καὶ ἀβαρνίδος ἠμαθόεσσαν ἠϊόνα. τοῦτο δὲ σοφοκλῆς ὑπομνηματίζων, ἱστορεῖ τὴν ἀφροδίτην ἄμορφον ἐν λαμψάκῳ τεκοῦσαν τὸν πρίαπον ἀπαρνήσασθαι, καὶ τὴν χώραν ἀπαρνίδα καλέσαι. ἢ κατὰ παραφθορὰν, καὶ ἀβαρνὶς καλεῖται. ἔστι δὲ καὶ πόλις, καὶ χώρα, καὶ ἄκρα. εὕρηται καὶ διὰ τοῦ π, ἀβαρπὶς, ὡς παρὰ ἀρτεμιδώρῳ τῷ γεωγράφῳ. τὸ ἐθνικὸν, ἀβαρναῖος. καὶ θηλυκὸν, ἀβαρναίη. ἀραβίας. οὐράνιος ἐν ἀραβικῶν τρίτῳ μετὰ τοὺς ἀβαίους, χασαμῶνται ἀβασηνοί. καὶ πάλιν ἡ χώρη τῶν βασηνῶν σμύρνην φέρει, καὶ ὄσον, καὶ θυμίαμα, καὶ κέρπαθον. γεωργοῦσι δὲ καὶ πορφύρην ποίην εἰκέλην αἵματι τυρίου κοχλίεω. ὁ τύπος ὀξὺς καὶ ἐπιχώριος τοῖς ἄραψιν. ὡς μυδαβηνοὶ, ὀβοδηνοὶ, ἀγριηνοί. ἀλλὰ καὶ τοῖς ἀσιανοῖς ἅπασιν, ὡς ἀπολλώνιος ὁ τεχνικὸς ἐν τῷ περὶ παρωνύμων φησὶ, δι᾽ ἔθους εἶναι ταῦτα τοῖς ἐνθάδε τοῖς ἀσίας κατοικοῦσιν. ἀλλόζια δὲ τῶν εὐρωπαίων. οὐ γὰρ ἀπὸ πόλεως, ἢ δήμου, κατὰ τοῦτον ὠνόμασται τὸν τύπον.

Α βδηρα, πόλεις δύο· ἡ μὲν, θρᾴκης, ἀπὸ ἀβδή
ρου τοῦ υἱοῦ ἑρμοῦ, ἡρακλέους ἐρωμένου·
ὃν αἱ διομήδους ἵπποι διεσπάραξαν, ὡς ἑλ
λάνικος καὶ ἄλλοι φασίν· ἐκ ταύτης γὰρ
καὶ δημόκριτός ἐστιν ὁ φιλόσοφος· ἡ δὲ δευτέ
ρα, πόλις τῆς ἰβηρίας. πρὸς δὲ τοῖς γαδεί
ροις, ὡς ἀρτεμίδωρος ἐν δευτέρῳ γεωγρα-
φουμένων· ὁ πολίτης, ἀβδηρίτης· καὶ δὲ τοῦ
διόλκος, ὁ διολκίτης, καὶ τοῦ ὀξόρυγχος,
ὀξορυγχίτης· ἔφορος καὶ τὴν πόλιν ἄβ-
δηρον φησὶν, ἀφ᾽ οὗ τὰ ἄβδηρα· καὶ ἀπὸ τῶν
εἰς ·α· οὐδετέρων εὑρίσκεται, ὡς γάβαλα,
γαβαλίτης· τοῦ ἀβδηρίτης μέμνηται εὔ
δοξος ἐν τετάρτῃ περιόδων, καὶ παυσανί-
ας περιηγήσει, καὶ ἡρόδοτος ἑβδόμῃ· καὶ πολ
λαχοῦ ἑκαταῖος τε, καὶ πολλοί· πλεῖστοι δὲ
ἀβδηρῖται ἀπὸ τῶν πινακογράφων ἀναγρά
φονται, νικαίνετος ἐποποιὸς, καὶ πρωταγό
ρας, ὃν εὔδοξος ἱστορεῖ τὸν ἥττω καὶ κρείττω λό
γον πεποιηκέναι, καὶ τοὺς μαθητὰς δεδιδαχέναι
τὸν αὐτὸν ψέγειν καὶ ἐπαινεῖν· οὗτος οὖν ὁ πρω
ταγόρας, καὶ δημόκριτος, ἀβδηρῖται.

Α βίλη, πόλις ἐπὶ τῷ ἰορδάνῃ ποταμῷ· ἔστι δὲ
καὶ ἄλλη πόλις φοινίκης ἄβιλα, ἐξ ἧς ἦν δι
ογένης ὁ διασημότατος σοφιστής. οὐδετέρως δὲ
αὕτη ἡ πόλις ἄβιλα· τὸ ἐθνικὸν, ἀβιληνὸς, ὡς
γέβαλα, γεβαληνὸς, ἀρίνδηλα, ἀρινδηληνός

Α βιοι, ἔθνος σκυθικόν· ὅμηρος, γαλακτοφά-
γων ἀβίων τε δικαιοτάτων ἀνθρώπων· ἀ-
λέξανδρος δὲ ἐν τῷ περὶ εὐξείνου πόντου, ὡς
διόφαντος, εἶπεν οὕτω λέγεσθαι αὐτοὺς,
διὰ τὸ τὸν ἀβιανὸν ποταμὸν οἰκεῖν. δικαί
ους δὲ εἶπεν ὅμηρος, διὰ τὸ μὴ βουληθῆναι
μετὰ τῶν ἀμαζόνων ἐπὶ τὴν ἀσίαν στρα-
τεῦσαι· ἢ ὅτι βίῳ ἑδραίῳ οὐ χρῶνται, οὕτω
λέγονται, διὰ τὸ ἐφ᾽ ἁμαξῶν φέρεσθαι·
δίδυμος δὲ θρᾴκιον φησίν· αἰσχύλος
τε γαβίους διὰ τοῦ γ ἐν λυομένῳ προμη
θεῖ· Ἔπειτα δ᾽ ἥξεις δῆμον ἐν δικαιότατον
ἁπάντων καὶ φιλοξενώτατον γα
βίους· ἵν᾽ οὔτ᾽ ἄροτρον, οὔτε γατόμος τέμνει
δικέλλῃ ἄρουραν, ἀλλ᾽ αὐτόσποροι γύαι φέ
ρουσι βίοτον ἄφθονον βροτοῖς· ὁμοίως καὶ
φιλοστέφανος φησὶ, καὶ ἄλλοι. εἰσὶ δὲ σκύθαι·
οἱ πλείους δὲ τῶν ὑπομνηματιστῶν ἐπί-
θετα φασὶ τῶν ἀγαβῶν τὸ γαλακτοφά-
γων, καὶ τὸ ἀβίων ἐκλαμβάνοντες· οἱ μὲν, τὸ
μὴ βιαζομένων, διὸ καὶ δικαιότατοι· οἱ δὲ, ἄοι
κοι, διὰ τὸ μὴ ἔχειν ἡμῖν ὅμοιον βίον· οἱ δὲ, ὁμο
βίων, τουτέστιν ὁμοτρόπων· τοξόται δὲ οἱ αὐτοί·

Α βολλα, πόλις σικελίας· ὁ τόνος βαρὺς, ὡς
ἄγιλλα· τὸ ἐθνικὸν, ἀβολλαῖος, καὶ ἀβολλαία.

Α βοριγῖνες, ἔθνος ἰταλικὸν, ὡς ἰόβας ἐν
ῥωμαϊκῆς ἱστορίας πρώτῃ· μέχρις οὖν τοῦ τρω
ϊκοῦ πολέμου τὴν ἀρχαίαν ἀβοριγίνων
διέσωζον· λατίνου δὲ βασιλεύσαντος, οὕτω
προσηγορεύθησαν· τὰ αὐτὰ καὶ χάραξ·
εἰκὸς οἴεσθαι τινὰς τούτου τὴν κλίσιν ἀπὸ
τῆς ἀβοριγῖνος εὐθείας, ὡς λεοντῖνος, ἀ
κραγαντῖνος· ἀλλὰ διονύσιος ὁ ἁλικαρνα-
σεὺς, ἀβοριγῖνες, καὶ ἀβοριγῖσιν φησιν, ὡς
δελφῖσιν. ἔστι δὲ καὶ ἄλλη κλίσις ἐν χρησμῷ
κειμένη, ἣν αὐτὸς παρατίθησιν· ὡς γὰρ
ἀπὸ τοῦ ναῦται ναυτέων, οὕτως ἀβοριγῖ-
ναι, ἀβοριγινέων· ἔχει δ᾽ ὁ χρησμὸς οὕτω,
Στείχετε μαιόμενοι σικελῶν σατυρνίαν
αἶαν, ἠδ᾽ ἀβοριγινέων κοτύλην, οὗ νᾶσος
ὀχεῖται· οἷς ἀναμιχθέντες, δεκάτην ἐπέμ-
ψατε φοίβῳ, καὶ κεφαλὰς κρονίδῃ, καὶ τῷ
πατρὶ πέμπετε φῶτα· ἀλλ᾽ αὐτὸς τῷ χρη
σμῷ μὴ πειθόμενος, ταῖς προειρημέναις
ἐχρήσατο κινήσεσι.

Α βοτις, πόλις αἰγυπτία, ὡς ἑκαταῖος· τὴν
ἡρωδιανὸς φησὶ βαρύνεσθαι· ὁ πολίτης
κατὰ μὲν τὸ ἐπιχώριον, ἀβοτίτης, ὡς ναυ
κλαυτίτης, καὶ ναυκρατίτης· κατὰ δὲ ἑ-
καταῖον, ἀβοτιεὺς, ὡς μάκεις, μάκειος, μα
κριεὺς· χάλκις, χάλκιος, χαλκιεὺς· ἄβο
τις, ἀβότιος, ἀβοτιεύς.

Α βρεττίνη, χώρα μυσίας, ἀπὸ βρεττίας νύμ
φης· τὸ ἐθνικὸν, ἀβρεττηνὸς, ὡς ἀρριανός φησι.

Α βρινάται, ποντικὸν ἔθνος· ὁ δὲ τεχνικός
φησι καὶ μετὰ τοῦ ·ρ·, καὶ χωρὶς τοῦ ·ρ· λέγεσθαι.

Α βρος, ἔθνος πρὸς τῷ ἀδρίᾳ ταλαντίνων,
προσεχὲς τῷ χελιδονίοις, ὡς ἑκαταῖος·
βαρύνεται δὲ, ὡς κίμβροι· οὓς τινές φασι κιμμε
ρίους· σκόμβροι, καὶ οὗτοι ἔθνος, ὡς σοφοκλῆς.

Α βρότονον, λύκος ὁ ῥηγῖνος χωρίον οἴεται εἶναι·
στράβων δὲ ἐν ἑκκαιδεκάτῳ βιβλίῳ, πόλιν
φησὶ, καὶ ἄλλοι· πόλις δὲ λιβυφοινίκων· καλεῖ
ται δὲ καὶ νεάπολις, ὡς ἔφορος· τὸ ἐθνικὸν
οὐκ ἔστιν ἐν χρήσει· ἡ τέχνη δὲ ἐπινοεῖ ἐξ ὁ-
μοιότητος· ὡς δὲ ἄθμονον, ἀθμονεὺς, καὶ γάρ-
γαρον, γαργαρεὺς, καὶ σούνιον, σουνιεὺς, καὶ σι
γειεὺς, καὶ ἰλιεὺς, καὶ λευκωνιεὺς, καὶ παν
τικαπαιεὺς, καὶ δουλιχιεὺς, οὕτως ἀβροτο
νεύς· ὁ δὲ τῶν οὐδετέρων τύπος ἔσθ᾽ ὅτε τὸ ἐθνι-
κὸν διὰ τοῦ ·ηνος· ἔχει· ὡς πέργαμον, περ-
γαμηνὸς, εἰ μὴ ἀπὸ θηλυκοῦ τοῦ πέργαμος· ὡς
κύζικος, κυζικηνός· δυνατὸν δὲ καὶ ἐξ ἀβρο
τόνου φάναι τὸ ἐθνικόν· πολλὰ γοῦν τοιαῦ-
τα μάλιστα ἐν τοῖς δήμοις τῶν ἀθηναίων, ὡς
ἐξ οἴου δημότης, καὶ ἐκ κηδῶν, ὡς δειχθήσεται.

Α βυδοι, τρεῖς πόλεις· ἡ καθ᾽ ἑλλήσποντον τῶν μιλη
σίων ἄποικος, ὡς διονύσιος, σηστὸς ὅπη καὶ ἄβυ
δος ἐναντίον ἔρυμα ἔθεντο, καὶ ἡ κατ᾽ αἴγυ
πτον τῶν αὐτῶν ἄποικος, ἀπὸ ἀβύδου τινὸς
κληθεῖσα, καὶ ἡ κατὰ τὴν ἰαπυγίαν, ἢ ἰταλί
αν, ἣ οὐδετέρως λέγεται, ὡς φιλέας· ἔστι δὲ καὶ
ἰαπυγίας πολισμάτιον ἐν πευκετίοις, οὕτω

κατ᾽ ὀρθὴν λεγόμενον ἄβυδον. καὶ εἰ μὴ δ᾽
εἰκῆ τὴν ἄβυδον πατεῖν, παροιμία. ἤγουν,
μὴ καταθαῤῥεῖν αὐτῆς ἐπιβαίνειν. λαμβά-
νεται δὲ καὶ ἐπὶ τῶν εἰκαίων. οἱ δὲ τὴν ἐν
μιλήτῳ ἄβυδον οἰκοῦντες, διεβάλλοντο ἐπὶ
συκοφαντίᾳ, καὶ μαλακίᾳ. τὸ ἐθνικὸν, ἀ-
βυδηνός. λέγεται δὲ καὶ τὸ ἀβυδηνὸν ἐπι-
φόρημα, ἐπὶ τῶν ἀηδῶν. σημειωτέον δὲ ὅτι
τοῦ μὲν ἄραδος, ἀράδιος, καὶ τένεδος, τενέ-
διος, καὶ τενεδεὺς, καὶ λέβεδος, λεβέδιος,
τοῦ δὲ ἄβυδος, ἀβυδηνός. ἴσως διὰ τὸ πολυ-
σύχωρον. κυζικηνός. καὶ τὰ ὅμοια.

A βυδὼν ἀβυδῶνος, χωρίον μακεδονίας, ὡς
στράβων. τηλόθεν ἐξ ἀβυδῶνος ἀπ᾽ ἀξίου
εὐρὺ ῥέοντος. ὀξύνεται δέ. τὸ ἐθνικὸν, ἀβυ-
δώνιος, ὡς καλυδώνιος.

A βυλλοι, ἔθνος πρὸς τῇ τρωγλοδυτικῇ, ἔγγιστα
τοῦ νείλου, ὡς ἀπολλόδωρος δευτέρῳ περιη-
γήσεως.

A βώνου τεῖχος, πόλις μικρὰ πρὸς τῷ εὐξεί-
νῳ πόντῳ. ὁ πολίτης ἀβωνοτειχίτης, ὡς
γορδιοτειχίτης, τοῦ γορδίου τεῖχος.

Τὸ ἄλφα μετὰ τοῦ γάμμα.

A γάθεια, πόλις φωκίδος, ὡς ἑλλάνικος πρώ-
τῳ δευκαλιωνείας. ὁ πολίτης, ἀγαθεύς.

A γάθη, πόλις λιγυστίνη κελτῶν. σκύμνος
δὲ φωκαέων αὐτήν φησιν ἐν τῇ εὐρώπῃ. τιμο-
σθένης δὲ ἐν τῷ σταδιασμῷ ἀγαθὴν τύχην αὐ-
τήν φησιν. εἰ δ᾽ οὕτω λέγοιτο, καὶ ὀξύνοιτ᾽
ἄν, ὡς ἐπιθετικόν. ὡς τὸ ἡραῖον τεῖχος, καὶ
ἥραιον, καὶ ἑρμαῖος λόφος, καὶ ἕρμαιος. ἔστι δὲ
καὶ ἄλλη πόλις, ὡς φίλων, λυσίων, ἀπὸ λί-
μνης λυσίας. τάχα δ᾽ ἡ αὐτή ἐστι τῇ πρώτῃ,
ὡς εὐδόξιος. βαρύνεται δέ. τὸ ἐθνικὸν, ἀγαθῖ-
νος, ὡς ἀκραγαντῖνος. ἄβρων δὲ ἐν τῷ περὶ πα-
ρωνύμων τοῖς τοιούτοις καὶ αὐτὸ συνέμιξεν.
εἰ δὲ καὶ κύριον εἴη τὸ ἀγαθῖνος, οὐκ ἀπει-
κὸς σημαίνειν ἀμφότερα. φοινικοῦς δὲ καὶ κύ-
ριον, καὶ ποταμοῦ, καὶ ἐθνικόν. καὶ λίκαιος.
ὁμοίως θεσσαλὸς, καὶ σικανὸς, καὶ σικελὸς, καὶ
μυρία. εἰ δὲ μὴ ὡς ἐθνικὸν τὸ ἀγαθῖνος ἐκλί-
θη, τὸ οἰκήτορα λέξομεν ἀγαθαῖον τῷ κοινῷ
λόγῳ ἢ ἀγαθεὺς, ὡς θεσσαλονικεὺς, καὶ σιν-
ταρεὺς, καὶ βερενικεὺς, ἐπεὶ καὶ ἀγάθεια
τῆς ἀγάθης εὑρίσκεται παραγωγὴ, ὡς βε-
ρενίκεια, καὶ θεσσαλονίκεια. ἔστι καὶ νῆσος
ἀγάθη λυκίας. τὸ ἐθνικὸν ὤφειλεν ἀγαθεύς.
ἡ δὲ χώρα τῷ εἰς ευς τύπῳ χαίρει, ὡς πα-
ταρεύς. τλωεύς. τελμισεύς. κρυεύς.

A γαθοῦ δαίμονος, νῆσος ἐν τῇ ἰνδικῇ θαλάσ-
σῃ. τὸ ἐθνικὸν, κατὰ τέχνην ἐξ ἀγαθοῦ δαί-
μονος, διὰ τὸ ἄπορον.

A γάθυρσα, πόλις σικελίας, ὡς πολύβιος
ἐννάτῃ. τὸ ἐθνικὸν, ἀγαθυρσαῖος. ὁ δὲ ἀήθης
ὁ τύπος τοῖς τὴν σικελίαν οἰκοῦσι. μεγαραῖος
γὰρ, καὶ ἐνναῖος, καὶ καταναῖός φασιν.

A γάθυρσοι, ἔθνος ἐνδοτέρω τοῦ αἵμου. κέκλην-
ται δὲ ἢ ἀγαθύρσου τοῦ ἡρακλέους, ἢ ὡς πεί-
σανδρος, ἀπὸ τῶν θύρσων τοῦ διονύσου. ὁ τό-
νος βαρύς. τὰ εἰς υς. ὑπὲρ δύο συλλαβὰς
ἔχοντα τὴν πρὸ τέλους εἰς ἀμετάβολον
λῆγον, βαρύνεται. μέγαρσος, πόλις σικε-
λίας. μαίμαρσος, πόλις ἴστρου. οὕτως ἀ-
γάθυρσος, καὶ κύριον, καὶ ἐθνικόν. λέγον-
ται καὶ ἀγαθύρσιοι κτητικῶς, ἢ ἐθνικῶς.
ἀπὸ δὲ τοῦ καβακησοῦ οἴεται δίδυμος κατὰ
συγκοπὴν καβασσός. πόλις δὲ αὕτη ὀθρυ-
ονέως, περὶ ἧς βιβλίον ὅλον συνέγραψε.
δειχθήσεται δὲ ἐν τῷ περὶ αὐτῆς λόγῳ τοῦ-
το ψεῦδος.

A γαμήδη, τόπος περὶ πύῤῥαν τῆς λέσβου,
ἀπὸ ἀγαμήδης τῆς μακαρίας, τῆς καὶ πύῤ-
ῥας ἐπικληθείσης. ἔστι καὶ κρήνη ἀγαμήδη,
ὡς νικόλαος ἐννάτῳ. τὸ ἐθνικὸν, ἀγαμήδειος
κατὰ τέχνην, ὡς νικομήδειος.

A γάμεια, ἄκρα, καὶ λιμὴν περὶ τὴν τροίαν, ὡς
ἑλλάνικος ἐν δευτέρῳ. ἐκλήθη δὲ ἀπὸ τοῦ ἀ-
γάμου τὴν ἡσιόνην ὑπ᾽ αὐτοῦ παραδοθῆναι
τῷ κήτει. λέγεται δὲ καὶ ἀγάμη. ὡς πρέσ-
βεια, πρέσβη, καὶ τὸ βασίλεια κατὰ συνα-
λοιφὴν βασίλη, οὕτως ἀγάμεια, ἀγάμη. δύ-
ναται δὲ καὶ τὸ ἀγάμεια ἐκ τοῦ ἀγάμη, ὡς τὸ
πηνελόπεια, ἐκ τοῦ πηνελόπη. τὸ ἐθνικὸν,
ἀγαμεὺς, ὡς τῆς μαντινείας, μαντινεύς.
λέγεται καὶ μαντίνη κατὰ συναλοιφὴν παρ᾽
ἑκαταίῳ. καὶ ἀγαμείτης, ὡς σελείτης. εἴ-
ρηται δὲ ἡ ζέλεια, καὶ ζέλη. ὥστε εἶναι τοῦ
ἀγάμεια τὸ ἀγαμειάτης, ὡς τὸ ζελειάτης.

A γαμὸς, πόλις περὶ ἡράκλειαν τὴν ποντικήν.
ὠνόμασται δὲ ἀπὸ παλαιᾶς βασιλίδος, ἢ
στέρξασα παρθένον καὶ κυνηγεῖν
αὐτήν. ὁ πολίτης, ἀγάμιος.

A γβάτανα, πολίχνιον συρίας. ἡρόδοτος
τρίτῳ. οἱ δὲ νῦν, βατάνειαν αὐτὴν καλοῦσι. τὸ
ἐθνικὸν, βατανεώτης, ὡς ῥαφανέα, ῥαφανε-
ώτης. δημήτριος δέ φησιν ἀγβάτανα διττὰ,
τὰ μὲν, τῆς μηδείας, τὰ δὲ, τῆς συρίας. κτη-
σίας δὲ πανταχοῦ τῶν περσικῶν τὰ παρὰ
μήδοις ἀγβάτανα διὰ τοῦ α γράφει. παρὰ
δὲ τοῖς ἀρχαίοις, διὰ τοῦ ε. τὸ περσικὸν, ὡς
δειχθήσεται. παρὰ χάρακι δὲ καὶ αὕτη διὰ τοῦ ε,
ἣν καὶ ἐπιφάνειαν φασὶ κεκλῆσθαι. ἡρωδιανὸς
δ᾽ ἐν τῷ περὶ συντάξεως στοιχείῳ ἐγκρίνει
τὴν διὰ τοῦ κ γραφὴν, παραιτούμενος τὴν
διὰ τοῦ γ, λέγων οὕτω, μήποτε ἄρα παρακεῖν
δυνεύει τὸ β ὑποτετάχθαι τῷ γ. ἐν οἷς
ὑποτέτακται ἐν τῷ λάγβα, τὰ ὅρκια. τὴν
δὲ διὰ τοῦ γ γραφὴν, καὶ ἐν τῷ ε διασαφήσο-
μεν. καὶ ἑλλάδιος ἐν τῷ α στοιχείῳ παρέθετο.

τὸ ἐθνικὸν, ἀγβαταινηνός. τοῖς πέρσαις γὰρ συνήθης ὁ τύπος. λέγουσι γὰρ καμβυσηνοὺς, παραιταμηνοὺς, σοφηνοὺς, ὡς δειχθήσεται. καθ᾽ ἕλληνας δὲ, ἀγβατεύς. δείξομεν δ᾽ ἐν τῷ .β. ὅτι ἡ καθ᾽ ἡμᾶς βατάνεα, καὶ βατάνεια καλεῖται. καὶ τὸ ἐθνικὸν, βατανεῶται.

Α γγελὴ, δῆμος τῆς πανδιονίδος φυλῆς. ὁ δημότης, ἐπιρρηματικῶς ἀγγελῆθεν. ἐκ τόπου, χάρης κλεοχάρους ἀγγελῆθεν. εἰς τόπον, ἀγγελήνδε. ἐν τόπῳ, ἀγγελῆσιν. ὀξύνεται δὲ κατὰ δύο τρόπους, ὅτι δῆμου ὄνομα, ὡς τὸ περγασὴ, καὶ κηλὴ, καὶ ὅτι τὰ τοῦ .ελη. μονογενῆ ὑπὲρ δύο συλλαβὰς βαρύνεται, εἰ μὴ ἀπὸ φύσει μακρᾶς, ἢ θέσει ἄρχοιτο. σεμέλη. ἀγέλη. διὸ τὸ παντελὴ, καὶ ἀγγελή. τὸ τιμελὴ, σεσημείωται.

Α γησσὸς, πόλις θράκης, ὡς θεόπομπος ἐν τεσσαρακοστῇ ἑβδόμῃ. τὸ ἐθνικὸν ἀγήσσιος, ὡς ἀσπήσιος, ταρτήσσιος, ὡς δειχθήσεται ἐν τῷ περὶ ἢ ἀγησσίτης, ὡς ὀδησσίτης, διὰ τὸ ὁμοεθνές.

Α γιον, τόπος σκυθίας, ἐν ᾧ ἀσκληπιὸς ἐτιμᾶτο, ὡς πολυΐστωρ.

Α γκαρα, πόλις ἰταλίας, ὡς αὔλια, ἄδρια. τὸ ἐθνικὸν ἀγκαράτης, ὡς πολύβιος ὀγδόῃ.

Α γκυρα, πόλις γαλατίας. οἱ δὲ, φρυγίας αὐτὴν ἀναγράφουσιν. ἔοικε δ᾽ εἶναι φρυγίας, διὰ τὸ ἀμφοτέρων εἶναι. γαλατῶν γὰρ ἡ χώρα, ὅμορός ἐστι τῇ μεγάλῃ φρυγίᾳ. οἱ γὰρ ἀπὸ κελτικῆς γαλάται, ὡς στράβων φησὶ δωδεκάτῳ, εἰς ταύτους πλανηθέντες τοὺς τόπους, τριμερεῖς τε γενόμενοι, εἰς τοσαύτας μοίρας διενείμαντο τὴν χώραν. ἀπολλώνιος δ᾽ ἐν ἑπτακαιδεκάτῃ καρικῶν ἱστορεῖ μιθριδάτην, καὶ ἀριοβαρζάνην κελεύσαι τοῖς γαλάταις συμμαχήσαντας, διῶξαι τοὺς ὑπὸ πτολεμαίου σταλέντας αἰγυπτίους ἄχρι θαλάσσης. καὶ λαβὼν τὰς ἀγκύρας τῶν νεῶν αὐτῶν, καὶ μισθὸν τῆς νίκης εἰς πολισμὸν λαβόντας χώραν κτίσαι, καὶ ὀνομάσαι οὕτω. τρεῖς δὲ πόλεις ἔκτισαν, ἄγκυραν, ἀπὸ τοῦ κατὰ τὸν πόλεμον πλεονεκτήματος. τὴν δὲ, ἀπὸ πεσσινοῦντος τοῦ ἄρχοντος. τὴν δὲ ταουίαν, ἀπὸ τοῦ ἑτέρου ἄρχοντος. τὸ ἐθνικὸν, ἀγκυρανός. τὰ εἰς .νος. ἐθνικὰ ἐὰν ἀπὸ τῆς γενικῆς τοῦ πρωτοτύπου γένοιτο καθαρευούσης, τῷ .α. παραλήγει μακρῷ, καὶ μιᾷ συλλαβῇ τῆς γενικῆς περιττεύει, οὐκ ἀναστρέφοντος τοῦ λόγου. οὐ γὰρ ὅσα τὸ .α. κατὰ τὴν παραλήγουσαν ἔχει, ταῦτα ἐκ θηλυκῶν προῆκται. τοῦ μὲν προτέρου παραδείγματος, ἀσιανός. καρδιανός. ὀλβιανός. φασιανὸς, ἀπὸ τῆς φάσιος πόλεως. ζάλλιος, ζαλλιανός. σάρδιος, σαρδιανός. πάρειον, παρειανός. βόσπορος, βοσπορειανός.

ἀπὸ τῶν ἐθνικῶν, ἐθνικὸν, ὡς τὸ ῥοδίου, τὸ ῥοδιακὸς κτητικόν. καὶ σαμίου, τὸ σαμιακός. κίου, πόλεως μυσίας, κιανός. τίου, τιανός. καρείου, καρειανός. στηλυμβρείου, στηλυμβρειανός. ἡμάρτηται τὸ βοζυηνὸς, ἐὰν ἀπὸ τοῦ βόζυος γένηται. ἐντεῦθεν δὲ ὁ τύπος μιᾷ περιττεύει. σπανίως δὲ δυσὶν, ὡς τὸ ταυριανὸς, καὶ σκορπιανὸς, καὶ ζυγιανὸς, ἅπερ ἀπὸ τοῦ σκορπίου, καὶ ταύρων, καὶ ζυγῶν παράγειν ἐοίκασι, δυνάμενα καὶ αὐτὰ ἀπὸ προτέρων παράγεσθαι τοπικῶν, ζυγίων, σκορπίων, ταυρείων. πρόσκειται οὐκ ἀναστρέφοντος τοῦ λόγου, διὰ τὸ ἱππανός. καρμανός. καμπανός. γερμανός. βεττανός. ῥητανός. ἀφερκανός. ὀλβανός. ὑρκανός. οὐδὲν γὰρ τούτων ἀπὸ γενικῆς καθαρευούσης. ὁ δὲ ὅρος τὰ μέντοι μὴ καθαρεύοντα τὸ .η. θέλει παραλήγεσθαι, χωρὶς εἰ μὴ τὸ .ρ. παρεδρευόμενα διαφοροῖτο, καθάπερ ἐπὶ τοῦ ἀγκυρανὸς, καὶ θυατειρηνὸς, γερμανὸς, καὶ γαγγρηνός. ὧν τὰ μὲν, παρὰ τὴν ἄγκυραν συνεξέδραμε τῷ σωρανὸς, βοσπρανός. τὰ δὲ, ἀπὸ τοῦ θυάτειρα, καὶ τὰ γάγγρα παρῆκται. ἀλλὰ καὶ θηλυκῶς λέγεται ἡ γάγγρα, ὡς πολυΐστωρ φησὶν, αἰπόλον φάναι περὶ τὸν τόπον αἶγας νέμοντα. κτίσαντα οὖν πόλιν, οὕτως ὀνομάσαι. οὕτω γὰρ ὄνομα τῇ αἰγί.

Α γκύρειον, πόλις ἰταλίας. δύναται ὁ πολίτης ἀγκύρειος, ὡς βυζάντιος. ἢ ἀγκυρειεὺς, ὡς κιτιεύς. δουλιχιεύς. σιγειεύς. σουνιεύς. ἀλλ᾽ ἄμεινον διὰ τὸ τῆς χώρας ἔθος ἀγκυρειανὸς, ὡς ἀδριανὸς, εἰ μὴ ὡς παρὰ τὸ ῥήγιον, ῥηγῖνος, μεταπόντιον, μεταποντῖνος. ἰταλοὶ γὰρ μάλιστα τούτῳ χαίρουσι τῷ τύπῳ.

Α γκυρῶν, πόλις αἰγύπτου, ὡς ἀλέξανδρος ἐν τρισκαιδεκάτῳ αἰγυπτιακῶν. ὠνόμασται δὲ οὕτως, ἐπειδὴ λιθ ἔτεμνον, αἷς κατεχρῶντο ἀγκύρας. ἐκ δὲ τῆς παρακειμένης λατομίας, τὸ ἐθνικὸν ἡ τέχνη ἐκ τοῦ αἰγυπτίων ἔθους. ὡς γὰρ κυνῶν πόλις, κυνοπολίτης, λεόντων πόλις, λεοντοπολίτης, λύκων πόλις, λυκοπολίτης, λάτων πόλις, λατοπολίτης, οὕτως ἀγκυρῶν, ἀγκυροπολίτης.

Α γκὼν, πόλις πικεντίνων. ἴσως δὲ βαρύνεται κατὰ τοὺς ἐγχωρίους, ὡς αὔζων. τὸ ἐθνικὸν ἀγκώνιος, ὡς αὐζώνιος ὄνος, ἡ παροιμία. εὐφυεῖς γὰρ πρὸς μυλῶνας ἔχει λίθους. καλυδώνιος. λέγεται δὲ καὶ ἀγκωνίτης, ὡς ἀρτεμίδωρος.

Α γνοῦς, δῆμος ἐν τῇ ἀττικῇ τῆς δημηζιάδος φυλῆς. τινὲς δὲ τῆς ἀκαμαντίδος. ἢ ὡς φρύνιχος, τῆς ἀτταλίδος. ἐκλήθη δὲ ἀπὸ τῆς

ἐνοικοῦντας. τὸ δὲ δηλοῦν τὸ ἀζήμιον, προπερισπᾶται, καὶ διὰ τοῦ ι. ἐκ τῆς θωῆς. παρὰ τὸ ἀμφότερον, τὸ θηλυκὸν, ἀθωΐς. ἔστι δὲ καὶ ἄθως πόλις, ἐπὶ τῷ ἄθῳ. καὶ ὁ πολίτης ἀθωΐτης.

## τὸ ἄλφα μετὰ τοῦ ἰῶτα.

A ἶα, πόλις κόλχων, κτίσμα αἰήτου, θαλάσσης ἀπέχουσα στάδια τριακόσια, ἣν περιῤῥέουσι δύο ποταμοὶ, ἵππος, καὶ κυάνεος, ποιοῦντες αὐτὴν χεῤῥόνησον. ἔοικε δὲ τοὐναντίον ἐξ αὐτῆς ὁ αἰήτης εἶναι. ὡς ἀσία ἀσιάτης, οὕτως αἶα, αἰάτης, καὶ αἰήτης. ἔστι δὲ καὶ θετταλίας ἄλλη, ἧς μέμνηται σοφοκλῆς. τῆς μὲν προτέρας λέγων, εἰς αἶαν πλέων. τῆς δὲ δευτέρας, οὕτως, ἔστι τις αἶα θετταλῶν παγκληρία. ἔστιν αἶα καὶ μακεδονίας πηγὴ, ὡς ἀντίμαχος ἐν θηβαΐδι. τὸ ἐθνικὸν αἰαῖος, ὡς γαζαῖος. τὸ θηλυκὸν, αἰαία.

A ἰαμήνη, ναβαταίων χώρα, ὡς οὐράνιος ἐν αἰακιδῶν δευτέρῳ. τὸ ἐθνικὸν, αἰαμηνός.

A ἰανὴ, πόλις μακεδονίας, ἀπὸ αἰανοῦ παιδὸς ἐλύμου τοῦ βασιλέως τυῤῥηνῶν, μετοικήσαντος εἰς μακεδονίαν. τὸ ἐθνικὸν αἰαναῖος. ἰχναῖος γὰρ λέγουσι, καὶ ἐδεσσαῖος, καὶ βεῤῥοιαῖος.

A ἰανῖτις, ναβαταίων χώρα, οὐράνιος ἀραβικῶν δευτέρῳ. τὸ ἐθνικὸν, αἰανίτης. προκατελήφθη γὰρ ἐν πρωτοτύπῳ διὰ διφθόγγου. σοφοκλῆς δὲ αἰανῖα γράφει δίχα τοῦ ν.

A ἰβουδαι, νῆσοι πέντε τῆς πρεταννικῆς, ὡς μαρκιανὸς ἐν περίπλῳ. τὸ ἐθνικὸν, αἰβουδαῖος.

A ἰβουρα, πόλις ἰβηρίας, ὡς στράβων. ὁ πολίτης αἰβουραῖος, ὡς ἀρουραῖος. κόλουρα, κολουραῖος, πόλις περὶ πριώνην. ἄργουρα, πόλις εὐβοίας, ἀργουραῖος. ἴουρα, ἰουραῖος. καὶ σχεδὸν πάντα τὰ εἰς ρα. δύναται καὶ αἰβουράτης, ὡς αἴγειρα, αἰγειράτης, κίβυρα, κιβυράτης.

A ἰγάτης, αἰολίδος ἄκρα, ὡς στράβων, ἣ νῦν κανὴ καὶ καναὶ λέγεται. ἀρτεμίδωρος δὲ αἶξ εἶπε τὴν εὐθεῖαν, οὐκ ἀναλόγως. τὸ τοπικὸν, αἰγαῖος. καὶ τὸ πέλαγος. οὕτως ἐστὶ καὶ πόλις φοινίκων, ὡς ἑκαταῖος.

A ἰγαῖον πέλαγος. λέγεται καὶ ἀρσενικῶς αἰγαῖος πόντος. ἔστι καὶ αἰγαῖον πεδίον συνάπτον τῇ κίῤῥᾳ, ὡς ἡσίοδος. λέγεται παρὰ αἶγαν ποτὲ φερομένην, ἀπὸ τοῦ περὶ τὸ πύθιον ὄρους. ἀφ' οὗ καὶ τὸ πεδίον αἰγαῖον. αἰγαὶ πολλαὶ, πόλις κιλικίας, μακεδονίας, ἥτις καὶ μηλοβότειρα ἐλέγετο τῆς θρακησίων χεῤῥονήσου. καὶ ἡ ἐν μυῤῥίνῃ ἐν τῇ αἰολίδι. καὶ λυδίας, καὶ λοκρίδος, καὶ αἰτωλίας, καὶ εὐβοίας. ἃς ὅμηρος ἐν τῷ ν. τὸ ἐθνικὸν, ἀπὸ μὲν δισυλλάβου, αἰγαῖος. ἀπὸ δὲ τρισυλλάβου, εὕρηται καὶ οὕτως αἰγεάτης.

A ἰγειρα, πόλις ἀχαΐας. ἔνιοι ἀπὸ αἰγιαλέως τὴν χώραν αἰγίαλον φασὶ, τό, τε αἰγιαλ. καὶ ἔστιν αἴγειρα. τὸ ἐθνικὸν, αἰγειράτης. τὸ κτητικὸν αἰγειρατικὸς, ὡς πελλεάτης, πελλεατικός. παυσανίας δὲ ἕκτῳ λέγει τὴν ὑπερησίαν αἴγειραν μετονομάσθαι διὰ τοιαύδε αἰτίαν, ἣν ὅμηρος ὑπερησίην φησί. σικυωνίων στρατὸς ἀφίξεσθαι ἔμελλεν αὐτοῖς. οἱ δὲ, ἀθροίζουσιν αἶγας, καὶ τοῖς κέρασιν ἐδήσαν δᾷδας, καὶ ἐξάπτουσι διὰ τῆς νυκτός. νομίσαντες οὖν τὴν φλόγα τοῦ ἐπικουρικοῦ πυρὸς, ἔφυγον. οἱ ὑπερησιεῖς δὲ αἴγειρον τὴν πόλιν ὠνόμασαν. τὸ ἐθνικὸν ὁμοίως αἰγειράτης. καὶ θηλυκὸν, αἰγειράτις. φίλων δέ φησι κιλικίας πόλιν εἶναι αἴγειραν.

A ἰγείρουσα, πόλις τῆς μεγαρίδος, ὡς στράβων. λέγεται καὶ αἴγειρος, ὡς θεόπομπος πεντηκοστῇ ἕκτῃ. τὸ ἐθνικὸν αἰγειρεὺς, ὡς τῆς φιλίππου, φιλιππεὺς, ταρσοῦ, ταρσεύς. τῆς δ' αἰγειρούσης, αἰγειρουσαῖος, ὡς σκοτουσαῖος. ἢ αἰγειρούσιος, ὡς πιτυούσιος. ἔστι καὶ αἰολίδος πόλις αἰγείρουσα, ὡς ἡρόδοτος.

A ἰγεσταῖοι, οἱ θεσπρωτοὶ, ἀπό τινος αἰγέστου στρατηγοῦ, ὡς ἀμυμναῖοι, ἀπὸ ἀμύμνου.

A ἰγηΐς, φυλὴ τῆς ἀττικῆς, ἀπὸ αἰγέως τοῦ πανδίονος.

A ἰγηλοι, ἔθνος μηδικόν.

A ἰγιαλὸς, μεταξὺ σικυῶνος καὶ τοῦ βουπρασίου καλούμενος τόπος, ἀπὸ αἰγιαλέως τοῦ ἰνάχου, ὡς ἴστρος ἐν ἀποικίαις τῆς αἰγύπτου. ἔστιν ἕτερος αἰγιαλὸς προσεχὴς τῷ πόντῳ μετὰ τὴν κάραμβιν ἄκραν, ὡς ἀπολλώνιος. ἔχει δὲ καὶ κώμην ὁμώνυμον. ὅμηρος, κρῶμαν τ' αἰγιαλόν τε. γράφεται δὲ κρώμναν κοβίαντε. ἔστι καὶ θράκης αἰγιαλὸς παρὰ τῷ στρύμονι, ὡς ἑκαταῖος. ἔστι καὶ ἄλλος αἰγιαλὸς, μέγας καλούμενος. καὶ αἰθιοπίᾳ κατ' αἴγυπτον. τὸ ἐθνικὸν αἰγιαλεὺς, ἀπὸ τῆς αἰγιαλοῦ γενικῆς. ὡς ἀλεξάνδρου, ἀλεξανδρεύς. εὑρίσκεται δὲ καὶ αἰγιαλεὺς ἐπὶ ἰχθύος. τὸ θηλυκὸν, αἰγιάλεια. καὶ αἰγιαλὶς, παρὰ ἀλκμᾶνι. καὶ αἰγιαλίτης ἀρσενικῶς.

A ἰγικόρεως, οὐκ ἔστι δῆμος τῆς ἀττικῆς ὥς τινες, ἀλλὰ φυλὴ παλαιὰ μία τῶν τεσσάρων τῶν ἀπὸ ἴωνος. τέσσαρες δὲ ἐξ αὐτῶν, αἰγοκερεῖς. ἀργαδεῖς. γελέοντες. ὁ πολίτης. ἡ φυλὴ τοίνυν αἰγοκορίς.

A ἰγιλία, δῆμος τῆς ἀντιοχίδος φυλῆς. ὁ δημότης, αἰγιαλεύς. τὰ τοπικὰ, αἰγιαλιάθεν. αἰγιαλιάδε. αἰγιλιοῖ. ἔστι καὶ νῆσος μετα-

ξοῦ κρήτης καὶ πελοποννήσου αἰγιάλεια. ὁ οἰκήτωρ, αἰγίλιος, ὡς κυθήριος.

Αἰγίλιψ, πλησίον κροκυλείας τῆς ἠπείρου. ὅμηρος, καὶ κροκύλειαν ἐνέμοντο, καὶ αἰγίλιπα τρηχεῖαν. εἴληχε δὲ τὴν προσηγορίαν διὰ τὸ πεζῶ δὴ εἶναι, καὶ ὑψηλὴ, καὶ ἀπρόσβατος. τὸ ἐθνικὸν, αἰγιλίπιος, ὡς κίνυφος, κινύφιος, ἄραβος, ἀράβιος, φρυγὸς, φρύγιος, καὶ τῶν ὁμοίων.

Αἰγίμορος, νῆσος λιβύης. τὸ ἐθνικὸν, αἰγιμορίτης. διὰ ἔθος γὰρ τοῖς λίβυσιν ὁ χαρακτήρ.

Αἴγινα, τρεῖς. νῆσος μία τῶν κυκλάδων, ἥτις οἰνώνη ἐκαλεῖτο. ὕστερον δὲ αἴγινα ἀπὸ τῆς ἀσωποῦ μὲν θυγατρὸς αἰγίνης, αἰακοῦ δὲ μητρός. ὁ πολίτης αἰγινεὺς, ὡς στράβων. ὡς οἱ πολλοὶ, αἰγινήτης. ὁ δὲ τῶν αἰγινητῶν φόρος, ἢ δοῦλος, αἰγινήτης. ὡς τῶν ῥόδιος, ῥοδιακός. αἰγιναῖος δὲ ὁ ἔποικος, ἢ κέραμος, ἢ ὀβολὸς, ἢ ἄλλο τι σκεῦος ἀπὸ αἰγίνης. καὶ τὸ θηλυκὸν, αἰγιναία λέγεται. καὶ γυνὴ αἰγιναία, ὡς δείναρχος ἐν τῷ κατὰ πυθέου ξενίας. τὸ θηλυκὸν τοῦ αἰγινήτου, αἰγινῆτις. σπάνια δὲ τὰ εἰς της. ἐθνικὰ διὰ τοῦ η. παραλήγεται ὑπὲρ τρεῖς συλλαβὰς βαρύτονα. εἰσὶ δὲ ταῦτα, αἰγινήτης, μαλειήτης. ἔστι δὲ τύπανον ἀπολικὸν κορμιήτης. τὸ δὲ πολιήτης πλεονασμὸν ἔχει τοῦ η. ὡς τὸ μυθιήτης, ὅπερ οὐδὲ ἐθνικὸν, καὶ τὸ ἰουλιήτης, ἀπὸ τοῦ ἰουλίτης. τὸ δὲ βαρδηλιήτης, καὶ μασσαλαΐτης, τέτρασύλλαβα. τὸ δὲ κωμήτης, σιδήτης, λιμνήτης, τρισύλλαβα. ἀπὸ τοῦ αἰγινήτης, αἰγινητικὸν τὸ κτητικὸν, καὶ αἰγινητικὸς, καὶ αἰγινητική.

Αἰγινήτης, πολίχνιον, καὶ ποταμὸς παφλαγονίας. τὸ ἐθνικὸν ὁμοίως, διὰ τὴν τοῦ πρωτοτύπου ἀρχήν. ἔοικε δὲ τὸ ὄνομα δηλοῦν τὴν ἐν τῷ πόντῳ αἴγιναν. παφλαγονία γὰρ τῷ πόντῳ συνεχής.

Αἰγίνιον, πόλις ἰλλυρικῶν, ὡς στράβων. τὸ ἐθνικὸν, αἰγινιεύς.

Αἴγιον, πόλις ἀχαΐας, ὡς εὔδοξος ἐν ἕκτῃ. ὁ πολίτης αἰγιεὺς, ὡς ὁ χρησμός. ὑμεῖς δὲ αἰγιέες, οὔτε τρίτοι, οὔτε τέταρτοι.

Αἰγόσθενα, πόλις μεγαρίδος οὐδετέρως, ὡς παυσανίας. τὸ ἐθνικὸν ὤφειλεν αἰγοσθενεὺς, ὡς μεγαρεύς. πολύβιος δὲ αἰγοσθενίτην φησὶν, ὡς γάβαλα, γαβαλίτης. ἁρποκράτιος δὲ αἰγοσθένειαν αὐτήν φησι, καὶ φωκίδα πόλιν.

Αἰγὸς ποταμοὶ, πόλις ἐν ἑλλησπόντῳ. τὸ ἐθνικὸν, αἰγοποταμίτης.

Αἰγοῦσα, νῆσος λιβύης, κατὰ λίβυας λεγομένη καταστία. τὸ ἐθνικὸν, αἰγουσαῖος, ὡς σκολουσαῖος.

Αἴγυπτος, καὶ ἡ χώρα, καὶ ὁ ποταμός. ἐκλήθη ἀπὸ αἰγύπτου. ὡς χάραξ βήλου παίσων, καὶ ἀερίας τῆς καὶ ποταμίτιδος βασιλεύσας ἔτη τετταράκοντα τρία. τὸ ἐθνικὸν αἰγύπτιος, ὡς ἔχει τὸ ἰαμβεῖον. δεινοὶ πλέκειν τοι μηχανὰς αἰγύπτιοι. καὶ αἰγυπτιάζειν, τὸ πανοῦργα, καὶ δόλια, καὶ ὕπουλα πράττειν. τὸ θηλυκὸν, αἰγυπτία, καὶ τὸ αἰγύπτιον. ἐκλήθη καὶ μύαρα ἡ χώρα ὑπὸ φοινίκων, καὶ ἀερία, καὶ ποταμῖτις, καὶ ἀετία, ἀπό τινος ἰνδοῦ ἀετοῦ. τὸ ἐθνικὸν, ὅσον ἀπὸ τοῦ ὁμοίου, ἀετιεὺς, ὡς ἀεριεύς. ὅσον δὲ ἀπὸ τῆς ἐγχωρίου, ἀετίτης. ἀλλὰ καὶ ὠγυγία ἐκαλεῖτο, καὶ ὑπὸ μοχύμιος, καὶ μελάμβολος, καὶ ἡφαιστία. ἔστι δὲ καὶ ἄλλη αἴγυπτος μικρά.

Αἶγυς, πόλις λακωνική, ὡς εὐφορίων. οἱ πολῖται αἰγύται, ὡς παυσανίας. λυκόφρων δὲ τὸ ἐθνικὸν αἴγυος, τὸ θηλυκὸν λέγων οὔπω, καὶ πάντα τλήσεται οὕνεκ᾽ αἰγύας κυνὸς, τῆς θηλύπαιδος, καὶ τριάνορος κόρης. ὁ λόγος περὶ ἑλένης λακωνικῆς οὔσης, καὶ ἄρρενα μὴ τεκούσης τῷ μενελάῳ, καὶ ἀλεξάνδρῳ, δηϊφόβῳ γαμηθείσης. θεόπομπος δὲ αἰγυέας αὐτούς φησιν.

Αἰτώνεια, πόλις μηλιέων. λυκόφρων. ὧν οἱ μὲν αἰτώνειαν ἄθλιοι πάτραν. καὶ ἑκαταῖος. ῥιανὸς ἑκκαιδεκάτῃ αἰτώνην αὐτὴν λέγει. τὸ ἐθνικὸν, αἰτωνεύς.

Αἰτωσία, πόλις λοκρίδος, ἢ τόπος, ἢ χωρίον ἐντὸς τῆς πόλεως, ὡς ἐπαφρόδιτος. ὁ πολίτης, αἰτωσίτης.

Αἴδηψος, πόλις εὐβοίας. στράβων ἐννάτῳ. κεῖται δὲ κατὰ αἴδηψον τῆς εὐβοίας, ὅπου τὰ θερμὰ λουτρὰ ἡρακλέους. ἦν δὲ καὶ σιδηρᾶ, καὶ χαλκᾶ μέταλλα κατὰ εὔβοιαν. καλλίμαχος δαιδάλῳ, ἐν δὲ λάχαινε μὲν ἔργα σιδήρου. οἱ γὰρ εὐβοεῖς σιδηρουργοὶ χαλκεῖς ἄριστοι. ἐπαφρόδιτος δὲ μαρτυρεῖ ἐκεῖ χαλκὸν πρῶτον εὑρεθῆναι. καὶ πρῶτοι χαλκὸν ἐκεῖ ἐνεδύσαντο οἱ κούρητες οἱ μετὰ διὸς ἐλθόντες. οὓς φύλακας τῆς νήσου, καὶ τοῦ ἱεροῦ τῆς ἥρας κατέλιπον. ἀφ᾽ οὗ οἱ χαλκιδεῖς ὠνομάσθησαν. ὁ πολίτης, αἰδήψιος. καλλίμαχος ἑκάλῃ, ἀρκιος ἢ χείρεσσιν ἑλὼν αἰδήψιον ἄορ.

Αἰδούσιοι, σύμμαχοι ῥωμαίων πρὸς τῇ κελτικῇ γαλατίᾳ, ἀπολλόδωρος ἐν χρονικῶν δ.

Αἰζική, θράκης μέρος, ἑκαταῖος εὐρώπῃ.

Αἰθαία, πόλις λακωνικῆς μία τῶν ἑκατὸν, φιλόχορος ἐν ἀτθίδος τρίτῳ. τὸ ἐθνικὸν, αἰθαιεὺς, θουκυδίδης πρώτῃ.

Αἰθάλη, νῆσος τυρσηνῶν. ἑκαταῖος εὐρώπῃ. ἔοικε δὲ κεκλῆσθαι διὰ τὸ σίδηρον ἔχειν τὸν ἐν αἰθάλῃ τὴν ἐργασίαν ἔχοντα. φίλιστος δὲ ἐν ε. σικελικῶν αἰθάλιαν αὐτὴν καλεῖ, καὶ ἡρωδιανὸς, καὶ ὧρος. πολύβιος δὲ ἐν τριακοστῇ τετάρτῃ λέγει αἰθάλειαν τὴν λῆμνον καλεῖσθαι, ἀφ᾽ ἧς ἦν ὁ γλαῦκος εἷς τῶν τὴν κόλλησιν σιδήρου εὑρόντων. δύο γὰρ ἦσαν. οὗτος μὲν σάμιος, ὅστις καὶ ὑπὸ γον

ἀοιδιμώτατον ἀνέθηκεν ἐν δελφοῖς, ὡς ἡρόδοτος. ὁ δ' ἕτερος λήμνιος, ἀνδριαντοποιὸς διάσημος. ἐκαλεῖτο δὲ οὕτως ἡ πόλις, ἴσως ἐκ τῶν ἀναδιδομένων τοῦ ἡφαίστου κρατήρων. ἐκεῖ γὰρ ἀνωμολόγηται ταῦτα. τὸ ἐθνικὸν ἐκ τῆς αἰθάλεια, αἰθαλείτης, ὡς ζελείτης. ἐκ δὲ τοῦ αἰθάλη, αἰθαλίτης, ὡς σινωπίτης, ἰσοπολίτης. δύναται τὸ αἰθαλίτης ἀντὶ τοῦ χῖος. οὕτω γὰρ ἡ χίος ἐλέγετο. καὶ οἱ πολῖται, αἰθαλεῖς.

Α ιθαλίδαι, δῆμος τῆς λεοντίδος φυλῆς, ἀπὸ αἰθαλίδου. καὶ ὁ δημότης, αἰθαλίδης. οἱ δὲ, αἰθαλεῖς τοὺς δημότας. τὸ θηλυκὸν, αἰθαλίς. τὸ τοπικὸν, αἰθαλιδῶν. ἐς αἰθαλιδῶν. ἐν αἰθαλιδῶν.

Α ιθὴρ, ὁ ὑπὲρ τὸν αἰθέρα πεπυρωμένος τόπος. λέγεται καὶ θηλυκῶς. τὸ παράγωγον, αἰθέριος, καὶ αἰθερία. καὶ τῆς αἰθέρος, αἰθερίτης.

Α ιθικία, ὡς κιλικία, θεόπομπος τριακοστῇ ἐννάτῃ φιλιππικῶν. τὸ ἐθνικὸν, αἴθικες, ὡς κίλικες. ἐν θετταλίᾳ δ' ᾤκουν ἐν τῷ πίνδῳ ὄρει. μαρσύας δὲ μέσον τῆς τυμφαίας, καὶ ἀθαμανίας κεῖσθαί φησι τὴν χώραν. τὸ δὲ ἔθνος, ἐπιεικῶς παράβολόν τε, καὶ βάρβαρον, καὶ λῃστείαις ἐπιεικῶς προσκείμενον.

Α ιθίοψ, ὡς κίλιξ. αἰθίοπες, οἱ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν. οὐ γὰρ ἀληθὴς ὁ ὑψικράτους λόγος, ὡς οὐδὲν εἰς οψ. λήγει παρ' ὁμήρῳ, εἰ μὴ τὸ καλαῦροψ. εἰσὶ δὲ καὶ τὸ ὢψ, καὶ τὸ μέροψ. λέγεται καὶ αἰθιοπία γυνή. εὐριπίδης ἐρεχθεῖ, αἰθιοπίαν νιν ἐξέσωσας ἐπὶ χθόνα. καὶ αἰθιοπὶς, ὁ αὐτὸς ἐν ἀρχελάῳ, αἰθιοπίδος γῆς ἡνίκα τακῇ χιών. καὶ αἰθιοπηΐς, ἀπὸ τοῦ αἰθιοπεύς. ἐξ οὗ τὸ αἰθιοπῆας παρ' ὁμήρῳ. τὴν γὰρ αἰθιοπίαν γῆν πρώτην φασὶ παγῆναι. πρῶτοι καὶ θεοὺς ἐτίμησαν, καὶ νόμοις ἐχρήσαντο. ὀνομάζουσι δὲ τοὺς αἰτίους τούτων, μίθραν, καὶ φλεγύαν, ἄνδρας αἰθίοπας τὸ γένος, ὡς φαβωρῖνος περὶ τοῦ αἰθιόπισσα πλατύτερον ἐν τοῖς τῶν ἐθνικῶν προτεχνολογήμασιν εἴρηκεν.

Α ιθιόπιον, χωρίον λυδίας παρὰ ὕλλῳ, πλησίον τοῦ εὐρίπου. ἀφ' οὗ ἡ ἄρτεμις αἰθιοπία. οἱ δὲ, ὅτι παρὰ τοῖς αἰθίοψι διάγουσαν ἀπόλλων ἤγαγεν αὐτήν. οἱ δὲ, τὴν αὐτὴν τῇ σελήνῃ, παρὰ τὸ αἴθειν, ὡς καλλίμαχος. οἱ δὲ, ὅτι ἡ αὐτή ἐστι τῇ ἑκάτῃ, ἥτις ἀεὶ δᾷδας κατέχει, ὡς ἐρατοσθένης.

Α ιθουσεῖς, ἔθνος λιβυκὸν μαρμαρίναι πάροικον, ὡς ῥιανός.

Α ικαλον, φρούριον τῆς ἰταλίας, διονύσιος ἑκκαιδεκάτῳ ῥωμαϊκῆς ἀρχαιολογίας.

Α ἴλανον, πόλις ἀραβίας. ἧς ὁ πολίτης αἰλανίτης. τινὲς δὲ κόλπον αἴλα φασί. γλαῦκος δὲ κώμην αὐτὴν λέγει ἐν ἀραβικῶν τρίτῳ, τὰ πρὸς ἕω τῆς αἴλας. ὁ πολίτης, αἰλανίτης.

Α ιλια, πόλις παλαιστίνης, ἡ πάλαι ἱεροσόλυμα, ἀπὸ αἰλίου ἀδριανοῦ. ὁ πολίτης, αἰλιώτης, ὡς κασταλιώτης, ἰταλιώτης. τινὲς δὲ καὶ αἰλιεῖς αὐτοὺς καλοῦσιν, ὡς εὐδαίμων ἐν τῇ ὀρθογραφίᾳ διὰ τῆς ει διφθόγγου γράφων τὸ αἰλία, καὶ τὸ αἰλιεὺς διὰ τοῦ ι, ὡς τὸ σίγειον φησὶ, σιγιεύς. ἀλλὰ περὶ μὲν τοῦ σίγειον καὶ σιγιεὺς, διεχρήσατο ἐν τῷ οἰκείῳ. οὐ μέντοι ἔοικε τὸ παράδειγμα. εἰ γὰρ τοῦτο, ὤφειλε δισύλλαβον τὸ αἰλιεύς. παρὰ μίαν γὰρ συλλαβὴν εὑρίσκεται τὰ τοιαῦτα. τῆς ἀντιοχείας, τὸ ἀντιοχεύς. ἀλλ' οὐδὲ ἀπὸ τούτων γίνεται τὰ εἰς ευς ἀρσενικὰ, ἀλλὰ ἀπὸ τῶν εἰς ος. ἀπὸ γὰρ τοῦ ἀντίοχος, ἀντιοχεὺς, καὶ τοῦ σέλευκος, τὸ σελευκεὺς, ὡς ἄβρων περὶ παρωνύμων. εἰ γὰρ παρὰ τὴν ἀλεξάνδρειαν, ἦν ἂν ἀλεξανδρεύς. ἀμφοῖν δ' ὁ ἀλέξανδρος ἀρχή.

Α ιμωνία, ἡ θετταλία, ἀπὸ αἵμονος. αἵμων δὲ υἱὸς μὲν χλώρου τοῦ πελασγοῦ, πατὴρ δὲ θεσσαλοῦ, ὡς ῥιανὸς, καὶ ἄλλοι. αἵμων οὖν καὶ τὸ ἐθνικὸν, ὡς αὔσων, καὶ ἀρκάς, καὶ μαίων, καὶ ἴων, καὶ ὅσα τοιαῦτα ἐπὶ χωρῶν διὰ τοῦ ι προφερόμενα ἔχει προκατάρχοντα κυρίων. τούτοις ἐπιεικῶς ὁμοφωνεῖ τὰ ἐθνικά. κίλιξ τὸ κύριον, καὶ τὸ ἐθνικὸν, ὅτι κιλικία. φρύξ. ἀχαιός. καὶ τὰ ὅμοια. τὸ δὲ κρότων, ὡς κράννων, καὶ κολοφὼν, πόλεων ἐστὶν ὀνόματα. ὁ δὲ λόγος τῶν ὡς ἐπὶ τὸ πλεῖστον, διὰ τὸ αἴολος, αἰολία ἡ χώρα. καὶ τὸ ἐθνικὸν, αἰολεύς. ἡρωδιανὸς δέ φησιν ὅτι τοῖς συνοικισταῖς συνεχῶς ὁμοφωνεῖ τὰ ἐθνικὰ, δῆλον ὅτι καὶ γραφῇ, καὶ τόνῳ. τὸ τεῦκρος ὡς τριγενὲς ὠξύνθη. εὑρίσκεται καὶ πόλεσιν ὁμοφωνοῦντα τὰ τῶν κτιστῶν ὀνόματα, κάμιμος, καὶ ὁ κτίστης, καὶ ἡ νῆσος ὁμοίως. τροιζὼν. κολοφών. κόρινθος. κῶς. σικυών. κύρνος. λέσβος. ἔσθ' ὅτε καὶ ἐπὶ τῶν τριῶν εὑρίσκεται ἓν ὄνομα, κτίστου, πόλεως, καὶ ἔθνους, ὡς τὸ δάρδανος. λέγεται καὶ αἱμονιεὺς τὸ ἐθνικὸν, ὡς ἀμβρακιεύς. καὶ αἱμόνιος. καὶ αἵμονες εἰσί. καὶ αἱμονία, πόλις ἀρκαδίας, ἀπὸ αἵμονος τοῦ λυκάονος παιδὸς, ὡς παυσανίας ὀγδόῳ περιηγήσεως ἑλλάδος. τὸ ἐθνικὸν, ὁμοίως. οὕτως εὕρομεν τὰ τῆς χρήσεως.

Α ιμος, ὄρος θρᾴκης. λέγεται καὶ οὐδετέρως, ὡς οἱ πολλοί. ἐγένετο δὲ ὁ αἷμος υἱὸς βορέου, καὶ ὀρειθυίας, ἀφ' οὗ καὶ τὸ ὄρος.

Α ἴνεια, τόπος θρᾴκης, ὡς αἴπεια, ζέλεια, ἀπὸ αἰνείου. θέων αἰνειάδας ταύτην καλεῖ, ὑπομνηματίζων τὸν λυκόφρονα. αἰνείας δὲ μετὰ

τὴν ἰλίου πόρθησιν εἰς θράκην παραγενόμενος, καὶ ἔκτισε πόλιν αἰνειάδας, ὅπου τὸν πατέρα ἔθαψε. τὸ ἐθνικὸν, αἰνειεύς· ὃ καὶ παράσημόν ἐστιν, ὅτι μὴ ἐνδεῖ μιᾷ συλλαβῇ τοῦ πρωτοτύπου, ὡς εἴπομεν ἐν τῇ αἰλίᾳ. ἔστι καὶ αἰνεάτης, ὡς κορσέαι, κορσεάτης. ὑδρεῖαι, ὑδρεάτης. ὄρειαι, ὀρεάτης. κέγχρειαι, κεγχρεάτης, τοῦ ι συγκοπέντος. καὶ πόλις τυρρηνίας, ἧς οἱ οἰκήτορες αἰνεῖοι.

Α ινηθος, ὄρος. αἰσχύλος. τὸ ἐθνικὸν, αἰνήθιος.

Α ινία διὰ τοῦ ι, πόλις περραιβῶν. καὶ αἰνιᾶδες οἱ οἰκοῦντες. καὶ αἴνιος ποταμὸς αὐτῆς. λέγονται δὲ καὶ αἰνιεῖς. ἐκαλοῦντο δὲ ὡς μηλιεῖς οἱ αὐτοί. στράβων δ' ἐν τῇ τεσσαρεσκαιδεκάτῃ φησὶν ἐν τῷ πόντῳ αἰνιᾶνας ἄλλους εἶναι, οὓς καλεῖσθαι νῦν παρσίους. τὸ ἐθνικὸν, αἰνιάν. καὶ εἰ μὲν ἀπὸ τοῦ κυρίου αἰνιᾶνος γέγονεν, εὔλογος ἡ ὁμοφωνία αὐτοῦ. ὡς τὸ τρὼς, καὶ ἀχαιὸς, μὴ ὁμοφωνοῦντος τοῦ τευκρὸς, καὶ γυναικός. εἰ δὲ παρὰ τὴν πόλιν, εὑρεθήσεται πρότερον αἴνιος, ὡς τῆς λυκίας, λύκιος. εἶτα διὰ τὴν ὁμωνυμίαν τοῦ ποταμοῦ πρὸς διάκρισιν, αἰνιὰν γενέσθαι. ὡς μέγιστος, μεγιστάν. τὸ θηλυκὸν, αἰνιανὶς, ὡς βιστωνίς. καὶ τὸ κτητικὸν, αἰνιακὸς κόλπος.

Α ινος, πόλις θράκης, ἄψινθος καλουμένη. στράβων ζ. ἐν δὲ τῇ ἐκβολῇ τοῦ ἕβρου διστόμου ὄντος, πόλις αἶνος, καὶ κτίσμα κυμαῖον. κληθῆναι δὲ αὐτὴν, ὅτι πλησίον τῆς ὄσσης ἦν αἶμος ποταμὸς, καὶ κώμη ὁμώνυμος. ἡ δὲ ἀπὸ τοῦ αἴνου τοῦ γονέως ἀδελφοῦ δευτέρα. ἔστι καὶ πόλις θεσσαλίας τρίτη. ἔστι λοκρῶν τῶν ὀζόλων τετάρτη. καὶ κατὰ θάψακον καὶ τὸν εὐφράτην πέμπτη. ἔστι καὶ νῆσος παρακειμένη τῇ εὐδαίμονι ἀραβίᾳ. τὸ ἐθνικὸν αἴνιος, ὡς τήνιος. οὕτω γὰρ ἀναγράφεται ἐν τοῖς πίναξι. ταύτην ἀπολλόδωρος φησὶν ὠνομάσθαι πολτυμβρίαν. ἔστι καὶ τόπος αἶνος ἐν τῇ κατ' ἀντικρὺ ῥοδίων ἠπείρῳ.

Α ιξωνία, πόλις μαγνησίας. τὸ ἐθνικὸν, αἰξωνεύς. ἔστι καὶ αἰξωνὴ δῆμος κεκροπίδος φυλῆς ὀξυτόνως, ὡς εἴθισται πολλῶν τῶν δήμων. καὶ ὁ δημότης, αἰξωνεύς. τὸ θηλυκὸν αἰξωνὶς, ὡς ἀθμονίς. καὶ αἰξωνεύεσθαι, τὸ κατηγορεῖν. βλάσφημοι γὰρ καὶ συκοφάνται κωμῳδοῦνται. τὰ τοπικὰ, ἐκ τοῦ αἰξωνῆθεν. εἰς τόπον, αἰξωνάδε, καὶ αἰξωνάζε. καὶ ἐν τόπῳ, αἰξωνῆσι.

Α ιόλιον, τῆς θράκης χερρονήσου πόλις. θεόπομπος ἐν φιλιππικοῖς εἰκοστῇ τρίτῃ, ἐπορεύθην εἰς πόλιν αἰόλιον τῆς ἀττικῆς μὲν οὖσαν, πολιτευομένην δὲ μετὰ τῶν χαλκιδέων. τὸ ἐθνικὸν, αἰόλειος, ὡς ῥοίτειος, καὶ αἰολήϊος. δύναται δὲ τοῦτο καὶ ἀπὸ τοῦ αἰολεὺς εἶναι, ὅθεν καὶ τὸ αἰόλειον. ὥστε γενικὸν εἶναι τοῦ ἔθνους, καὶ ἰδικὸν τῆς πόλεως, ὡς ὁ ἠπειρώτης, καὶ ὁ πόντιος τῶν γενικῶν, καὶ τῶν ἰδικῶν.

Α ιολία, νῆσος αἰόλου. ὅμηρος, Αἰολίην δ' ἐς νῆσον ἀφικόμεσθα. τὸ ἐθνικὸν ὁμοίως, καὶ ὁμόφωνον τῷ οἰκιστῇ, ὡς θετταλὸς, ἰταλός. ἀλλὰ καὶ αἰολεώτης, ὡς σικελιώτης. λέγονται καὶ οἱ τὴν λέσβον οἰκοῦντες αἰολεῖς, ἀπὸ τῶν αἰόλου παίδων. ὡς δωριεῖς, ἀπὸ τῶν δώρου. ἀφ' ὧν αἱ αἰολικαὶ ἀποικίαι. οἳ καὶ αἰλίωνες ὀνομάζονται.

Α ιπεια, πόλις λακωνικῆς, ὡς ζέλεια. καλῶν τ' αἴπειαν, καὶ πήδασον. οὕτω καὶ ἡ κύπρου τρίτη, κρήτης ὡς ἑλλάνικος. τὸ ἐθνικὸν, αἰπεάτης, ὡς κορσεάτης, ὑβρεάτης. ἐπὶ δὲ τῶν τοιούτων ἐνίοτε μένοντος τοῦ ι, ἀφαιρεῖται τὸ α, ὡς δικαιαρχείτης, ταμαρείτης, ζελείτης. ἔσθ' ὅτε μένοντος τοῦ ε, ὑφαιρουμένου τοῦ ι, τὸ α, εἰς ω, ἀμείβεται. ὡς ἡρακλεώτης, μαρεώτης, καὶ ῥαφεώτης.

Α ιπυ, πόλις μεσσηνίας. καὶ θρύον ἀλφειοῖο πόρον, καὶ εὔκτιτον αἶπυ. ἀπὸ τῆς ἐρυμνότητος αἶπυ καλουμένη. τὸ ἐθνικὸν αἰπύτης, ὡς αἰγύτης.

Α ιραὶ, πόλις μακεδονίας. ἔστι καὶ ἄλλη ἰωνίας. τὸ ἐθνικὸν, αἰρεύς. τὸ δὲ τῆς μακεδονίας, αἰραῖος. ἔστι καὶ παρὰ ἑλλησπόντῳ. ἧς τὸ ἐθνικὸν αἰράτης παρὰ ἀνδροτίωνι ἐν ἕκτῃ ἀτθίδος.

Α ισα, πόλις θράκης, προσεχὴς τῇ παλλήνῃ. αἰσαῖος. καὶ αἶα, αἰαῖος.

Α ισύμη, πόλις θράκης. ὅμηρος, τόν ῥ' ἐξ αἰσύμηθεν ὀπυιομένη τέκε μήτηρ. τὸ ἐθνικὸν, αἰσυμαῖος, ὡς δύμη, δυμαῖος.

Α ισων, πόλις θεσσαλίας, ἀπὸ αἴσωνος τοῦ ἰάσονος πατρός. οὗ τὸ ὄνομα διὰ τοῦ ω κλίνεται, ὡς ἡσίοδος. τὸν δὲ αἰσονίδης, ἀπὸ τοῦ αἴσονος. ἡ δὲ φέρητα αἰεί. τὸ ἐθνικὸν, αἰσώνιος. καὶ φερεκύδης τὴν πόλιν αἰσωνίαν φησί. τῆς δ' αἰσωνίας τὸ ἐθνικὸν δύναται αἰσωνιεὺς, ὡς ὑριεὺς, ὀρθοσιεὺς, ἀφροδισιεὺς, δημητριεύς. καὶ αἰσωνιάτης, καὶ κυδωνιάτης, καὶ κροτωνιάτης. τὸ δ' αἰσώνιος, ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ. καὶ αἰσωνία. ὀξύτονον τὸ αἰσών. τὰ γὰρ εἰς ων δισύλλαβα ἐπὶ πόλεων, ὀξύνεται, εἰ μὴ διαστολὴν ἔχει σημαινομένου, ὡς τὸ κρότων βαρύνεται. ὀξυνόμενον γὰρ, δηλοῖ ζῷον. ἢ χαρακτῆρι ὑπάγοιτο, ὡς τὸ ἴτων, συναπενεχθὲν τῷ τρίτων. γείτων. βίτων. οἷον, ἠϊών. κραννών. γυρτών. νεών. σεσημείωται τὸ οὖλπων. ἔστι πόλις ἰταλίας. πάντων ἡ κλίσις διὰ τοῦ ω.

Αἴτνη,

Α δρανον, πόλις σικελίας ἐν τῇ αἴτνῃ, ποταμὸν ὁμώνυμον ἔχουσα. λέγεται καὶ ἀρσενικῶς ἄδρανος. ἀπολλόδωρος δὲ ἀδρανίτας φησὶ τὸ ἐθνικόν.

Α δράστεια, μεταξὺ πριάπου καὶ τοῦ παρίου, ἀπὸ ἀδράστου βασιλέως. ὃς καὶ πρῶτος ἱδρύσατο νεμέσεως ἱερόν. ἐκαλεῖτο δὲ καὶ ἡ χώρα ἀδράστεια, καὶ ἀδραστείας πέδον. καὶ ἡ πόλις οὕτω. διογένης ἐν πρώτῃ κυζίκου, φησὶν ἀπὸ ἀδραστείας κεκλῆσθαι μιᾶς τῶν ὀρεστειάδων νυμφῶν. τὸ ἐθνικὸν, ἀδραστεύς. οἱ δ᾽ ἐπιχώριοι, ἀδραστηνὸς, ὡς κυζικηνός φασιν. ἔστι δὲ καὶ τρῳάδος ἀδράστεια τόπος, ἀπὸ ἀδραστείας θυγατρὸς μελίσσου, τοῦ ἴδης τῆς πρῶτον βασιλευσάσης ἐν τροίᾳ, ὡς χάραξ ἑλληνικῶν δευτέρᾳ. τὸ δ᾽ αὐτὸ ἐστὶ χωρίον, καὶ ἐθνικόν.

Α δρία, πόλις. καὶ παρ᾽ αὐτὴν, κόλπος ἀδρίας, καὶ ποταμὸς ὁμοίως ὡς ἑκαταῖος. ἡ χώρα τοῖς βοσκήμασιν ἐστὶν ἀγαθὴ, ὡς δὶς τίκτειν τὸν ἐνιαυτὸν, καὶ διδυμοτοκεῖν πολλάκις, καὶ τρεῖς καὶ τέσσαρας ἐρίφους τίκτειν. ἐνίοτε δὲ καὶ πέντε, καὶ πλείους. καὶ τὰς ἀλεκτορίδας δὶς τίκτειν τῆς ἡμέρας. τῷ δὲ μεγέθει πάντων εἶναι μικροτέρας τῶν ὀρνίθων. ὁ πολίτης καὶ ὁ πάροικος, ἀδριανὸς, ὡς ἀσιανός. καὶ ἀδριάτης. οὕτως ἀδριατικὸν πέλαγος, ὡς τοῦ πτελεώτης, ὁ πτελεατικὸς οἶνος.

Α δροττα, οὐδετέρως χωρίον ἐν λυδίᾳ παραθαλάττιον, καὶ κατάκρημνον. οἱ οἰκήτορες, ἀδροττεῖς. τῶν γὰρ εἰς α. οὐδετέρων παρά τε τοῖς λυδοῖς, καὶ τὴν καρίαν οἰκοῦσι, χαίρει τῇ εἰς. ευς. ἐπὶ τῶν ἐθνικῶν. δύναται καὶ ἀδροττηνός. καὶ γὰρ ὁ τύπος τῶν ἀσιανῶν. καὶ οὕτως οἱ ἐπιχώριοι λέγουσιν.

Α δρύμης ἀδρύμητος, λιβύης πόλις. λέγεται καὶ ἀρσενικῶς, καὶ θηλυκῶς, καὶ οὐδετέρως. κέκληται ἀπό τινος ἀδρυμήτου, τῆς γενικῆς παραχθείσης εἰς εὐθεῖαν. καὶ τὸ ἐθνικὸν ἀδραμύτιος, ὡς βηρύτιος. ἄμεινον τὸ ἀδρύμης, καὶ ἀδραμύσιος. αἱ γὰρ ἀπὸ γενικῆς εὐθεῖαι δίχα ποιητικῆς φράσεως, σπανιώταται.

Α δρυξ, ὡς ἔρυξ, ἀρσενικὸν, πόλις συρακουσίων. τὸ ἐθνικὸν ἀδρυκῖνος, ὡς ἐρυκῖνος τοῦ ἔρυκος γενικῆς. καὶ ἀδρυκίνη, ὡς ἐρυκίνη ἀφροδίτη.

Α δυρχίδαι, λιβυκὸν ἔθνος, ὡς ἡρόδοτος.

τὸ ἄλφα μετὰ τοῦ ε ψιλοῦ.

Α ερία, ἡ αἴγυπτος, παρὰ τὸν ἀέρα. καὶ γὰρ ἠερόεσσαν αὐτήν φασιν. οἱ ἄνθρωποι, ἀέριοι. καὶ ἀερίτης, ἐκ τῆς ἀέρος γενικῆς ἐστί. καὶ κελτικὴ πόλις ἀερία, ὡς ἀπολλόδωρος ἐν χρονικῶν τετάρτῳ. ἔστι καὶ ἄλλη κρήτης οὐκ ἄσημος, ἣ ἐλέγετο νῆσος ἀερία, καὶ ἰδαία, καὶ δολιχὴ, διὰ τὸ μῆκος. ἐθνικὰ, τὰ αὐτά.

τὸ ἄλφα μετὰ τοῦ ζῆτα.

Α ζανία, μέρος τῆς ἀρκαδίας, ἀπὸ ἀζᾶνος τοῦ ἀρκάδος. οἱ οἰκήτορες ἀζανεῖς, καὶ ἀζῆνες, καὶ ἀζάνιος. καὶ ἀζανία. καὶ ἀζάνιον. εὔδοξος δὲ ἐν ἕκτῃ γῆς περιόδου φησὶν, ἔστι κρήνη τῆς ἀζηνίας, ἣ τοὺς γευσαμένους τοῦ ὕδατος, ποιεῖ μηδὲ τὴν ὀσμὴν τοῦ ὕδατος ἀνέχεσθαι. εἰς ἣν λέγουσι μελάμποδα ὅτε τὰς προιτίδας ἐκάθαιρεν, ἐμβαλεῖν τὰ ἀποκαθάρματα. ἔστι δὲ μοῖρα τῆς ἀρκαδίας ἡ ἀζανία. διῄρηται δὲ εἰς τρία. παρρασίους. ἀζᾶνας. τραπεζουντίους. καὶ ἔχει ἡ ἀζανία πόλεις ἑπτακαίδεκα, ἃς ἔλαχεν ἀζάν. ἔστι καὶ μασσαλίας ἄλλη, ὡς φίλων.

Α ζανοὶ, φρυγίας πόλις. στράβων δωδεκάτῃ, τῆς δ᾽ ἐπικτήτου φρυγίας ἀζανοί τέ εἰσι, καὶ νακώλεια. οἱ πολῖται, ἀζανῖται. τὸ θηλυκὸν, ἀζανῖτις. ἡρωδιανὸς ἐν πρώτῃ συλλαβῇ διὰ τῆς αι. καθόλου λέγων αἰζὴν ταντάλου παῖς. ἀφ᾽ οὗ ἐν φρυγίᾳ πόλις αἰζανοί. τινὲς δὲ ἀζάνιον αὐτήν φασιν. ἑρμογένης δέ φησιν, οὐ δεῖ οὕτως, ἀλλ᾽ ἐξανάτων αὐτὴν καλεῖσθαι. λέγεται γὰρ παρὰ τὸν τόπον ἀστροικίας εἶναι. λιμοῦ δὲ γενομένου, συνελθόντες οἱ ποιμένες, ἔθυον εὐφορίαν γενέσθαι. οὐκ ἀκουόντων δὲ τῶν θεῶν, εὔφορβος τὴν οὐανοῦν, ὅ ἐστιν ἀλώπηξ, καὶ ἔξιν, ὅ ἐστιν ἐχῖνος, θῦσαι τοῖς δαίμοσιν. εὐαρεστηθέντων δὲ τῶν θεῶν, εὐφορίαν γενέσθαι, καὶ τὴν γῆν πολυκαρπῆσαι. τοὺς γὰρ περιοίκους πυθομένους, ἱερέα καὶ ἄρχοντα αὐτὸν στῆσαι. ἐξ αὐτοῦ δὲ κληθῆναι τὴν πόλιν ἐξαγάνου. ὃ μεθερμηνευόμενον, ἔστιν ἐχιναλώπηξ. ἔοικε δὲ μεταλλοιῶσθαι ἐκ τοῦ ξοάνου τὸ ἀζάνιον. ἔστι γὰρ ὅμοιον τῷ βυθηνίῳ, περὶ οὗ ἐροῦμεν.

Α ζειῶται, ἔθνος τῆς τρῳάδος, ὡς ἑλλάνικος ἐν τοῖς περὶ λυδίαν λέγει. ἔοικε δὲ τὸ πρωτότυπον ἄζεια εἶναι, ἵν᾽ ᾖ ὡς μάρεια, μαρειώτης. ῥάφεια, ῥαφειώτης. λέγονται δὲ καὶ ἀζειοί.

Α ζηνία, ὡς πλωθεία, λουσία, δῆμος ἐν ἀττικῇ τῆς ἱπποθοωντίδος φυλῆς. ὁ δημότης ἀζηνιεὺς, ὡς ἀρχιεύς. τὸ τοπικὸν, δῆλον.

Α ζιλις, πόλις λιβύης. οἱ δὲ περὶ σαλούστιον, οὐ πόλιν, ἀλλὰ τόπον φασὶ καὶ ποταμὸν εἶναι. τινὲς δὲ ἄζιριν μετὰ τοῦ ρ λέγουσι τὸν χῶρον. χάραξ δὲ ἄξιρον λέγει αὐτήν. ὁ πολίτης ἀξιλίτης, ὅτι πρωτότυπον εἰς ις τῷ λυβικῷ χαρακτῆρι, καὶ αἰγυπτίῳ. καὶ ὡς κάνωβος, κανωβίτης. εἰ γὰρ οὐδετέρως ἄξιρον,

τὸ ἐθνικὸν ἀζωρεύς, ὡς σουνιεύς.

Α ζωρος, πόλις πελαγονίας, τῆς λεγομένης
τριπολίτιδος, ὡς στράβων, ἀπό τινος ἐκτι-
σμένη ἀζώρου. λέγεται καὶ πληθυντικῶς,
ἐν ἀζώροις. ὁ πολίτης ἀζωρείτης, ὡς ἀλω
ρείτης. πόλις δὲ μακεδονίας καὶ ἡ ἄλωρος. ἀρ
ρίανος δὲ ἀζώρειαν αὐτήν φησιν. ἢ ἀζωρειάτης,
ὡς βοττεάτης. ἢ ἀζωρεύς, ὡς ἀλεξανδρεύς.

Α ζωτος, πόλις παλαιστίνης. ταύτην ἔκτισεν
εἷς τῶν ἐπανελθόντων ἀπ᾽ ἐρυθρᾶς θαλάσσης
φυγάδων. καὶ ἀπὸ τῆς γυναικὸς αὐτοῦ ἄζας,
ὠνόμασεν, ὅ ἐστι χίμεραν. ἣν ἄζωτον μετέφρα
σαν. λέγεται καὶ ἀρσενικῶς. ἔστι καὶ ἄλλη πόλις
ἄζωτος ἀχαΐας. ὁ πολίτης ἀζώτιος, ὡς βη
ρύτιος, ἁλίαρτος. καὶ θηλυκῶς. ἐκαλεῖτο δὲ
καὶ πελωρεία, ἀπὸ τῶν σπαρτῶν ἑνὸς πελώ
ρου. καὶ ἀπὸ παιδὸς ἀζώτου, ἄζωτος.

Τὸ ἄλφα μετὰ τοῦ θῆτα.

Α θαμανία, χώρα ἰλλυριάς. οἱ δὲ, θετταλίας.
τὸ ἐθνικὸν, ἀθαμᾶνες.

Α θάρραβις, πόλις αἰγύπτου, ὡς καὶ ἡρωδια
νὸς ἐν τρίτῳ. ἀθαρραβίτης νόμος ἐν αἰγύπτῳ.
καὶ ἀθάρραβις πόλις. ἑκαταῖος δ᾽ ἐν δευτέ
ρῳ περιηγήσεως, δι᾽ ἑνὸς ρ. καὶ τοῦ μ, ἀθαραμ
βίτης νόμος. καὶ ἀθαράμβη πόλις. τὸ ἐθνικὸν,
ἀθαραμβίτου.

Α θῆναι, πόλεις κατὰ μὲν ὧρον, πέντε. κατὰ δὲ
φίλωνα, ἕξ. ἡ ἐν ἀττικῇ, περὶ ἧς φησι χάραξ,
ὅτι ὁ θησεὺς τὰς ἕνδεκα πόλεις τὰς ἐν τῇ ἀτ
τικῇ συνοικίσας, εἰς ἀθήνας συνοίκια ἑορ-
τὴν κατεστήσατο. ὁ πολίτης, ἀθηναῖος. καὶ
θηλυκὸν, ἀθηναία. ἡ δὲ θεὸς, ἀθηνᾶ, ἀθηναία λέγε
ται μονογενῶς. λέγονται δὲ καὶ αἱ γυναῖκες, ὡς
ἄλλοι μὲν πολλοί. φιλήμων δὲ οὕτως ἐν
πτερυγίῳ, Ναὶ δ᾽ ὅταν λάβῃ τις εἰς τὴν οἰ
κίαν τὰς ἱππονικὰς τάσδε, καὶ ναυσιστρά
τας, καὶ ναυσινίκας, τὰς ἀθηναίας λέγω. δί
δυμος δέ φησιν ὅτι ἀθηναίας λέγουσιν, ἀντὶ
τοῦ ἀττικάς. ὁ δὲ φρύνιχος ἀνάττικόν φη-
σιν εἶναι τὴν φωνὴν, καὶ θαυμάζει πῶς
ὁ φερεκράτης ἀττικώτατος ὢν, χρῆται. ἀ
στὰς δὲ τὰς γυναῖκας ἔλεγον, διὰ τὸ μὴ δύ
νασθαι λέγειν ἀθηναίας, ἀλλ᾽ ἐπειδὴ καὶ τοὺς
ἄνδρας ἀστοὺς ἐκάλουν. πρῶτοι γὰρ ἀθηναῖ
οι τὰ ἄστη καὶ τὰς πόλεις εὑρεῖν ἱστοροῦνται.
ὅθεν καὶ τὴν ἀκρόπολιν αὐτῶν, πόλιν ἐκά
λουν κυρίῳ ὀνόματι, ὡς ἀριστοφάνης, καὶ
προσκυνῶ γε πρῶτα μὲν τὸν ἥλιον, ἔπειτα σε
μνῆς παλλάδος κλεινὴν πόλιν. ἐλέγοντο
δὲ καὶ πατρωνυμικῷ τύπῳ, ὡς ἄβρων ἐν τῷ
περὶ παρωνύμων, ὅτι εἰσὶ διτταὶ προσηγο
ρίαι παρὰ ποιητῶν, ἀπό τε τῆς πατρίδος, καὶ
τοῦ συνοικιστοῦ. ἁλικαρνασσεῖς γοῦν ἀνθε
άδαι, καὶ φαλαντιάδαι, καὶ ταραντῖνοι
ἐλέγοντο, ἀπὸ τῶν διασημοτάτων παρ᾽ αὐ-
τοῖς. ἀθηναῖοι δὲ κοδρίδαι, καὶ κεκροπίδαι,
θησεΐδαι, ἐρεχθεΐδαι. καὶ ταύτας γε τὰς
κλήσεις τῶν ἀπὸ τῆς πατρίδος ἐντιμοτέ-
ρας ἐνόμιζον. δευτέρα, πόλις λακωνική. τρί
τη, καρίας. τετάρτη, λίγυστικος. πέμπτη, ἰ
ταλίας. ἕκτη, εὐβοίας, δίαντος κτίσμα, ὡς
ἔφορος τρίτῃ. ἄβαντος δὲ γίγνονται παῖδες, ἄλ
κων, καὶ δίας, καὶ ἀρέθουσα. ὧν ὁ μὲν δίας
κτίσας πόλιν, οὕτως ἀπὸ τῆς πατρίδος ὠνό
μασεν. ὁ πολίτης ἀθηναῖος, καὶ ἀθηναϊκός.
τὰς δ᾽ ἀθήνας καὶ διάδας λέγεσθαι. ἑβδόμη,
ἀκαρνανίας, ὡς δημήτριος ἀθηναίους ἐν τῷ
κουρήτιδι κτίζοντας πόλιν, ἀθήνας προ-
σαγορεῦσαι. τὴν γὰρ νῦν ἀκαρνανίαν, κουρῆ
τιν ὠνόμαζον. ὀγδόη, βοιωτίας, ἡ ἐκ τῆς
λίμνης ἀναφανεῖσα μετὰ τὸ πρότερον ἐ-
πικλυσθῆναι τῆς κωπαΐδος, ὅτε κράτης αὐ
τὴν διετάφρευσεν. ἐκλήθη δὲ ἡ πόλις ὥσ
τινές μέν φασιν, ἀθῆναι. ἄλλοι δὲ ὀρχομενός,
ὡς οἱ βοιωτοί. ἔστι καὶ ἐν τῷ εὐξείνῳ πόντῳ
χωρίον ἀθῆναι, ὡς ἀρριανός. ἔστι καὶ ἱερὸν
αὐτόθι ἑλληνικόν.

Α θλιβις, πόλις αἰγύπτου. ὁ πολίτης, ἀθλι
βίτης. νικάνωρ δ᾽ ὁ ἑρμείου, ἐν ἧ πρὸς ἀδρι
ανὸν γράφων διὰ τοῦ ρ. φησὶν ἄθριβις. οὕ
τω καὶ στράβων. ἔστι καὶ ἄλλη ἐν ἀραβίᾳ. τὸ
ἐθνικὸν, ἀθριβίτης.

Α θμονον, οὐδετέρως δῆμος τῆς κεκροπίδος
φυλῆς. τὸ μέντοι ἀθμονῆθε, καὶ ἀθμονῆσι,
δοκεῖ ἀπὸ τῆς ἀθμόνη εἶναι. τὸ ἐθνικὸν, ἀθ-
μονεύς. τὸ θηλυκὸν, ἀθμονίς. ἐν τόπῳ, ἀθμο
νοῖ. καὶ τὰ λοιπὰ ὁμοίως δῆλα.

Α θυμβρα, πόλις καρίας πρὸς μαιάνδρῳ,
ἀθύμβρου κτίσμα. ἥτις μετὰ ταῦτα νύσα
ἐκλήθη. τὸ ἐθνικὸν ἀθυμβρεύς, τῷ λόγῳ
τῶν καρικῶν.

Α θύρας, ἐπίνειον, καὶ ποταμὸς περὶ τὸ βυζάντι
ον. ἔστι δὲ καὶ κόλπος ἀθύρας. κλίνεται δὲ ἰσο
συλλάβως, ὡς εὐφορίων, Υ δατα δινήεντος
ἀμυσσάμενος ἀθύραο. τὸ ἐθνικὸν διὰ τῆς αι
διφθόγγου ἀθυραῖος, ὡς ῥήβας, ῥηβαῖος. ἔ
στι δὲ καὶ σκυθίας ποταμὸς ἀθύρας, ὡς νυμ
φόδωρος.

Α θως, ὄρος θράκης, ἀπὸ ἄθω γίγαντος, ὡς νί-
κανδρος πέμπτῳ τῆς εὐρωπείας, καί πως
ἄθω τόσον ὕψος ἰδὼν θρηΐκιος ὑπ᾽ ἀστροῖς ἔ
κλυσεν οὐδηθέντος ἀμετρήτῳ ἀπὸ λίμνης,
ὃς ἀνασποῦν χείρεσσι δύο ῥίπτεσκε βέλε-
μνα, ἠλιβάτου προθέλυμνα κατ᾽ ἀστραίης
πάρος ἀκτῆς. βάλλει δὲ ἡ σκιὰ τοῦ ὄρους
ἐπὶ σταδίους τριακοσίους. εἴρηται δὲ καὶ ἄθοος, ὡς τὸ
κῶς, κόος. λέγεται καὶ κατὰ συναίρεσιν,
ἄθου. ἡ κλίσις διττή, καὶ ἄθοος, καὶ ἄθως. τὸ
τοπικὸν ἄθωος, χωρὶς τοῦ ι. καὶ ἀθῷος, τοὺς

Αἴτνη, πόλις Σικελίας, ἀπὸ Κατάνης· Ἱέρωνος κτίσμα· ὁ οἰκήτωρ Αἰτναῖος· ἐκαλεῖτο δὲ πρὶν ἴνησσον.

Αἰτωλία, χώρα· ἀπὸ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος· ὃς ἐκπεσὼν ἀπὸ πίσης ὑπὸ σαλμωνέως, συνῴκισε τὴν ἀπ' αὐτοῦ κληθεῖσαν αἰτωλίαν· πρότερον δὲ ὑαντὶς ἐκαλεῖτο· τὸ ἐθνικὸν, καὶ αἰτωλὶς, καὶ αἰτώλιος· ἔστι καὶ αἰτωλία πόλις Πελοποννήσου· ἣν συγκαταλέγει ταῖς λακωνικαῖς πόλεσιν, Ἀνδροτίων ἐν ἀτθίδος· ὀξύνεται δέ. τὰ γὰρ εἰς ·ωλος· ἀρσενικὰ πρὸ τοῦ ·ω· τὸ ·τ· ἔχοντα, ὀξύνεται. κασωλός· παικτωλός· ἁμαρτωλός· τὸ σπαρτωλὸς, θηλυκόν ἐστι· καὶ τὸ μαυσωλὸς, οὐκ ἔχει τὸ ·τ· ἔστι καὶ αἰτωλὸς ἐπίθετον, παρὰ ῥῆμα τὸ αἰτεῖν· τὸ κτητικὸν αἰτωλικόν· λέγονται καὶ αἰτωλισταὶ, οἱ αἰτωλίζοντες, καὶ τὰ αἰτωλῶν φρονοῦντες.

Τὸ ἄλφα μετὰ τοῦ κάππα.

Ἀκαδήμεια, γυμνάσιον ἀθήνησιν, οὗ οἱ ἀκαδημαϊκοὶ φιλόσοφοι· κέκληται ἀπὸ Ἀκαδήμου. γράφεται καὶ διὰ τοῦ ·ε· ἐκαδήμεια· περὶ οὗ ἐν τῷ ·ε· λεξόμεθα· διὸ καὶ ἡ πλείων χρῆσις οὕτως.

Ἀκάκησιον, πόλις ἀρκαδίας· ἀπὸ Ἀκάκου παιδὸς Λυκάονος, ὡς Παυσανίας ὀγδόῃ. τὸ ἐθνικὸν ἀκακήσιος· ὡς ἀνακτόριος· βυζάντιος. ἀκακησιεύς· ὡς τυμνησσεύς. ἢ ἀκακήσιος.

Ἀκαμάντιον, πόλις τῆς μεγάλης φρυγίας· ἀκάμαντος κτίσμα τοῦ Θησέως· ᾧ συμμαχήσαντι πρὸς τοὺς σολύμους τὸν τόπον δέδωκε. τὸ ἐθνικὸν ἀκαμάντιος, ὡς βυζάντιος. τὸ δὲ κτητικὸν τοῦ ἀκάμαντος, διὰ τῆς ·ει· διφθόγγου· λέγεται καὶ ἀκαμαντὶς, ὡς βυζαντίς. Παρθένιος δ' ἐν Ἀφροδίτῃ, ἀκαμαντίδα αὐτήν φησι. ἐκαλεῖτο καὶ φυλὴ ἀκαμαντὶς τῆς ἀττικῆς, ὡς Σιμωνίδης.

Ἄκανθος, πόλις θρᾴκης· ἀκάνθαις πεφραγμένη ὑπὲρ τὸν ἄθω, ὅθεν κέκληται· ἢ ἀπό τινος Ἀκάνθου ὡς Μνασέας· ἔστι καὶ ἐν αἰγύπτῳ ἄκανθος, μέμφιδος ἀπέχουσα σταδίους, διακοσίους εἴκοσι. δευτέρα, τῆς ἀκάνθης τῆς θηβαϊκῆς ἄλσος ἐν μεγέθει· ἐξ ἧς καὶ τὸ κόμμι, συνάγεται. τρίτη, ἄλλη ἐν τῇ χερρονήσῳ παρὰ τὴν κνιδίαν· ἔστι καὶ ἡ ἀθαμανίας· τὸ ἐθνικὸν τῆς ἀκάνθου, ἀκάνθιος· ἐξ οὗ καὶ παροιμία, ἄκανθος τέττιξ, ἐπὶ τῶν ἀφώνων· τοιοῦτοι γὰρ οἱ τῆς χώρας τέττιγες, ὡς Σιμωνίδης. τὸ θηλυκὸν ἀκανθιάς. τῆς δὲ ἀκάνθου, ἀκανθοπολίτης· λέγεται γὰρ καὶ οὕτως ὁ πολίτης, ὡς λεοντοπολίτης. καὶ λυκοπολίτης· καὶ κυνοπολίτης· περὶ ὧν εἰρήσεται.

Ἄκαννα, ἐμπόριον περὶ τὴν ἐρυθρὰν θάλασσαν· τὸ ἐθνικὸν ἀκανναῖος, ὡς σαβαῖος· καὶ γεραῖος· καὶ ἐρυθραῖος, παρ' αὐτοῖς.

Ἀκαρνανία, χώρα κεχωρισμένη τῶν κουρήτων πρὸς τῷ ἀχελῴῳ· διὸ καλοῦνται οἱ μὲν κειρόμενοι, κουρῆτες· οἱ δὲ ἀκούρευτοι, ἀκαρνᾶνες· ἔνιοι δὲ, ἀπὸ ἥρωος τοὔνομα ἔχειν τὸ ἑκάτερον φῦλον· οἱ δὲ, ἀπὸ τοῦ ὄρους τοῦ κουρείου, τοὺς κουρῆτας εἶναί φασιν· οἱ δὲ, θηλυστολοῦντας ὡς αἱ κοῦραι τοὔνομα σχεῖν· εἶναι δὲ καὶ τοιοῦτόν τινα ζῆλον ἐν τοῖς ἕλλησιν, ὡς καὶ ἰάονας ἑλκεχίτωνας· καὶ κρώβυλον, καὶ τέττιγα ἐμπλέκεσθαι· καὶ τοὺς περὶ Λεωνίδαν κτενιζομένους τὴν κόμην, ὅτ' ἐξῄεσαν εἰς τὴν μάχην, καταφρονηθῆναι ὑπὸ Περσῶν· τὸ ἐθνικὸν ἀκαρνάν, ὡς αἰνιάν. ἀταντάν· ἀθαμάν· αἰζάν. ἁπλᾶ γάρ· τὸ πιτανόπαν σύνθετον, περὶ τοῦ δυμᾶν εἴρηται. ἐκ τῆς γενικῆς τῆς ἀκαρνᾶνος, ἀκαρνανία, ὡς κιλικία· φρυγία· καὶ τὸ θηλυκὸν ἀκαρνανίς.

Ἀκαρασσὸς, πόλις λυκίας, ὡς Καπίτων· τὸ ἐθνικὸν ἀκαράσσιος· καὶ ἀκαρασσεὺς, σύνηθες ἀεὶ τοῖς τὴν χώραν οἰκοῦσιν.

Ἀκάρρα, πόλις ἀχαΐας· τὸ ἐθνικὸν ἐκ τῆς τέχνης, ἀκαρραῖος, ὡς γεφυραῖος, κορκυραῖος· ἢ ἀκαρράτης ὡς αἰγειράτης.

Ἀκέλη, πόλις λυκίας· οἱ πολῖται, ἀκέλητες· τὸ θηλυκὸν ἀκελῆτις· ἔοικε δὲ λέγεσθαι, ἀπὸ Ἀκέλλου τοῦ Ἡρακλέους, καὶ Μαλίδος παιδὸς δούλης τῆς Ὀμφαλίδος, ὡς Ἑλλάνικος· Ἡρωδιανὸς, ἀκελήσιός φησιν· ὡς μενδήσιος· ὥστε ἀκέλης εἶναι, ὡς μένδης· ᾧ συνᾴδει μὲν ἡ λοιπὴ χρῆσις· Ἑλλάνικος, δ' εἶπεν εἰς πόλιν ἀκέλην· ἐχρῆν γὰρ ἀκέλητα εἶναι· ὁ γὰρ τεχνικὸς, τὰ διὰ τοῦ ·σιος· πάντα προπαροξύνεται. κἂν τὸ ·τ· ὑπάρχῃ πρὸ τοῦ ·ι·, πλὴν τῶν ζι βραχέων κυρίων.

Ἀκέσαι· πόλις μακεδονίας· τὸ ἐθνικὸν ἀκεσαῖος, ὡς πηγασαῖος· καὶ ἀκεσίτης, ὡς πηγασίτης.

Ἀκεσαμεναὶ, ὡς ἀλαλκομεναὶ, κλαζομεναὶ, πόλις μακεδονίας, ὡς Θεαγένης· κτίσμα Ἀκεσαμένου· ἑνὸς τῶν ἐν πιερίᾳ βασιλευσάντων· τὸ ἐθνικὸν ἀκεσαμένιος, ὡς κλαζομένιος.

Ἀκέστη, πόλις Σικελίας· ὡς ἔγεστα παρὰ τὸν ἀκέστην· τὸ ἐθνικὸν, ἀκεσταῖος τὸ θηλυκὸν, ἀκεσταία.

Ἄκη, πόλις φοινίκης· τὰ εἰς ·κη· λήγοντα δισύλλαβα τῶν πόλεων, ἢ χωρῶν βαρύνεται. αὕτη πτολεμαΐς, ἐκαλεῖτο· κοιλοσυρῖται δ' αὐτὴν ὠνόμαζον· Κλαύδιος δὲ Ἰούλιος ἐν τρίτῃ φοινίκων φησίν· ὅτι ἐκλήθη ἀπὸ Ἡρακλέους. χαλεπωτάτῃ δ' ὑπὸ Εὐρυσθέως ἐν ἐπιταγαῖς ἄλλων περιχυθεὶς, τῷ τῆς λερναίας ὕδρας

Ἰῶ τοῖς τῶν δηγμάτων ἐπονεῖτο ἕλκεσιν.
ἀνεῖλε δὲ τὸ δελφικὸν μαντεῖον, ἐπ' ἀναχ-
λᾶς ἰτέον, μέχρις ἂν τύχῃ ποταμῷ φύον-
τι πόαν τῇ ὕδρᾳ παραπλήσιον· ἐκείνης γὰρ
καταπλασσομένου, τῶν ἑλκῶν ἀπαλλαγή-
σεσθαι. εὗρε δὲ τὸν ποταμὸν, καὶ τὴν πυθό-
χρηστον πόαν· ἧς ὁ καρπὸς, ἤτε ῥίζα, πάντως
ἐστὶν ὁμοιώδης τῷ ποικίλῳ ταῖς κεφαλαῖς.
ὁπόσας γὰρ ἄν τις ἀποκείρῃ, φύονται αὖθις ἕτε-
ραι· κολοσσαῖον μὲν οὖν καλοῦσι τὴν ῥίζαν. τὸ
δ' ὑπὲρ γῆς πεφυκὸς κιβώριον ὄψιν ἰδίαν, ἐδώ-
διμον ὅ τε ταῖς φλέβαις παρέχων αἰγυ-
πτίοις· περὶ δὲ τὸν νεῖλον φύεται πολλή· ἡ
δὲ περὶ τὸν σῆλον ἕλκη θεραπεύει δυσίατα.
τριβομένη δὲ μετὰ τῆς ῥίζης, λευκὸν ἀναδί-
δωσιν ὀπόν· τούτῳ φησὶν Ἡρακλῆς ἰάθη· καὶ κα-
λέσαι τὴν πόλιν ἄκην. τὸ ἐθνικὸν, ἀκαῖος,
ὡς βαρκαῖος.

Α καβικὸν τεῖχος, πόλις περὶ τὰς ἡρακλεί-
ους στήλας· ἣν ἔκτισαν καρχηδόνιοι, ὡς ἐροῦ-
μεν ἐν τῷ περὶ σαλμύνης. ὁ πολίτης ἀκα-
βικοτειχίτης, ὡς γορδιοτειχίτης· καὶ χω-
λοτειχίτης, ὡς εὑρήσομεν ἐν τῷ χ.

Α κμόνια, πόλις φρυγίας, ὡς Ἀλέξανδρος ὁ
Πολυΐστωρ ἐν τρίτῳ περὶ φρυγίας. κτίσαι δ'
αὐτὴν Ἄκμονα τὸν Μανέως. ἔστι καὶ ἄλλο ἀκ-
μόνιον λεγόμενον, ὡς φερεκύδης. ἀκμονί-
της δὲ, ἀπὸ τῆς ἄκμονος γενικῆς ἀκμόνεια.
ἀφ' ἧς ἀκμονειάτης. ὥσπερ δέ μοι εἴρηται, ἐ-
πειδὴ τὰ εἰς ·ευς· ἀπὸ τῆς ·ου· γενικῆς γίνε-
ται, Ἀλέξανδρος, ἀλεξανδρεύς· ἢ ἀπὸ ἰσοσυλ-
λάβου γενικῆς· ἀπαμᾶς, ἀπαμεύς· ὑελᾶς,
ὑελεύς· ἔστι καὶ ἄλλο ἀκμόνιον ἄλσος περὶ θερ-
μώδοντα. ἐφ' οὗ μιγεὶς Ἄρης ταῖς ἁρμονίας
ἔσχεν, ὡς Ἀπολλώνιος ἐν δευτέρῳ· ὅθεν γὰρ κέ-
κληται, εἰρήσεται ἐν τῷ περὶ ὕαντος πεδίῳ.
τὸ ἐθνικὸν ἀμφιδοξεῖται. καὶ ἀκμονιεύς, καὶ
ἀκμόνιος.

Α κόναι, πολίχνιον πλησίον ἡρακλείας· λέγε-
ται κατὰ περίφρασιν ὁ οἰκῶν τὰς ἀκόνας.
τὸ ἐθνικὸν ἀκονίτης· τὸ θηλυκὸν ἀκονῖτις· οὕ-
τω γάρ τις νῆσος διαφέρουσα μὲν τῷ πανευ-
φήμῳ Πατρικίῳ, καὶ τῷ πάντα σοφωτάτῳ
μαγίστρῳ Πέτρῳ· κειμένη γὰρ καταντικρὺ τοῦ εὐ-
δαίμονος πόλεως χαλκηδόνος. ἐπικέκληται
δὲ διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ πρὸς ἀκόνας
πεποιημένων λίθων. λέγεται καὶ ἀκόνιον
δηλητήριον φάρμακον, ὡς Ἀθήναιος ἐν τῷ
Δειπνοσοφιστῶν· ὅτι τοὺς προφαγόντας τὸ πή-
γανον μηδὲν πάσχειν ἐκ τοῦ κωνείου. κληθῆ-
ναι δέ φασι, διὰ τὸ προφύεσθαι ἐν τόπῳ ἀκό-
ναις καλουμένῳ, ὄντι περὶ ἡράκλειαν.

Α κόντιον, πόλις ἀρκαδίας ἀπὸ Ἀκοντίου τοῦ
Λυκάονος. ἔστι καὶ ἑτέρα εὐβοίας. ὡς Ξεναγό-
ρας, καὶ Ἀνδροτίων, ὀγδόῃ. τὸ ἐθνικὸν ἀκον-
τιεύς, ὡς δολιχεύς. σουνιεύς. καὶ ἀκόντιος,
ὡς βυζάντιος. καὶ ἀνακτόριος.

Α κούτεια, πόλις ἰβηρίας, καθὰ Στράβων ἐν
τῷ τρίτῳ. τὸ ἐθνικὸν ἀκουτανοί, ὡς αὐτός. ἔοι-
κε δὲ τὸ ι. κατὰ πλεονασμὸν ἔχειν.

Α κρα, ἰαπυγίας πόλις, κατά τινας ὕδρουσα
λεγομένη. δευτέρα, ἔστι καὶ ἑτέρα ἐν αὐτῇ ἔ-
χουσα λιμένα βρεντήσιον. ἔστι καὶ ἐν Ἰταλίᾳ
τρίτη. ἔστι συρακουσίων κτίσμα. εὐβοίας ἕκτη.
σκυθίας ἑβδόμη. κύπρου ὀγδόη. ἀκαρνα-
νίας. τὸ θηλυκὸν ἀκραία. καὶ τὸ ἐθνικὸν ἀ-
κραῖος. ἐννάτη ἐστὶν ἄκρα, ὑπὲρ ἀντιόχειαν,
τὴν περὶ τὴν δάφνην. ἀκραῖται δὲ οἱ ἐξ αὐ-
τῆς ἐκαλοῦντο. δεκάτη ἐστὶ καὶ πέραν τοῦ τί-
γρητος ἄκρα. Ἀρριανὸς ἑκκαιδεκάτῃ.

Α κράγαντες, πόλεις πέντε. Σικελίας ἀπὸ πο-
ταμοῦ παραῤῥέοντος. φησὶ γὰρ Δοῦρις ὅτι αἱ
πλεῖσται τῶν σικελῶν πόλεων, ἐκ τῶν πο-
ταμῶν ὀνομάζονται. συρακούσας· γέλαν· ἱ-
μέραν. σελινοῦντα. καὶ φοινικοῦντα. καὶ ἐρύ-
κην. καὶ καμικόν. ἀλυκόν τε καὶ θέρμον, καὶ
καμαρῖναν, ὡς καὶ ἐν Ἰταλίᾳ. οἱ δὲ ἀπὸ ἀκρά-
γαντος τοῦ Διὸς, καὶ Ἀστερόπης τῆς ὠκεανοῦ.
ἔστι καὶ θρᾴκης. καὶ εὐβοίας. καὶ κύπρου. καὶ
αἰτωλίας. Πολύβιος δὲ τὸν ποταμὸν, καὶ
τὴν πόλιν ἀπὸ τῆς χώρας ὠνομάσθαι ἀ-
κράγης, διὰ τὸ εὔγειον. τὸ ἐθνικὸν ἀκραγαντῖ-
νος, ὡς ἰχανῖνος· ταραντῖνος, ὥς φησιν Ἡρω-
διανός.

Α κραιφία, πόλις βοιωτίας· οἱ δὲ, ἀκραίφιον.
Παυσανίας δὲ, καὶ οὐδετέρως. ἣν δ' ἀπὸ Ἀ-
θάμαντος κτισθεῖσα, ἢ ἀπὸ Ἀκραιφέως τοῦ
Ἀπόλλωνος. καὶ ὄρος κληθῆναι ἀπὸ Πτώου
παιδὸς αὐτοῦ καὶ Εὐξίππης. ἢ ὅτι Λητὼ ἐκεῖ
βουλομένη τεκεῖν, προσεπιφανεὶς ἐπτόησε.
τὸ ἐθνικὸν ἀκραιφιαῖος καὶ ἀκραίφιος. οὕ-
τω γὰρ Ἀπόλλων τιμᾶται. καὶ ἀκραιφιάς.
ὡς σουνιεύς, σουνιάς. καὶ ἀκραιφὶς λίμνη.
Ἔφορος δὲ καὶ ἀκραιφνίους καὶ ἀκραιφνεῶ-
τας. Θεόπομπος δὲ, τὰ ἀκραίφνιά φησι. τὸ
ἐθνικὸν ἀκραιφνιεύς.

Α κελλα, πόλις Σικελίας οὐ πόῤῥω συρακου-
σῶν. τὸ ἐθνικὸν ἀκελλαῖος, ὡς ἄγυλλα ἀ-
γυλλαῖος.

Α κρόθωοι, πόλις ἐπὶ τῆς ἄκρας τοῦ ἄθω.
τὸ ἐθνικὸν ἀκροθῶος, καὶ ἀκροθωΐτης. ἔστι γὰρ
παρὰ τὸ κρῶς. πόλις δέ ἐστιν ἀράβων. τὸ ἐ-
θνικὸν κρωΐτης. νόμος διὰ τοῦ .ω.

Α κροκόρινθος ἀρσενικόν. οἱ κατοικοῦντες ἀ-
κροκορίνθιοι. λέγεται δὲ, καὶ κορίνθιος ἁ-
πλῶς.

Α κροκύλεια, κεῖται ἐν τῷ .κ.

Α κρόπολις, πόλις λιβύας· ἔστι δὲ καὶ αἰτω-
λίας. ὁ πολίτης ἀκροπολίτης· δύναται
καὶ ἀκροπολιεύς, ὡς τετραπολιεύς.

Ἀκρώρεια, ἄκρον ὄρους· ἐν ᾧ οἱ οἰκοῦντες, ἀκρωρεῖται. οὕτω δὲ παρὰ σικυωνίοις ἐτιμᾶτο. ἐκαλεῖτο δὲ παρὰ μὲν σικυωνίοις, ἀκρωρείτης· παρὰ δὲ μεταποντίνοις, ὀρίφιλος. ἀπολλόδωρός φησιν.

Ἀκρώρειοι, πόλις τριφυλίας. τὸ ἐθνικὸν, ὁμόφωνον.

Ἀκτὴ, οὕτως ἡ ἀττικὴ ἐκαλεῖτο, ἀπὸ ἀκταίου τινός. ἀνὴρ δὲ ἦν αὐτόχθων, ὡς φαβωρῖνος, ὃς ἐβασίλευσεν ἐκεῖ, καὶ ἀφ' ἑαυτοῦ οὕτω τὴν χώραν ὠνόμασε, καὶ τοὺς λαούς. ἀπολλόδωρος δὲ τἀναντία φησίν. οὕτω γὰρ ἐκλήθη, διὰ τὸ πολὺ μέρος αὐτῆς κατατείνειν εἰς θάλασσαν. τριγώνου γὰρ οὔσης, αἱ συμβαίνουσαι ἀπὸ τὸ σούνιον ἑκατέρωθεν δύο πλευραὶ παράλιοι τυγχάνουσι. διὸ τῶν ὑπὸ κέκροπος φυλῶν τεσσάρων οὐσῶν, δύο προσηγόρευσεν, ἀκταίαν, καὶ παλίαν. τὸ ἐθνικὸν, ἀκταῖος, καὶ ἀκταία, καὶ ἀκταιὶς, καὶ ἀτθὶς, καὶ ἀκτίτης. ἰδοὺ τὸ ἀκτίτου πέτρα ἐν τῇ τραγῳδίᾳ, ἀντὶ τοῦ ἀττικοῦ. ὡς αὐλὴ, αὐλίτης. ἔστι καὶ ἄκτιος αἰγεὺς, ὡς εὐφορίων διονύσῳ. ἔστι καὶ ἀκτιάς. καὶ τὸ ἄκτιον, ἀφ' οὗ τὸ ἀκτιώτης, ὡς ἡλιώτης, ζεφυριώτης. ἄμεινον δὲ τοῦτο εἶναι ἀπὸ τοῦ ἀκτία, τοῦ δηλοῦντος τήν τε χώραν, καὶ τὴν γυναῖκα, ὡς πελασγία, πελασγιώτης. ἔστι καὶ ἀττικὸς, καὶ ἀττικὴ κατὰ τροπὴν, διὰ τὴν εὐφωνίαν. ἔστι καὶ ἀκτὴ μαγνησίας, ἀφ' ἧς ἄκτιος, καὶ ἐπάκτιος ἀπόλλων τιμᾶται. ἔστι καὶ ἑτέρα ἀκαρνανίας, ἧς μέμνηται δημάγητος. ἔστι καὶ πελοποννήσου, ὡς θουκυδίδης. καὶ ἄλλη ἐν βοσπόρῳ. καὶ ε. ἐν ἰωνίᾳ. δημήτριος δὲ τῆς σημαντικῆς τοῦ αἰγιαλοῦ, καὶ τῆς περὶ τὸν ἄθω χώρας μόνον ἐμνημόνευσεν.

Ἄκτια, πόλις ἀκαρνάνων, ἀπὸ τοῦ ἀμβρακικοῦ κόλπου ἀρξαμένοις. ἐν ταύτῃ ἀπόλλωνος γυμνικὸς ἀγὼν, καὶ ἱππικὸς, καὶ πλοίων ἅμιλλα διὰ τριετηρίδος ἦν. ὁμωνύμως δὲ λέγεται καὶ τὸ ἱερὸν τοῦ ἀπόλλωνος, καὶ ἡ ἄκρα ἡ ποιοῦσα τὸ στόμα τοῦ κόλπου, καὶ ἡ πόλις, καὶ ὁ ἀπόλλων, καὶ ὁ πολίτης. λέγεται καὶ ἀκταῖος ἀπόλλων, καὶ ἀκτιακός. λέγεται καὶ ἀκτιάς τις θηλυκόν. ἀρκάδιος δ' ἐν τῇ ὀρθογραφίᾳ φησὶν, ἀκτία, καὶ ἡ πόλις, καὶ ἡ ἑορτή. ἀλλ' ἡ μὲν ἑορτὴ, βαρύνεται, τὰ ἄκτια. ἡ δὲ πόλις, λέγεται οὐδετέρως, τὸ ἄκτιον.

Ἀκυληΐα, πόλις ἰταλίας. στράβων. τὸ ἐθνικὸν, ἀκυλήϊος. ὡς μεσάπεια, μεσάλεια. ἔστι καὶ ἀκυλήϊος κόλπος. λέγεται καὶ ἀκυλήσιος ἰταλικῷ τύπῳ.

Ἀκυλῖνα, πόλις ἰλλυρική. θεόπομπος. τὸ ἐθνικὸν ἀκυλιναῖος, ὡς κωνσταντιναῖος, ἀπὸ τοῦ κωνσταντῖνα.

Ἀκυτάνια, ἐπαρχία τῆς κελτικῆς γαλατίας, μία τῶν τεσσάρων. μαρκιανὸς ἐν περίπλῳ αὐτῆς.

Ἄκυτος, νῆσος περὶ κυδωνίαν τῆς κρήτης. ὁ νησιώτης, ἀκύτιος.

Ἀκύφας, πόλις μία τῆς δωρικῆς τετραπόλεως, ὡς θεόπομπος.

Ἀκχηνοὶ, ἔθνος ἀράβιον, ὡς οὐράνιος φησὶ τετάρτῃ, ἐπὶ τῷ αὐχένι τῆς ἐρυθρᾶς θαλάσσης.

Τὸ ἄλφα μετὰ τοῦ λάμβδα.

Ἀλάβανδα, πόλις καρίας, ἡ ποτὲ ἀντιόχεια. ἐκλήθη δὲ ἀπὸ ἀλαβάνδου τοῦ εὐίππου, ὡς χάραξ. ἔστι καὶ ἑτέρα πόλις καρῶν εὐτυχεστάτη, ἀφ' ἧς ἡ παροιμία, ἀλάβανδα καρῶν εὐτυχεστάτη. κτίσμα δὲ καρὸς ἦν, ἀπὸ τοῦ παιδὸς αὐτοῦ κληθεῖσα τοῦ γεννηθέντος ἀπὸ καλλιρρόης τῆς μαιάνδρου, μετὰ νίκην ἱππομαχικὴν, καὶ κληθέντος ἀλαβάνδου, ὅ ἐστι κατὰ τὴν καρῶν φωνὴν, ἱππόνικος. ἄλα μὲν τὸν ἵππον, βάνδα δὲ τὴν νίκην καλοῦσιν. ἔνθεν καὶ παρὰ ῥωμαίοις, βάνδον τὴν νίκην φασίν. ὁ πολίτης, ἀλαβανδεύς. οὕτως ἀναγράφεται. λέγεται καὶ κτητικὸν ἀλαβανδιακὸς, καὶ ἀλαβανδιακὸν σύγγραμμα, ἰδοὺ καὶ ἀλαβανδιακὸς σολοικισμὸς, ὡς φιλόξενος τὴν ὀδύσσειαν ἐξηγούμενος, ὅταν ἡ ·μη· ἀπαγόρευσις ἀντὶ τῆς ·ου· κεῖται. ὡς τὸ, μὴ δ' ἐμὴν ἰότητα ποσειδάων ἐνοσίχθων.

Ἀλάβαστρα, πόλις φρυγίας. ἡρόδοτος. ἐν ταύτῃ λίθος διάσημος, ὡς φησι νικάνωρ. τὸ ἐθνικὸν, ἀλαβαστρίτης, ὡς ἀβδηρίτης.

Ἀλαβούριον, πόλις συρίας. χάραξ ὀγδόῃ χρονικῶν. τὸ ἐθνικὸν, ἀλαβούριος.

Ἀλαβὼν, πόλις, καὶ ποταμὸς, ὡς δημήτριος ἐν συνωνύμοις. κλίνεται ἀλάβωνος. τὸ ἐθνικὸν ἀλαβώνιος, ὡς κολοφώνιος.

Ἀλαζὼν, ἔθνος ὅμορον τοῖς σκύθαις. ὀξύνεται διὰ τὸ ἐπιθετικὸν, καὶ φυλάττει τὸ ·ω· πρὸς ἀντιδιαστολήν.

Ἀλαραφηνίδες, καὶ ἁλαὶ αἰξωνίδες, δῆμοι, ὁ μὲν, τῆς αἰγηΐδος, ὁ δ' αἰξωνεὺς, τῆς κεκροπίας φυλῆς. ἑκατέρου ὁ δημότης ἀλεὺς τοῦ ·ι· ἀλαεύς. καὶ ἀλῆθεν. καὶ ἀλῆσι. καὶ ἀλῆνδε ξενόφαντος εἶπε. τρύφων δ' ἐν παρωνύμοις ἀλαῖος τρισύλλαβον, καὶ ἀλαιαῖος τετρασύλλαβον. ὡς ληναῖος, ληναιεύς. κρηταῖος, κρηταιεύς. ἀλλ' ἐν τοῖς ἑξῆς κατ' ἔθος ἀττικὸν, ἔνδειαν φησι τοῦ ·ι·. ἔστι δὲ ὁ δῆμος τῆς ἀραφηνίδος, μεταξὺ φηγέως τοῦ πρὸς μαραθῶνι, καὶ βραυρῶνος. αἱ δ' αἰξωνίδες, ἐγγὺς τοῦ ἄστεος. ἔστι καὶ λίμνη ἐκ θα-

λάσης· δασύνεται δὲ τὸ ἁλαί, ὡς καὶ ἐν τῷ δράματι Μενάνδρου· ἀπὸ τοῦ ἀραφηνίσιν ἁλαῖς διακεῖσθαι τὰ πράγματα, ὅς ἐστι τόπος ἀττικῆς.

Αλαί, πόλισμα βοιωτίας· παυσανίας πέμπτῳ· καὶ ἡ πρόσχωρος τῇ ἀργείᾳ οὕτως ἁλαὶ λέγεται. ὀξύτονον. ἔστι καὶ ἑτέρα κατάντιον μάσητος· καὶ τῆς κιλικίας δὲ πόλις ὡς θηλυκῶς λεγομένη ἀλαί· ἀπὸ δὲ τούτου, ἀλήϊον πεδίον· ἀλαί· τὸ ἐθνικὸν, ἀλεύς· ἀφ' οὗ τὸ ἀλήϊ)· ἔστι καὶ ἄλικος κτῆμα κιλικίας· καὶ ἀλίκη, ἡ χώρα· καὶ χωρίον ἄλικος πρὸς τῇ αὐγούσῃ, καὶ ὄρος ὁμώνυμον.

Αλαλκομένιον, πόλις βοιωτίας, ἀπὸ τοῦ ἀλαλκομενέως, ὃς καὶ ἵδρυσε τὴν ἀθηνᾶν ἀλαλκομενηΐδα· οὐ γὰρ παρὰ τὸ ἀλαλκεῖν ὡς ἀρίσταρχος, ἵνα γὰρ ἂν καὶ ἀλαλκηΐς, ἀλλ' ὡς θησεὺς, θησηΐς, οὕτως ἀλαλκομενεὺς, ἀλαλκομενηΐς· ὡς γὰρ καὶ βρισεὺς, βρισηΐς· καὶ νηρεὺς, νηρηΐς· ἐκ τοῦ ἀλαλκομενέως δὲ, καὶ ἀθηναΐδος τῆς ἱπποβότου, γλαύκωπος· ἀφ' οὗ τὸ γλαυκώπιον, καὶ γλαυκῶπις· καὶ ζεὺς πολιεὺς· καὶ ἀθηνᾶ πολιάς· τὸ ἐθνικὸν ἀλαλκομενεὺς, καὶ ἀλαλκομένιος· καὶ ἀλαλκομενία ἡ ἀθηνᾶ ἐκεῖ τιμᾶται· τοῦ δ' ἀλαλκομενὴ, ἀλαλκομεναῖος.

Αλαμανοὶ, ἔθνος γερμανοῖς πρόσχωρον.

Αλαρόδιοι, ἔθνος περὶ τὸν πόντον, ὡς ἡρόδοτος φησίν.

Αλανὸς, ὄρος ἀρματίας.

Αλβα, πόλις ἰταλίας, ἣν ἔκτισαν οἱ ἀπὸ τοῦ λαβινίου λατῖνοι, τρῶες ὄντες· ἔστι δ' ἡ ἄλβα καθ' ἑλλάδα, λευκή· κλίνεται δὲ ἄλβας, ὡς χάραξ· ἔστι καὶ ποταμὸς ἄλβας, ὁ νῦν λεγόμενος τίβρις, τιβερίνου τοῦ βασιλέως ἐν αὐτῷ θανόντος· λέγεται καὶ ἀλβή· ὁ πολίτης, ἀλβανός· ὡς καὶ οἶνος ἀλβανὸς, ἡδύς τε καὶ καλός· λέγεται καὶ ἀλβανὸς ἐν ἰταλίᾳ τόπος, ἐν ᾧ ὑδροποιίαι ἐγένοντο· καὶ λίμνη ἀλβανίς· ἔστι καὶ ἀλβὴ πόλις κρήτης· τὸ ἐθνικὸν ἀλβαῖος, ὡς θηβαῖος.

Αλβανία, χώρα πρὸς τοῖς ἀνατολικοῖς ἴβηρσιν.

Αλβίων, νῆσος πρεττανική· μαρκιανὸς ἐν περίπλῳ αὐτῆς· τὸ ἐθνικὸν, ἀλβιώνιος.

Αλγίδος, πόλις ἰταλίας· τὸ ἐθνικὸν ἀλγίδιος, ὡς τενέδιος· ἀράδιος.

Αλέα, πόλις ἀρκαδίας· θεόπομπος πεντηκοστῇ ἕκτῃ· ἔστι καὶ θετταλίας, καὶ ἄλλη καρπιτανῶν, ἔθνους κελτικοῦ· ὁ πολίτης ἀλεὸς, ὁμοφώνως τῷ οἰκιστῇ, ὡς δάρδανος. ἔστι καὶ ἄλλο ἐθνικὸν ἀλεάτης, ὡς τῆς τεγέας, τεγεάτης· ἡρωδιανὸς δέ φησιν ἀλέα ἐπὶ τῆς θερμασίας· καὶ ὁπότε δηλοῖ τὴν φυγὴν, βαρύνεται· ἐπὶ δὲ τῆς ἀθηνᾶς, ὀξύνεται· ἐχρῆν δὲ καὶ τοῦτο βαρύνειν· ἀπὸ δὲ τοῦ ἀλέου, λέγεται καὶ ἀλεαῖος.

Αλεξάνδρεια, πόλεις ὀκτωκαίδεκα· πρώτη, ἡ αἰγυπτία, ἤτοι λίβυσσα, ὡς οἱ πολλοὶ, ἀπὸ ἀλεξάνδρου τοῦ φιλίππου· ἰάσων δὲ ὁ τὸν βίον τῆς ἑλλάδος γράψας ἐν τέσσαρσι βιβλίοις φησὶ, τὸν μὲν οὖν τόπον τῆς πόλεως ὄναρ ἐχρησμοδοτήθη οὕτω, Νῆσος ἔπειτά τις ἐστὶ πολυκλύστῳ ἐνὶ πόντῳ, αἰγύπτου προπάροιθε· φάρον δέ ἑ κικλήσκουσιν· ἐκέλευσε δὲ διαγράφειν τὸ σχῆμα τὸν ἀρχιτέκτονα· οὐκ ἔχοντες δὲ λευκὴν γῆν, ἀλφίτοις διέγραφον· ὄρνιθες δὲ καταπτάντες, τὰ ἄλφιτα αἴφνης διήρπασαν· ταραχθεὶς οὖν ἀλέξανδρος, οἱ μάντεις θαρρεῖν ἔλεγον, πάντων γὰρ τὴν πόλιν τροφὸν γενήσεσθαι· ταῦτα καὶ ἀρριανός· ἐκλήθη δὲ ῥακῶτις, καὶ φάρος, καὶ λεοντόπολις, διὰ τὸ τὴν τῆς ὀλυμπιάδος γαστέρα ἐσφραγίσθαι λέοντος εἰκόνι· ἐλέγετο δὲ κατ' ἐξοχὴν πόλις, καὶ πολῖται ἐξ αὐτῆς. ὡς ἄστυ αἱ ἀθῆναι, καὶ ἀστοὶ, καὶ ἀστικοὶ οἱ ἀθηναῖοι. ὡς καὶ ἀπὸ ῥώμης λέγεται οὖρβ· ἐκλήθη δὲ ἐπὶ τῶν ῥωμαϊκῶν, σεβαστὴ, καὶ ἰουλία, καὶ κλαυδία, καὶ δομετιανὴ, καὶ ἀλεξαντηεία. τῷ δὲ συνοικισμῷ, τριακοντατεσσάρων ἐστὶ σταδίων τὸ μῆκος, ὀκτὼ δὲ τὸ πλάτος· ἡ δὲ ὅλη περίμετρος, σταδίων ἑκατὸν δέκα. δευτέρα, ἔστι πόλις τροίας, ἐν ᾗ ἐγένετο Ἡγήμων ἐποποιὸς, ὃς ἔγραψε τὸν λευκτρικὸν πόλεμον τῶν θηβαίων, καὶ λακεδαιμονίων· περὶ ἧς δημοσθένης ἐν τετάρτῳ βιθυνιακῶν. τρίτη, θρᾴκης, πρὸς τῇ λακεδαιμονίᾳ, ἣν ἔκτισε πρὸ τῆς μεγάλης ἀλεξανδρείας ἑπτακαίδεκα ὢν ἐτῶν· τετάρτη, πόλις νεαρτῶν, ἔθνους ἰχθυοφάγων, κατὰ τὸν περίπλουν τῆς ἰνδικῆς· πέμπτη, ἐν τῇ ὀπιανῇ, κατὰ τὴν ἰνδικήν· ἕκτη, πάλιν ἰνδικῆς· ἑβδόμη, ἐν ἀρίοις, ἔθνει παρθυαίων κατὰ τὴν ἰνδικήν. ὀγδόη, τῆς κιλικίας. ἐννάτη, ἐν κύπρῳ· δεκάτη, πρὸς τῷ λάτμῳ τῆς καρίας, ἐν ᾗ ἀδώνιον ἦν ἔχον πραξιτέλους ἀφροδίτην. ἑνδεκάτη, κατὰ βάκτρα· δωδεκάτη, ἐν ἀραχώτοις· τρισκαιδεκάτη, ἐν μακαρήνῃ, ἣν παραρρεῖ ποταμὸς μαξάτης· τεσσαρεσκαιδεκάτη, παρὰ σωριανοῖς ἰνδικῷ ἔθνει. πεντεκαιδεκάτη, παρὰ τοῖς ἀραχώτοις, ὁμοροῦσα τῇ ἰνδικῇ· ἑκκαιδεκάτη, κατὰ τὸν μέλανα κόλπον· ἑπτακαιδεκάτη, ἐν τῇ σογδιανῇ, παρ' ὀπανισάδαις· ὀκτωκαιδεκάτη, ἐπὶ τοῦ τανάϊδος αὐτοῦ κτίσμα, ὡς ἐν τῷ τρίτῳ πτολεμαῖος ἀποφαίνεται· ἔστι καὶ τόπος ἐν τῇ ἴδῃ τῇ τρωϊκῇ, ἀλεξάνδρεια

δρεια λεγόμενος. ἐν ᾧ φασὶ τὸν πάριν διακρῖναι τὰς θεάς, ὡς τιμοσθένης. τὸ ἐθνικὸν ἀλεξανδρεύς, ἐκ τῆς ἀλεξάνδρου γενικῆς. τὸ θηλυκὸν ὡς ἀπὸ τοῦ σινωπεύς, σινωπίς, οὕτως ἀπὸ τοῦ ἀλεξανδρεύς, ἀλεξανδρίς. δίδυμος δὲ παρατίθεται χρῆσιν ἐξ ἐρατοσθένους τοῦ ἀλεξανδρίτης. φαβωρῖνος δὲ ἐν τῷ περὶ κυρηναϊκῆς πόλεως, ἀλεξανδρειώτην φησί, παρὰ τὴν ἀλεξανδριανός, ὡς μύρλεια, μυρλειανός, ἡράκλεια, ἡρακλειανός. λέγεται καὶ ἀλεξάνδρειος κτητικόν. νικάνωρ δὲ ὁ ἑρμείου ἐν τῇ περὶ ἀλεξανδρείας πρώτῃ ταῦτα πάντα κυροῖ, καὶ τὸ ἀλεξανδρῖνος, καὶ τὸ ἀλεξανδρίτης. οὐ μέντοι τὸ ἀλεξανδρειώτης. ἔστι καὶ ἀλεξάνδρεια βοτάνη, καὶ φυτόν. παρ' ἄλλοις δὲ ἀλεξάνδρα, ἐξ ἧς ἐστέφετο ἀλέξανδρος ἐν τοῖς ἀγῶσι. τινὲς δὲ δάφνην αὐτὴν καλοῦσιν. οἱ δέ, χαμαιδάφνην. οἱ δέ, ἐπιφυλλόκαρπον, ἢ φυλλόκαρπον.

Α λήσιος, τῆς ἤλιδος πόλις, τῆς ὠλενίας, καὶ ἀλησίου, ἀπὸ ἀλησίου τοῦ σκιλλοῦντος υἱοῦ. οὗτος ἦν τῶν ἱπποδαμείας μνηστήρων. οἱ δέ, γαργήττου υἱὸν ἕνα τῶν μετὰ πέλοπος ἀφικομένων. τὸ ἐθνικὸν ἀλησιεύς, ὡς συμπρασιεύς. ἔστι καὶ ἀλήσιον πεδίον τῆς ἠπείρου, ἵνα πήγνυται πολὺ ἅλας. ὁ δ' εὐφορίων, οὐ γὰρ ἀλήσιοί ἐστε φησίν.

Α λθαία, πόλις ὀλκάδων. οἱ δὲ ὀλκάδες, ἔθνος ἰβηρίας, πλησιόχωροι καλχηδόνος, ἣν ἐκάλουν καὶ καινὴν πόλιν. τὸ ἐθνικὸν ἀλθαῖος, ὡς αἰαῖος. ἢ ἀλθαιάτης, ἢ ἀλθαιανός. εὕρομεν δὲ ἐν ταῖς γραφαῖς δημηζίυ, ἀλθαιέα.

Α λίαρτος, πόλις βοιωτίας. ἀρσενικόν. ὅμηρος, ποιήενθ' ἁλίαρτον. λέγεται δὲ κτισθῆναι ὑπὸ ἁλιάρτου τοῦ θερσάνδρου. τὸ ἐθνικὸν ἁλιάρτιος, ὡς βοιώτιος. ἀρμενίδας δ' ἐν τῷ .ρ. ἀρίαρτόν φησι.

Α λιεῖς, πόλις λακωνικῆς, παραθαλασσία. τὸ ἐθνικὸν, ὁμοίως, ὡς ἀπὸ τοῦ ἁλιεύς. ἔφορος ἐν τῷ ἕκτῳ, ὅτι οὗτοι τιρύνθιοί εἰσι, καὶ ἐξαναστάντες, ἐβουλεύοντο οἰκεῖν τινα τόπον, καὶ ἠρώτων τὸν θεόν. ἔχρησε δὲ οὕτω, ποῖ τὺ λαβὼν, καὶ ποῖ τὺ καθίξω, καὶ ποῖ τὺ οἴκησιν ἔχων ἁλιέα τε κεκλῆσθαι. ἐλέγοντο δ' οὕτω, διὰ τὸ πολλοὺς τῶν ἑρμιονέων ἁλιευομένους κατὰ τοῦτο τὸ μέρος οἰκεῖν τῆς χώρας. τὸ θηλυκὸν, ἁλιάς. καὶ ἁλιικὸς τὸ κτητικόν.

Α λιζῶνες, ἔθνος. ὅμηρος, Αὐτὰρ ἁλιζώνων. ἔφορος οἰκῆσαί φησι τοὺς ἁλιζῶνας τὴν μεταξὺ μυσίας, καὶ καρίας, καὶ λυδίας κειμένην. ἴσως δὲ διὰ τὸ ὑπερήφανον τοῦ πλούτου, κατ' ἐναλλαγὴν τοῦ .α. εἰς .ι. οὕτως ὠνομάσθησαν.

Α λικαρνασσός, πόλις καρίας. ἄνθης φησὶν ἀπὸ τοῦ ἅλια περιέχεσθαι τὴν καρίαν. αὐτὸς δ' ὁ ἄνθης ἐκ τροιζῆνος μετῴκισε λαβὼν τὴν δυμαιναν φυλήν, ὡς καλλίμαχος. ἢ ἀπὸ τοῦ ναίεσθαι αὐτὸν ἀπὸ τροιζῆνος, ὡς ἀπολλόδωρος. ἐκαλεῖτο δὲ ἰσθμός, καὶ ζεφύρια, ὡς φίλων, καὶ ζεφυρία. λέγεται ἀρσενικῶς. ὁ πολίτης ἁλικαρνασσεύς, ὡς ἀψυρτεύς. ἀνδροτίων ἐν ζ΄ τῇ ἀτθίδος, ἁλικαρνάσιός φησι. καὶ ἁλικαρνασσίς, θηλυκόν. καὶ ἁλικαρνασσοῖ, τὸ τοπικόν. καὶ ἐκ τόπου, ἁλικαρνασσόθεν.

Α λικύαι, πόλις σικελίας. θεόπομπος. μεταξὺ κειμένη ἐν τελῆς, καὶ λιλυβαίου. τὸ ἐθνικὸν ἁλικυαῖος, καὶ ἁλικυαία.

Α λίκυρνα, κώμη ἀκαρνανίας. στράβων. ὁ οἰκήτωρ ἁλικυρναῖος, ὡς παρὰ μηκύβερνα, μηκυβερναῖος.

Α λιμοῦς, δῆμος τῆς λεοντίδος φυλῆς. καλλίμαχος δὲ πόλιν ἡγεῖται. ὁ δημότης, ἁλιμούσιος. τὰ τοπικά, ἁλιμουντόθεν. ἁλιμουντάδε. ἁλιμοῦντι.

Α λινα, πόλις καρίας, ὡς πολυΐστωρ. ὁ πολίτης, ἁλινδεύς.

Α λίμαλα, χωρίον λυκίας. καπίτων ἰσαυρικῶν δευτέρῳ. οἱ ἐνοικοῦντες, ἁλιμαλεῖς.

Α λίνδοια, πόλις μακεδονίας, ὡς βέροια. τὸ ἐθνικὸν ἁλινδοιαῖος, ὡς βεροιαῖος.

Α λίσαρνα, πόλις τρῳάδος χώρας. θεόπομπος. τὸ ἐθνικὸν ὁ αὐτός, ἁλισαρναῖος.

Α λίφειρα, πόλις ἀρκαδίας, ἀπὸ λυκάονος παιδὸς ἀλιφείρου. ὁ πολίτης, ἀλιφειρεύς. εὕρηται ἡ παραλήγουσα διὰ διφθόγγου.

Α λκομεναί, πόλις ἐν ἰθάκῃ τῇ νήσῳ, ἀφ' ἧς ἀλκομενεὺς ὁ ὀδυσσεύς. ἔστι καὶ τῆς ἰλλυρίας πόλις. ὁ πολίτης ἀμφοτέρων, ἀλκομενεύς. καὶ τὸ θηλυκόν, ἀλκομένεια.

Α λαλία, πόλις ἐν κύρνῳ τῇ νήσῳ, κτίσμα φωκαέων, ὡς ἡρόδοτος. τὸ ἐθνικόν, ἀλαλιαῖος.

Α λλάντη, πόλις μακεδονίας, καὶ ἀρκαδίας. θεόπομπος δ' ἐν πρώτῳ φιλιππικῶν, ἀλλάντιον αὐτὴν εἶπε. τὸ ἐθνικὸν ἀλλάντιος, ὡς κυλλήνιος.

Α λλαρία, πόλις τῆς κρήτης. πολυΐστωρ τρισκαιδεκάτῃ. τὸ ἐθνικὸν ἀλλαριάτης, ὡς αὐτός φησιν.

Α λμήνη, πόλις πρὸς τῷ εὐξείνῳ πόντῳ, ὡς ἀρριανός. τὸ ἐθνικὸν ἀλμήνιος, ὡς παλλήνιος. ἢ ἀλμηνίτης, ὡς σινωπίτης.

Α λλόβρυγες, ἔθνος δυνατώτατον γαλατικόν, ὡς ἀπολλόδωρος. πολύβιος δὲ διὰ τοῦ .ι. αὐτοὺς καλεῖ ἀλλόβριγας. χάραξ δὲ διὰ τοῦ .ο. μικροῦ, ἀλλόβρογας. οἱ πολέ-

ους δὲ, διὰ τοῦ ι. ὁ δὲ τεχνικὸς, ἀλλόβροξ ἔθνος γαλατικόν.

Αλμων, πόλις βοιωτίας, ὡς ἑλλάνικος. καὶ σάλμον αὐτήν φησι κακῶς. τὸ ἐθνικὸν ἀπὸ τῆς ἄλμωνος γενικῆς, ἀλμώνιος, καὶ ἀλμωνία.

Αλμωπία, χώρα τῆς μακεδονίας, ἣν ᾤκουν ἄλμωπες. λυκόφρων, Εκ δ' ἀλμωπίας παλιμπλανήτην δέξεται τυρσηνία, περὶ αἰνείου λέγων. ἐκλήθη δὲ ἀπὸ ἄλμωπος γίγαντος. τὸ ἐθνικὸν, ἄλμωψ, καὶ ἀλμώπιος, καὶ ἀλμωπία, ἀπὸ ἄλμωπος τοῦ ποσειδῶνος, καὶ ἕλλης τῆς ἀθάμαντος.

Αλόπη, πόλις θετταλίας, ἀπὸ ἀλόπης τῆς κερκυόνος, ὡς φερεκύδης. ἢ τῆς ἄκτορος, ὡς φιλωνίδης. ἔστι δὲ μεταξὺ λαρίσσης τῆς κρεμαστῆς, καὶ ἐχίνου δευτέρα. ἔστι καὶ τῆς ἀττικῆς ἀλόπη τρίτη πόντου, ἀφ' ἧς πεντεσίλεια. τετάρτη, περὶ εὔβοιαν. πέμπτη, περὶ δελφούς. ἕκτη, περὶ λοκρίδα. ὅμηρος τὴν μεταξὺ μυσίας, καὶ καρίας, καὶ λυκίας παράλιόν φησιν, Ελθόντ' ἐξ ἀλόπης, ὅθ' ἀμαζονίδων γένος ἐστίν. ὁ πολίτης κατὰ τέχνην ἀλοπίτης. ἔστι δὲ καὶ ἀλοπεύς.

Αλόννησος, περὶ ἧς φίλιππος καὶ ἀθηναῖοι διεφέροντο. τὸ ἐθνικὸν ἀλονήσιος, ὡς προικοννήσιος. καὶ ἀλονησίτης, ὡς χερρονησίτης. ἔστι καὶ ἑτέρα τῆς ἰωνίας. τὸ ἐθνικὸν, ταυτόν.

Αλος, πόλις ἀχαΐας, καὶ φθιώτιδος, ἐπὶ τῷ πέρατι τῆς ὄθρυος. ἀπέχει δὲ ἴτωνος ὡς ἑξήκοντα σταδίους. κτίσαι δ' αὐτὴν ἀθάμαντα ἀπὸ τῆς συμβάσης αὐτῷ ἄλης. θέων δέ φησιν, ὅτι ἄλος θεράπαινα ἦν ἀθάμαντος, ἣ μηνύσασα τὴν ἰνὼ φρύγειν τὰ σπέρματα. ἧς εἰς τιμὴν τὴν πόλιν ὠνόμασεν. δύο δὲ παρμενίσκος ἄλους ἱστορεῖ, τὴν μὲν μαλλιακὴν, ὑπὸ ἀχιλλεῖ. τὴν δὲ, ὑπὸ πρωτεσιλάῳ. λέγεται δὲ καὶ ἀρσενικῶς, καὶ θηλυκῶς. τὸ ἐθνικὸν, ἀλεύς. σοφοκλῆς δὲ ἀλουσίους. τινὲς δὲ τῶν γλωσσογράφων, ἀλίους.

Αλπεία, ἡ ἰὼν πρὸς ἄρκτον τῆς τυρρηνίδος, καὶ ἰωνίας θαλάσσης. οἱ κατοικοῦντες, ἄλπειοι, καὶ ἄλπεις. καὶ ἄλπεια ὄρη, καὶ ἄλβια. διχῆ γὰρ ἡ γραφή, καὶ διὰ τοῦ. π, καὶ διὰ τοῦ. β. καὶ ἀλβία ἡ χώρα διὰ τοῦ. β.

Αλπηνοί, κώμη πλησίον θερμοπυλῶν. ἡρόδοτος. ἔστι καὶ μηζόπολις λοκρῶν. τὸ ἐθνικὸν ὁμοίως ἀλπηνοί.

Αλπωνος, πόλις καὶ ὄρος ἐν μακεδονίᾳ, ὡς εὐφορίων. ὁ πολίτης, ἀλπώνιος. ἡ χώρα καὶ ἡ γυνή, ἀλπωνία. τινὲς δὲ θετταλίας αὐτήν φασιν. ἔστι καὶ ἄλλη λοκρῶν τῶν ἐπικνημιδίων, ὡς ἑλλάνικος ἐν πρώτῃ δευκαλιωνείας.

Αλτος, πλησίον θεσσαλονίκης, ὡς (λιωνίας. θεαγένης ἐν μακεδονικᾷ. τὸ ἐθνικὸν, ἄλτιος.

Αλύαττα, χωρίον βιθυνίας. ἀπὸ ἀλυάττου κρατήσαντος τοῦ τόπου. ὁ οἰκήτωρ, ἀλυαττηνός.

Αλύβας, ὅπερ οἱ μὲν, μεταπόντιον ἤκουσαν τῆς ἰταλίας. τινὲς δὲ, θρᾴκης πόλιν. τὸ ἐθνικὸν, ἀλυβαίτιος.

Αλύβη, τηλόθεν ἐξ ἀλύβης, ὅθι ἀργύρου ἐστὶ γενέθλη. παρὰ ταύτην ἐλθεῖν ῥέαν τε δία φέρουσαν νεογνόν. οἱ ταύτην οἰκοῦντες ἄλυβες, ἀντὶ τῶν ἀργυρείων μετάλλων σιδηρᾶ ἔχοντες, οἱ νῦν χαλδαῖοι, ὡς στράβων. ἔστι καὶ ἀλυβεύς, καὶ ἀλυβηΐς. εὐφορίων ἐν ἀραῖς, ἢ ποτηροκλέπτῃ, Ος τὺς μὲν κέλκην ἀλυβηΐδα μοῦνος ἀπηύρα. τουτέστι τὴν ἀργυρᾶν, διὰ τὰ μέταλλα. ἑλλάνικος δέ φησι λίμνην εἶναι ποντικήν. τὸ ἐθνικὸν, ἀλυβαῖος.

Αλύζεια, πόλις ἀκαρνανίας, ἀπὸ τοῦ παιδὸς ἰκάρου κληθεῖσα ἀλύζου. τὸ ἐθνικὸν, ἀλυζεύς, καὶ ἀλυζαῖος.

Αλυκος, πόλις πελοποννήσου, εἰς ἀσίνην. Αλυκόν τε καὶ ἄμπολιν ἑρμιονίων. καλλίμαχος. τὸ ἐθνικὸν, ἀλύκιος.

Αλύχμη, ἐν ᾗ τιμᾶται ἀλυχμὸς ἑρμῆς. τὸ ἐθνικὸν, ὡς τοῦ βοίβη, βοίβαιος, ἀκτή, ἄκτιος, οὕτω καὶ ἀλύχμιος.

Αλώϊον, πόλις θετταλίας ὑπὸ τῶν τέμπεων, ἣν ἔκτισαν οἱ ἀλωάδαι καθελόντες τοὺς θρᾷκας, ὡς εἶναι αὐτὴν ἀπὸ ἀλωέως. τὸ ἐθνικὸν, ἀλωεύς.

Αλώνη, νῆσος πρὸς τῇ κυζίκῳ, ἥτις καὶ νευρὶς, καὶ προχώνη ἐκαλεῖτο. τὸ ἐθνικὸν, ἀλωνήσιος. ὠνομάσθη δὲ οὕτως, ὅτι ποτὲ οἱ ἐποικοῦντες τὴν τῶν ἁλῶν ἐργασίαν ἐπενόησαν. τινὲς δὲ αὐτὴν εἶπον πόλιν παφλαγονίας.

Αλωνίς, νῆσος καὶ πόλις μασσαλίας, ὡς ἀρτεμίδωρος. τὸ ἐθνικὸν, ἀλωνίτης.

Αλωπέκη, δῆμος τῆς ἀντιοχίδος φυλῆς. ὁ δημότης, ἀλωπεκεύς. τὰ τοπικά, ἀλωπεκῆθεν. ἀλωπεκῆνδε. ἀλωπεκῆς.

Αλωπεκία, νῆσος. στράβων ἑνδεκάτῃ. τὸ ἐθνικὸν ἀλωπεκεύς, ὡς οἰχαλιεύς, τῆς οἰχαλίας.

Αλωπεκόννησος, πόλις τῆς ἑλλησποντίας χερρονήσου κατὰ χρησμὸν χρησθεῖσα, κελευσθέντας ἔνθα ἂν σκύλακας ἴδωσιν ἀλώπεκος, ἐκεῖ πόλιν οἰκίσαι. τὸ ἐθνικὸν, ἀλωπεκοννήσιος. ἐκλήθησαν δὲ ὅτι ὅτε ἔκτιζον τὴν πόλιν, ἀλώπηξ σκύμνον ἄλλοθεν φέρουσα, κατετίθετο.

Αλωρος, πόλις μακεδονίας. ἔστι δὲ τὸ μυχαίτατον τοῦ θερμαίου κόλπου. τὸ ἐθνικὸν ἀλωρίτης, καὶ ἀλωρῖτις.

### Τὸ ἄλφα μετὰ τοῦ μῦ.

Αμάδοκοι, σκυθικὸν ἔθνος. ἑλλάνικος ἐν σκυθικοῖς. ἡ γῆ δὲ τούτων, ἀμαδόκιον.

Α μαζόνειον, τόπος ἐν τῇ ἀττικῇ, ἔνθα θησεὺς τῶν ἀμαζόνων ἐκράτησεν. οὕτως ἐκαλεῖτο καὶ ἡ κύμη, ἐν ᾗ αἱ ἀμαζόνες ᾤκουν. ἑκαταῖος δ' ἐν τοῖς αἰολικοῖς διὰ τοῦ ι γράφει τὸ ὄνομα. ἔστι καὶ ἄλλο διὰ τοῦ κ. ἀμαζονικὸν ἐν βοιωτίᾳ. ἔστι καὶ ἐν βιθυνίᾳ μαζαῖον κατὰ παραφθορὰν, ὡς ἀρριανὸς ἐν βιθυνιακοῖς. τὸ ἐθνικὸν μαζαιεὺς, ὡς μιδαιεὺς, καὶ δορυλαεύς.

Α μαζόνες, ἔθνος γυναικεῖον πρὸς τῷ θερμώδοντι, ὡς εὔφορος, ἃς νῦν σαυρομάτιδας καλοῦσι. φασὶ δὲ περὶ αὐτῶν, ὅτι τῇ φύσει τῶν ἀνδρῶν διαφέρουσιν αἰτιώμενοι τοῦ τόπου τὴν κρᾶσιν, ὡς γεννᾶν εἰωθότος τὰ θήλεα σώματα ἰσχυρότερα, καὶ μείζω τῶν ἀρσενικῶν. ἐγὼ δὲ φυσικὰ νομίζω τὰ κοινὰ πάντων πάθη. ὥστ' ἄλογος ἡ αἰτία. πιθανωτέραν δ' ἣν φασιν οἱ πλησιόχωροι. οἱ γὰρ σαυρομάται ἐξ ἀρχῆς ἐπὶ τὴν εὐρώπην στρατεύσαντες, καὶ πάντες διαφθαρέντες, τὰς γυναῖκας οὔσας μόνας, καὶ αὐξησάντων τῶν ἀρρένων, στασιάσαι πρὸς τὰς γυναῖκας. ὑπερεχουσῶν δὲ τῶν γυναικῶν, καταφυγεῖν τοὺς ἄρρενας εἰς δασύν τινα τόπον, καὶ ἀπολέσθαι. φοβηθεῖσαι δὲ μήπως ἀπὸ τῶν νεωτέρων τιμωρία τις γένηται, δόγμα ἐποίησαν ὥστε τὰ μέλη συντρῖψαι, καὶ χωλοὺς πάντας ποιῆσαι. ἐκαλοῦντο δὲ καὶ σαυροπάτιδες, παρὰ τὸ σαύρας πατεῖν, καὶ ἐσθίειν. ἢ διὰ τὸ ἐν τῇ σαυροματικῇ σκυθίᾳ οἰκεῖν. ἔστι καὶ ἀμαζονία πόλις μεσσαπίας. λέγεται καὶ ἀμαζὼν ἀρσενικῶς. λέγεται καὶ ἀμαζόνιον τὸ οὐδέτερον διὰ τοῦ ι, καὶ ἀμαζονίδης.

Α μαθα, οὐδετέρως τῆς ἀραβίας χωρίον, ὅπερ μετὰ τοῦ κ νῦν λέγουσιν ἄκμαθα. κέκληται δὲ ἀπὸ τῆς ψάμμου. φασὶ γὰρ τὸ πολὺ τῆς ἀραβίας ὑπὸ τῆς ἐρυθρᾶς πάλαι κατακλύζεσθαι. οἱ οἰκήτορες, ἀμαθηνοί.

Α μάθη, πόλις φοινίκης. ἔστι καὶ σικελίας. ἀμαθαίτων, κύριον. τὸ ἐθνικὸν ἀμφοτέρων, ἀμαθαῖος.

Α μαθοῦς, πόλις κύπρου ἀρχαιοτάτη, ἐν ᾗ ἄδωνις ὄσιρις ἐτιμᾶτο. ὃν αἰγύπτιον ὄντα, κύπριοι, καὶ φοίνικες ἰδιοποιοῦνται. ἀπὸ ἀμάθους δὲ τοῦ ἡρακλέους ἐκλήθη, ἢ ἀπὸ τῆς κινύρου μητρὸς ἀμαθούσης.

Α μαληκῖται, ἔθνος ἑβραϊκόν.

Α μάμασσος, πόλις κύπρου, ἐν ᾗ τιμᾶται ὑλάτης ἀπόλλων. τὸ ἐθνικὸν ἀμαμάσιος, καὶ ἀμαμασεύς.

Α μανον, ὄρος πρὸς τῇ κιλικίᾳ, ἀπὸ ταύρου καθῆκον. ἱστοροῦσι δὲ τὸν ὀρέστην σὺν ἰφιγενείᾳ τὴν ἄρτεμιν κομίσαντα, τῆς μανίας λῦσιν εὑρεῖν. ὁ οἰκήτωρ, ἀμανίτης. εἰσὶ καὶ ἀμμανῖται διὰ δύο μμ, γένος τῶν ναβαταίων ἀράβων, ὡς ἰώσηπος. ἐκλήθησαν δὲ ἀπὸ ἀμμάνου τοῦ παιδὸς λώτου, καὶ τῆς νεωτέρας θυγατρός.

Α μαντία, ἰλλυριῶν μοῖρα, πλησίον ὠρικοῦ, καὶ κερκύρας, ἐξ ἀβάντων τῶν ἀπὸ τροίας νοστησάντων ᾠκισμένη. καλλίμαχος ἀμαντίνην αὐτήν φησιν. ἧς τὸ κτητικὸν, ἀμαντινική. λέγονται καὶ ἄβαντες. τὸ ἐθνικὸν, ἀβαντιεύς. καὶ ἀβάντας αὐτούς φασιν.

Α μαξα, χωρίον βιθυνίας, ὡς ἐρατοσθένης. τὸ ἐθνικὸν, ἀμαξαῖος, καὶ ἀμαξίτης. καὶ τὸ κτητικὸν, ἀμαξικός.

Α μαξάντεια, δῆμος τῆς ἱπποθοωντίδος φυλῆς. ὁ δημότης, ἀμαξαντεύς. τὰ τοπικὰ, ἀμαξαντίαθεν, καὶ ἀμαξίανδε, καὶ ἀμαξαντιᾶσιν.

Α μαξία, πόλις τῆς τραχείας κιλικίας. στράβων τεσσαρεσκαιδεκάτῃ. τὸ ἐθνικὸν ἀμαξιεὺς, ὡς τῆς ἀμαντίας, ἀμαντιεύς.

Α μαξιτὸς, πολίχνιον τῆς τρῳάδος. στράβων τρισκαιδεκάτῃ. τὸ ἐθνικὸν, ἀμαξιτεύς. ἀπολλόδωρος ἐν χρονικῶν τρίτῃ ἀμαξιτηνούς φησιν.

Α μαραντοὶ, ὀξυτόνως κολχικὸν ἔθνος, ἀφ' ὧν ὁ φάσις ῥεῖ. ὅθεν καὶ ἀμαράντιον τὸν φάσιν φασίν.

Α μαρδοὶ, ἔθνος ὑρκανῶν ἐντός. στράβων πρώτῃ. εἰσὶ καὶ περσῶν μάρδοι, δίχα τοῦ α.

Α μάρυνθος, νῆσος εὐβοίας, ἀπό τινος κυνηγοῦ τῆς ἀρτέμιδος ἀμαρύνθου. τὸ ἐθνικὸν, ἀμαρύνθιος, καὶ ἀμαρύσιος, ὡς τρικορύσιος. οὕτω γὰρ παυσανίας ἐν πρώτῃ. ἀναλογώτερον δέ μοι δοκεῖ τὸ διὰ τοῦ σ.

Α μάσεια, πόλις ποντική, ἀφ' ἧς στράβων ὁ στωϊκὸς φιλόσοφος. ὁ πολίτης ἀμασεὺς, ὡς αὐτὸς στράβων. κατὰ δὲ καπίτωνα, ἀμασειώτης. πειστέον δὲ μᾶλλον στράβωνι ὡς πολίτῃ.

Α μαστρις, πόλις παφλαγονίας, ἡ πρότερον κρῶμνα. κρῶμνάν τ', αἰγιαλόν τε, καὶ ὑψηλὴν ἐρύθειαν. ἀπὸ γυναικὸς περσίδος ἀμάστριδος, θυγατρὸς ὀξυάθρου τοῦ ἀδελφοῦ δαρείου, ἣ συνῴκησε διονυσίῳ τῷ σικελίας τυράννῳ. δημοσθένης δ' ἐξ ἀμαζόνος οὕτω λεγομένης. ἀμάστρεως δὲ κλίνει στράβων. ἄλλοι, ἀμάστριδος. τὸ ἐθνικὸν, ἀμαστριανός. στράβων τεσσαρεσκαιδεκάτῃ. πλείστη δὲ καὶ ἀρίστη φύεται πύξος κατὰ τὴν ἀμαστριανὴν, καὶ μάλιστα παρὰ τὸ κύτωρα. ὡς κάλαπις, καλάτιος, καλατία, καὶ πόλις φάσις, φασιανὸς, καὶ σάρδις, σαρδιανός. τὰ γὰρ τοιαῦτα, ἢ ἀπὸ τῶν εἰς ος εὐθειῶν, ὡς βάκχιος, βακχιανός. οἱ δὲ νῦν ἐν τῇ συνηθείᾳ κακῶς ἀμαστρανοὺς λέγουσιν αὐτούς.

Αμβασον, μετὰ πόλις τῶν Φρυγῶν. ὁ πολίτης, ἀμβασίτης, ὡς πολυΐστωρ ἀλέξανδρος.

Αμβλαδα, πόλις πισιδίας. στράβων δυοκαιδεκάτῃ. εἰσὶ δὲ τοῖς Φρυξὶν ὅμοροι, καὶ τῇ καρείᾳ, τάβα, καὶ ἴσινδα. ὁ πολίτης, ἀμβλαδεύς. ὅθεν καὶ, Αμβλαδεὺς οἶνος, πρὸς διαίτας ἰατρικὰς ἐπιτήδειος.

Αμβρακία, πόλις θεσπρωτίας, ἀπὸ ἀμβρακος τοῦ παιδὸς θεσπρωτοῦ τοῦ λυκάονος, ἢ ἀπὸ ἀμβρακίας τῆς αὐγέου θυγατρὸς, περὶ ἧς φιλέας. τὸ ἐθνικὸν, ἀμβρακιεὺς, καὶ ἀβρακιώτης. φίλιστος δὲ ἀμβρακινός φησι σικελικῷ τύπῳ. εὕρηται καὶ διὰ τοῦ π. ἀντὶ τοῦ β. ὅθεν καὶ τὸ ἀμπρακιώτης, ἀπὸ τῆς ἀμπρακος γενικῆς. καὶ ἀμπρακία. τὰ γὰρ εἰς α. θηλυκὰ, καὶ εἰς. ον. οὐδέτερα, διὰ τοῦ. ωτης. ποιεῖ τὰ ἐθνικά. σικελιώτης. πηλιώτης. λέγεται καὶ ἀμβράκιος, καὶ ἀμβρακία ἡ γυνή. τὸ δ' ἀμβρακία, ἀπὸ τῆς ἄμβρακος γενικῆς, οὐκ ἀπὸ τοῦ ἀμβράκιος. ἔστι γὰρ ἀμβρακιακός.

Αμβρακος, πολίχνιον τῆς ἠπείρου, παρὰ τὴν ἀμβρακίαν ἰδιάζον. ὁ οἰκήτωρ, ἀμβράκιος.

Αμβρίον, πόλις ἰταλίας, ὡς ῥήγιον. τὸ ἐθνικὸν, ἀμβρῖνος.

Αμήστρατος, πόλις σικελίας. ἀπολλόδωρος τετάρτῃ χρονικῶν. τὸ ἐθνικὸν, ἀμηστρατῖνος.

Αμικουσία, νῆσος ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ. τὸ ἐθνικὸν, ἐξ ἀμίκου νήσου κατὰ περίφρασιν. καὶ ἀμικουσιώτης.

Αμιλος, πόλις ἀρκαδίας. παυσανίας ὀγδόῃ. τὸ ἐθνικὸν, ἀμίλιος. καὶ γὰρ συμφάλιος, καὶ μαινάλιος παρ' αὐτοῖς.

Αμισα, πόλις γερμανίας. μαρκιανὸς ἐν τοῖς ἀπὸ ῥώμης ἐπὶ τὰς διασήμους πόλεις. τὸ ἐθνικὸν, ἀμισαῖος.

Αμισὸς, πόλις ἀξιόλογος, διέχουσα σινώπης σταδίους ἐννακοσίους. ἔστι δ' ἐν τῷ πόντῳ. λέγεται καὶ ἀρσενικῶς, ἀμισηνός. λέγεται καὶ ἀμίσιος, ὡς φίλων ἐν τῷ περὶ πόλεων.

Αμμωνία, ἡ μεσόγειος λιβύης. καὶ αὕτη δὲ πᾶσα ἡ λιβύη οὕτως ἐκαλεῖτο, ἀπὸ ἄμμωνος. ὁ οἰκήτωρ, ἀμμώνιος. ταῦτα δὲ διὰ τοῦ. ι. τὸ δ' ἀμμωνεῖον, διὰ διφθόγγου, ὡς δημητριεῖον, καὶ ἀπολλωνιεῖον.

Αμνισος, πόλις κρήτης. αἱ τούτου νύμφαι, ἀμνισιάδες, καὶ ἀμνισίδες.

Αμοργὸς, νῆσος μία τῶν κυκλάδων, ἔχουσα πόλεις τρεῖς, ἀρκεσίνην, μινώαν, αἰγιάλην. ἐκαλεῖτο δὲ καὶ παγκάλη, καὶ ψυχία. ἀπὸ τῆς μινώας ἦν σιμωνίδης ὁ ἰαμβοποιὸς, ἀμοργῖνος λεγόμενος, ὡς ἐρυκῖνος. λέγεται καὶ ἀμόργιον, ὡς φησι χάραξ. νικόλαος δ' ἀμόργην αὐτὴν καλεῖ, ἣν τινα καρκήσιος ἀνὴρ ἄξιος ᾤκισε, καὶ καρκησίαν ὠνόμασε. τὸ δ' ἀμόργινος χιτὼν, χρώματος ἴδιον.

Αμολβος, πόλις μαγνήτων, ὡς βάλαγρος. μακεδονικῶν δευτέρᾳ. τὸ ἐθνικὸν, ἀμόλβιος.

Αμόριον, πόλις τῆς μεγάλης Φρυγίας. στράβων δυοκαιδεκάτῃ. τὸ ἐθνικὸν, ἀμοριεὺς, ὡς νοτιεὺς, δρυαλεύς.

Αμος, πόλις καρίας, ὡς ἀλέξανδρος ἐν τῷ περὶ καρίας δευτέρῳ. τὸ ἐθνικὸν, ἄμιος, ὡς σάμιος, καύνιος.

Αμπελος, πόλις τῆς λιγυστικῆς. ἑκαταῖος εὐρώπῃ. ἔστι καὶ ἄκρα τορωναίων ἄμπελος λεγομένη. ἔστι καὶ ἑτέρα ἄκρα τῆς σάμου. καὶ ἄλλη ἐν κυρήνῃ. ἀγροίτας δὲ δύο πόλεις φησί. τὴν μὲν, ἄνω, τὴν δὲ, κάτω. ἔστι καὶ ἰταλίας ἄκρα, καὶ λιμὴν, καὶ πόλις. ὁ πολίτης, ἀμπελῖνος, ὡς ἀσσωρῖνος, ἀβακαινῖνος. ὁ γὰρ τύπος, τῶν ἰταλῶν. τῶν δὲ λοιπῶν, δυνατὸν ἀμπελίτην εἶναι.

Αμπη, πόλις πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ. ἡρόδοτος ἕκτῃ. τὸ ἐθνικὸν, ἀμπαῖος, ὡς λαμπαῖος.

Αμυδὼν, πόλις παιονίας. τὸ ἐθνικὸν, ἀμυδώνιος, ὡς καλυδῶνος, καλυδώνιος.

Αμυθαονία, μοῖρα τῆς ἤλιδος, ἀπὸ ἀμυθάονος τοῦ κρηθέως, ὡς ῥιανός.

Αμύκλαι, πόλις λακωνικὴ τῶν ἑκατὸν πόλεων, ἣν ἀμύκλας ὁ λακεδαίμονος υἱὸς ἔκτισε. κλίνεται δὲ καὶ ἀμύκλα τὸ ὄνομα τοῦ κτίσαντος. καὶ ἀμύκλαντος, ὡς σιμίας ἐν μηνὶν, ον ῥ' ἀμύκλαντος παιδὸς ἀποφθιμένου λαοὶ κικλήσκουσι. τὸ ἐθνικὸν τοῦ ἀμύκλαι, ἀμυκλαῖος. καὶ ἀμυκλαιεὺς ἐξ αὐτοῦ, ὡς κρηταῖος, κρηταιεύς. καὶ τὸ θηλυκὸν τοῦ ἀμυκλαῖος, ἀμυκλαία, καὶ ἀμυκλαΐς. λέγεται καὶ ἀμυκλαΐτης, ὡς θηβαΐτης. ἔστι πόλις ἀμύκλαιον ἐν κρήτῃ, καὶ ὅρμος.

Αμυμνοι, ἔθνος ἠπειρωτικόν. ῥιανὸς

λέγεται καὶ ἀμυμναῖος, καὶ ἀμυμναία.

Αμύνται, ἔθνος θεσπρωτικόν. μένος πνείοντες ἀμύντου. καὶ Αριστοτέλης ἐν τῇ τῶν ἠπειρωτῶν πολιτείᾳ.

Αμύργιον, πέδον σακῶν. ἑλλάνικος σκύθαις. τὸ ἐθνικὸν, ἀμύργιος, ὡς αὐτός φησιν.

Αμυρος, πόλις θεσσαλίας, ἀπὸ ἑνὸς τῶν ἀργοναυτῶν. Πολυβότρυος αὐτ' ἀμύροιο. καὶ τὸ

θηλυκόν. ἄδηλον δὲ τὸ ἡσιόδειον, Δωτίῳ ἐν πεδίῳ πολυβότρυος ἀντ' ἀμύροιο. τὸ ἐθνικὸν, ἀμυρεὺς, ὡς κάμειρος, καμειρεύς. καὶ τὸ κτητικὸν, ἀμυρήϊος. καὶ ἀμυρηῒς τὸ θηλυκόν. εὔπολις δὲ ἀμύρους αὐτοὺς λέγει πλησιοχώρους τῆς μολοττίας. ἐκ τούτου καὶ ἀμυραῖοι λέγονται. σουΐδας δ' ἐν ταῖς γενεαλογίαις

νεαλογίαις, ὅτι οὗτοι ἐκαλοῦντο ἔορδοι. ὕστερον δὲ λέλεγες οἱ αὐτοὶ, καὶ κένταυροι, καὶ ἱπποκένταυροι. καὶ τὴν πόλιν ἀμυρικὴν καλεῖ.

Α μφαναὶ, πόλις δωρική. ἑκαταῖος ἐν πρώτῃ γενεαλογιῶν. θεόπομπος ἀμφαναίαν αὐτὴν καλεῖ ἐν πέμπτῳ φιλιππικῶν. ἔστι καὶ χωρίον θετταλίας. ὡσαύτως τὸ ἐθνικὸν ἀμφαναῖος, καὶ ἀμφαναιεύς.

Α μφάξιον, δύο μέρη λόγου, ποταμός. τὸ ἐξ αὐτοῦ, ἀμφαξίτης. στράβων ἑβδόμῃ.

Α μφεια, πόλις μεσσήνης. παυσανίας τετάρτῳ. τὸ ἐθνικὸν, ἀμφεύς. καὶ ὁ τύπος γὰρ ἀρκάς, ὡς τὸ ἡραιεύς.

Α μφιγένεια, πόλις μεσσηνιακή. στράβων ὀγδόῃ. ἔστι δὲ κατὰ μὲν ἀπολλόδωρον, τῆς μακιστίας. κατὰ δὲ ἀντίμαχον, τῆς μεσσηνίας. ἔχει δὲ ἡ πόλις λητοῦς ἱερόν. φασὶ γὰρ ὅτι ἐκεῖ παραγενομένην λητὼ, τεκεῖν τὸν ἀπόλλωνα. μενέλαος δέ φησι καὶ ἀμφιγένειαν εἰρῆσθαι. τὸ ἐθνικὸν, ἀμφιγενειάτης, διὰ τὸν πελοποννήσιον χαρακτῆρα, ἢ καὶ ἀμφιγενεύς.

Α μφίδολοι, πόλις τῆς τριφυλίας. καὶ οἱ πολῖται ὁμοίως. ὡς θούριοι, καὶ θαύμακοι, καὶ λεοντῖνοι, καὶ δελφοὶ, οὕτως ἀμφίδολοι.

Α μφίκαια, πόλις φωκίδος. παυσανίας δεκάτῃ. ὁ αὐτὸς ἀμφίκλειαν εἶπεν. ὁ πολί

Α μφίλοχοι, καὶ ἀμφιλο (της, ἀμφικαιεύς.
χικοὶ, ἐκ τοῦ ἀμφιλοχικοῦ ἄργους.

Α μφιμάλλιον, πόλις κρήτης, ἀπὸ ἀμφιμάλλου. ὁ πολίτης, ἀμφιμαλλιεύς, ἢ ἀμφιμάλλιος. λέγεται καὶ ἀμφίμαλλα. καὶ τὸ ἐθνικὸν, ἀμφιμαλλαῖος.

Α μφίπολις, πόλις μακεδονίας κατὰ θρᾴκην, ἥτις ἐννέα ὁδοὶ ἐκαλεῖτο. κεκλῆσθαι δὲ μυρίκην, καὶ ἠϊόνα. ἀμφίπολιν δὲ διὰ τὴν περίρροιαν τοῦ στρυμόνος, ὡς θουκυδίδης τετάρτῃ. ἐκαλεῖτο δὲ καὶ κράδεμνα, καὶ ἀνάδρομος. ἔστι καὶ πόλις συρίας πρὸς τῷ εὐφράτῃ, κτίσμα σελεύκου. καλεῖται δὲ ὑπὸ τῶν σύρων, τούρμεδα. τὸ ἐθνικὸν, ἀμφιπολίτης.

Α μφισσα, πόλις ὀζόλων λοκρῶν. ἐκλήθη δὲ διὰ τὸ ἐμπεριέχεσθαι τοῖς ὄρεσι τοῖς παρακειμένοις. παρασύνθετος δὲ, ὡς ἐκ τοῦ ἀντὶ ἄντισσα, καὶ τοῦ ἐπὶ ἔπισσα, οὕτως ἀμφὶ, ἄμφισσα. ὁ πολίτης ἀμφισσαῖος, καὶ ἀμφισσεύς. τὸ ἐκ τόπου, ἀμφισσῆθεν. ἔστι καὶ χώρα τῆς μικρᾶς ἀρμενίας ἀμφισσηνή, ὡς στράβων ιβ.

Α μφιτρόπη, δῆμος τῆς ἀντιοχίδος φυλῆς. ὁ δημότης, ἀμφιτροπαιεύς. τὰ τοπικὰ, ἀμφιτρόπηθεν, ἐκ τόπου. ἀμφιτρόπηνδε, εἰς τόπον. καὶ ἀμφιτρόπησι, ἐν τόπῳ. δοκεῖ δὲ τὸ ἀμφιτροπαιεὺς ἐξ ἄλλου εἶναι τοῦ ἀμφιτροπαῖος. τὰ γὰρ εἰς ευς ἀπὸ τῶν εἰς η θηλυκῶν, ἰσοσυλλαβεῖ τοῖς πρωτοτύποις. σινώπη, σινωπεύς.

Α μφρυσσος, πόλις φωκίδος. τινὲς διὰ τοῦ β φασίν. ἔστι καὶ ποταμὸς μαγνησίας. τὸ ἐθνικὸν, ἀμφρύσιος, ὡς λυκόφρων, Αμφρυσίων σκηπτοῦχον εὐρὺ ἄμπεδον. ἔστι καὶ ἀμφρυσσεύς.

## Τὸ ἄλφα μετὰ τοῦ νῦ.

Α ναγυροῦς, δῆμος τῆς ἐρεχθηΐδος φυλῆς. ὁ δημότης, ἀναγυρουντόθεν, ὁμοίως τῇ ἐκ τόπου. καὶ ἀναγυροῦνταδε, εἰς τόπον. καὶ ἐν τόπῳ, ἀναγυροῦντι. λέγεται καὶ ἀναγυράσιος. ζητεῖται δὲ πῶς ἔχει τὸ α. ἔδει γὰρ ὡς ῥαμνούσιος. ἀλλ' ἔοικε τὸ ρ αἴτιον εἶναι φιληδοῦν τῇ συντάξει τοῦ α. ὡς τὸ φλυοῦς, φλυάσιος.

Α ναζαρβὰ, πόλις κιλικίας. κέκληται ἀπὸ τοῦ προκειμένου, ἢ ἀπὸ ἀζάρβα τοῦ κτίσαντος. τὸ ἐθνικὸν, ἀναζαρβεὺς, ὡς σκαρυανδεύς. ἀφ' ἧς ἦν διοσκορίδης ὁ διασημότατος ἰατρὸς χρηματίζων ἀναζαρβεὺς, καὶ ἀσκληπιάδης ὁ ἀναζαρβεὺς, ὁ πολλά τε καὶ ἄλλα, καὶ περὶ ποταμῶν γράψας βιβλίον.

Α ναία, παροξυτόνως, οὐχ ὡς λίλαια, ἱστίαια, κάρθαια. ἔστι δὲ καρίας, ἀντικρὺ σάμου. κέκληται ἀπὸ ἀναίας ἀμαζόνος ἐκεῖ ταφείσης, ὡς ἔφορος. τὸ ἐθνικὸν, ἀναῖος. ἐντεῦθεν ἦν μενέλαος ὁ περιπατητικὸς φιλόσοφος, καὶ μέλας ἱστορικὸς, ἀναῖος. θουκυδίδης ἐν τρίτῃ ἀναίτας φησὶ τοὺς πολίτας, καὶ θηλυκῶς.

Α νακαία, δῆμος τῆς ἱπποθοωντίδος φυλῆς. ὁ δημότης, ἀνακαιεύς. τὰ τοπικὰ, ἀνακαίαθεν. ἀνακαίαδε. ἀνακαίασι. οἱ δὲ λέγοντες ἀνακωνόθεν, ἀνακωνάδε, ἀνακωνᾶς, οὐκ ἀσφαλῶς φασιν.

Α νάκη, ὡς ἀνάφη, πόλις ἀχαΐας. τὸ ἐθνικὸν, ἀνακαῖος, ὡς ἀναφαῖος.

Α νακτόρεια, ἀκαρνανίας πόλις οὐδετέρως, κορινθίων ἄποικος. θουκυδίδης τετάρτῃ. ἀρσενικῶς παρὰ σοφοκλεῖ. τὸ θηλυκὸν, ἀνακτόριος, καὶ ἀνακτορία ἡ γῆ, καὶ ἀνακτοριεύς. σοφοκλῆς δέ φησι διὰ τοῦ ι, Ανακτόριον τοῦ δ' ἐπώνυμον χθονός. καὶ εὐγένιος δὲ ὁ πρὸ ἡμῶν, τὰς ἐν τῇ βασιλίδι σχολὰς διακοσμήσας ἐν συλλογῇ λέξεων, διὰ διφθόγγου φησίν. ἔοικε δ' ἀγενεῖ ἐντετυχηκέναι βιβλίῳ. ἡμεῖς γὰρ διὰ τοῦ ι εὕρομεν.

Α ναριάκη, πόλις πρὸς τῇ κασπίᾳ θαλάσσῃ. στράβων. τὸ ἐθνικὸν, ἀναριάκης, ὡς λέσχη, λέσχης, καὶ ἀράχνη, ἀράχνης. ἐν ᾗ δείκνυσθαί φησι μαντεῖον κοιμωμένων.

Α ναυα, πόλις φρυγίας, ὡς ἡρόδοτος. τὸ ἐθνικὸν ἀναυαῖος, ἢ ἀναυεὺς, ἐπειδὴ χαίρουσιν εἰς ευς οἱ φρύγες.

Ἀνάφη, νῆσος μία τῶν σποράδων, πλησίον θήρας. ἥτις ἀπὸ μεμβλίαρος τοῦ σὺν κάδμῳ πλεύσαντος εἰς ἀναζήτησιν εὐρώπης μεμβλίαρος ἐκαλεῖτο. τοῖς δ' ἀργοναύταις ὑπὸ χειμῶνος ζυγουμένοις, καὶ σκοτομήνῃ ἀναφανεῖσα, ἀνάφη ἐπικέκληται. καὶ ἀναφαῖος τὸ ἐθνικόν.

Ἀνάφλυστος, δῆμος τῆς ἀντιοχίδος φυλῆς, ἀπὸ ἀναφλύστου ἥρωος. παυσανίας δευτέρῳ. τροιζήνιος οἱ παῖδες, ἀνάφλυστος, καὶ σφῆττος. ὁ δημότης, ἀναφλύστιος. τὰ τοπικά, ἀναφλυστόθεν. ἀναφλυστόνδε. ἀναφλυστοῖ.

Ἀνδανία, πόλις μεσσήνης, ὁμώνυμος τῇ χώρᾳ. οὕτω γὰρ καὶ ἡ μεσσήνη ἀνδανία ἐκαλεῖτο, ἣν οἰκίσαι φασί τινας τῶν μετὰ κρεσφόντου, καὶ οὕτω καλέσαι, διὰ τὸ μὴ ἀνδάνειν αὐτοῖς. τὸ ἐθνικὸν, ἀνδανιεύς, ὡς φίλων ἐν τῇ περὶ πόλεων. ἐκ ταύτης ἀριστομένης ἐγένετο ὁ ἐπιφανέστατος στρατηγός. τοῦτον οἱ λακεδαιμόνιοι πολλάκις αὐτοὺς νικήσαντα θαυμάσαντες, ὡς μόλις ἐκράτησαν ἐν τῇ μεσσηνιακῇ, ἀνατεμόντες, ἐσκόπουν εἰ παρὰ τοὺς λοιπούς ἐστί τι. καὶ εὗρον σπλάγχνον ἐξηλλαγμένον, καὶ τὴν καρδίαν δασεῖαν, ὡς ἡρόδοτος, καὶ πλούταρχος, καὶ ῥιανός. τὸ θηλυκὸν, ἀνδανιάς. λέγεται δὲ καὶ ἀνδάνιος, ὡς ῥιανός.

Ἄνδειρα, πόλις οὐδετέρως, ἐν ᾗ λίθος, ὃς καιόμενος, σίδηρος γίνεται. εἶτα μετὰ γῆς τινος καμινευθεὶς, ἀποστάζει ψευδάργυρον. εἶτα κραθεὶς χαλκῷ, ὀρείχαλκος γίνεται. στράβων .ιγ, καὶ θεόπομπος. ιγ. τὸ ἐθνικὸν, ἀνδειρηνὸς, καὶ ἀνδειρηνή. οὕτω γὰρ ἐκαλεῖτο ἡ μήτηρ τῶν θεῶν ἐκεῖ. ἔστι καὶ ἄνδειρα θηλυκῶς φρυγίας.

Ἀνδρία, πόλις ἠλείας, καὶ ἑτέρα μακεδονίας, ὡς φιλέας ἐν περίπλοις. ὁ πολίτης, ἀνδριεύς. τεύπαλος ὁ γράψας ἰλιακά.

Ἄνδρος, νῆσος μία τῶν κυκλάδων. ἐκλήθη ἀπὸ ἄνδρου τοῦ εὐρυμάχου, ἢ τοῦ ἀνίου ἀδελφοῦ, τοῦ παιδὸς τῶν οἰνοτρόπων. τινὲς δέ φασιν ἀνδρέα τοῦτον, καὶ ἀνίου παῖδα. τὸ ἐθνικὸν, ἄνδριος, ὡς λώδιος, κνίδιος, μύδιος.

Ἀνεμώρεια, πόλις φωκίδος, ἡ νῦν ἀνεμώλεια. ὅμηρος, οἵ τ' ἀνεμώρειαν καὶ ὑάμπολιν ἀμφενέμοντο. καὶ λυκόφρων, πάρδαν, λίλαιαν, κἀνεμωρείας πέδον. ὠνόμασται ἀπὸ τοῦ ἀμβαίνοντος. ὑπερκείμενον γὰρ αὐτῆς τὸ καλούμενον κατοπτήριον χωρίον, δι' ἡμέρας καὶ νυκτὸς καταυγαζόμενον πανταχόθεν. ἔστι δὲ μεθόριον φωκίδος, καὶ δελφῶν, κειμένη ἐπὶ λόφου ὑψηλοῦ. ὁ πολίτης, ἀνεμωρεύς, ὡς λυκωρεὺς ἀπόλλων.

Ἀνήτουσα. ὁ πολίτης, ἀνητουσαῖος, ὡς σκοτουσσαῖος, ὡς πολυΐστωρ φησίν. ἔστι δὲ πόλις λιβύης.

Ἀνθάνα, πόλις λακωνική, μία τῶν ἑκατόν. κέκληται δὲ ὡς φιλοστέφανος παρὰ ἄνθην τοῦ ποσειδῶνος. ὃν κλεωμένης ὁ λεωνίδου ἀδελφὸς ἀνελὼν, καὶ ἐκδείρας, ἔγραψεν ἐν τῷ δέρματι τοὺς χρησμοὺς τηρεῖσθαι. χάραξ ἀνθήνην αὐτήν φησιν. ὁ πολίτης, ἀνθανεύς. ἔστι καὶ ἀρκαδίας πόλις.

Ἄνθεια, πόλις πελοποννήσου, πλησίον ἄργους, ὡς φίλων. τὸ ἐθνικὸν, ἀνθεύς. ἔστιν ἄνθεια καὶ τοῦ πόντου πόλις πρὸς τῇ θρᾴκῃ, μιλησίων καὶ φωκαέων ἄποικος. ἧς μέμνηται πολλοὶ, καὶ φιλέας. ἔστι καὶ κώμη λιβύης. ἔστι καὶ ἰταλίας, ῥώμης πλησίον, ἥτις καὶ ἄντιον μετωνομάσθη, ὡς εἰρήσεται.

Ἀνθεμοῦς, πόλις μακεδονίας, καὶ συρίας, ἀπὸ ἀνθεμοῦντος. ὁ πολίτης, ἀνθεμούσιος, καὶ ἀνθεμουσία. ἔστι καὶ ἀνθεμουσὶς λίμνη μαριανδηνῶν, ἣν ἀπολλώνιος διαλύσας ἐν τῇ ἀργοναυτικῇ, ἀνθεμουσίδα φησίν.

Ἀνθηδὼν, πόλις βοιωτίας. ὅμηρος, Ἀνθηδόνα τ' ἐσχατόωσαν ἀπὸ ἀνθηδόνος τοῦ δίου τοῦ ἄνθου τοῦ ποσειδῶνος, καὶ ἀλκύνης τῆς ἀτλαντος. συνῴκησαν δ' αὐτὴν θρᾷκες, ὡς λυκόφρων, Ἀστῶ συνοικὸς θρηϊκίας ἀνθηδόνος. ἢ διὰ τὸ πασῶν ἀνθηροτάτην εἶναι. ἔστι καὶ ἑτέρα πόλις πλησίον γάζης, πρὸς τῷ παραλίῳ μέρει. ὁ πολίτης τῆς προτέρας, ἀνθηδόνιος. ἔστι καὶ λιμὴν ἀνθηδόνιος. ἀννίκερις παγκρατιαστὴς ἀνθηδόνιος, καὶ λεωνίδης ζωγράφος εὐφράνορος μαθητὴς, ἀνθηδόνιος. τῆς δευτέρας ὁ πολίτης, ἀνθηδονίτης.

Ἀνθήλη, κώμη ἡρόδοτος ἑβδόμῃ. ἡρωδιανὸς δὲ πόλιν αὐτήν φησι, καὶ ἄλλοι. καὶ ἀνθήνη ἐκλήθη. τὸ ἐθνικὸν, ἀνθηλαῖος. καὶ, Ἀνθήνηθεν ἵκοντο.

Ἄνθιον, πόλις ἰταλίας. κουάδρατος ἐν δευτέρᾳ ῥωμαϊκῆς χιλιάδος. ὁ πολίτης, ἀνθιανὸς, ὡς αὐτός.

Ἄνθυλλα, πόλις αἰγύπτου. ἡρόδοτος δευτέρᾳ, τουτέων δὲ ἡ μὲν ἄνθυλλα ἐοῦσα λογίμη πόλις ἐς ὑποδήματα ἐξαιρέτως. τὸ ἐθνικὸν, ἀνθυλλαῖος, ὡς ἄβολλα, ἀβολλαῖος. καὶ ἀνθυλλίτης, διὰ τὸν τύπον.

Ἄννα, πόλις τῆς ἰουδαίας, ὑπὸ ἰδρυμένη (?) … χοῦντα. τὸ ἐθνικὸν ἀννανίτης, ὡς ἰώσηπος. καὶ ἀννιανὸς, ἀπὸ τοῦ ἀννανία.

Ἀννίχωρον. μέμνηται ἀλκμαίων. οἱ οἰκοῦντες, ἀννίχωροι. καὶ ἀννίχωροι, πλησίον περσῶν κείμενοι.

Ἀνταιούπολις, πόλις ἐν αἰγύπτῳ. τὸ ἐθνικὸν, ἀνταιοπολίτης. λέγεται καὶ ἀνταίων, ὡς ἀκταίων. ἀφ' οὗ ἡ πόλις.

Ἄντανδρος, πόλις ὑπὸ τὴν ἴδην, πρὸς τῇ μυσίᾳ τῆς αἰολίδος, ἀπὸ ἀντάνδρου τοῦ στρατηγοῦ αἰολέων. τὸ ἐθνικὸν, ἀντάνδριος.

ἀριστοτέλης

ἀριστοτέλης φησὶ ταύτην ὠνομάσθαι ἠδωνίδα, κιμμερίων ἐνοικούντων ἑκατὸν ἔτη. τὰ ἐθνικὰ τῆς μὲν ἠδωνίδος, ἠδωνοί. τῆς δὲ κιμμερίας, κιμμέριοι.

Ἄντεμνα, πόλις σαβίνων, μία τῶν ἀνθεστηκυιῶν ῥωμύλῳ. τὸ ἐθνικὸν, ἀντεμνάτης, ὡς ῥαβεννάτης.

Ἄντεια, πόλις ἰταλίας, ὑπήκοος ῥωμαίων. ἐκλήθη δὲ ἀπὸ κίρκης παιδός. ὀδυσσέως γὰρ καὶ κίρκης υἱοὶ τρεῖς, ῥῶμος, ἄντεια, ἀρδεία. ὁ πολίτης, ἀντιάτης, ὡς ἀρδεάτης. ἔστι καὶ ἄντιον πόλις οὐδετέρως μετὰ λώρεντον τῆς ἰταλίας. τὸ ἐθνικὸν, ἀντιεύς, ὡς σουνιεύς.

Ἀντιγόνεια, πόλις χαονίας ἐν ἠπείρῳ. ὁ πολίτης, ἀντιγονεύς. ἔστι καὶ πόλις ἀρκαδίας, ἡ πρότερον μαντίνεια. τρίτη, μακεδονίας, ἀντιγόνου κτίσμα τοῦ γονατοῦ. τετάρτη, βιθυνίας, πρὸς τῷ δασκυλίῳ. πέμπτη, ἐν τῇ συρίᾳ, πλησίον ἀντιοχείας. ἔστι καὶ φρούριον τῆς κυζικηνῆς, ἀπέχον τῆς προσωτέρου θαλάσσης ὡς σταδίους ν. τὸ ἐθνικὸν, τὸ αὐτό.

Ἀντικονδυλεῖς, οἱ ἐν βοιωτίᾳ κόλοι φρύγες, ὡς ἀριστοφάνης ὁ τοὺς θηβαίους ὅρους γεγραφώς.

Ἀντίκυραι, πόλεις δύο, ἡ μία φωκίδος, ὡς δημήτριος ὁ καλλατιανός. ἡ δὲ, ἐν μαλιεῦσιν, ὡς ἀπολλόδωρος. ἐνταῦθά φασι τὸν ἐλλέβορον φύεσθαι τὸν ἀστεῖον. ὁ πολίτης, ἀντικυρεύς, ὡς παλαιρεύς. ἦν δὲ καὶ ἀνήρ τις ἀντικυρεύς, ὅν τινά φασιν ἐλλεβορίσαι τὸν ἡρακλέα μετὰ τὴν μανίαν. καὶ ἀντικυραῖος, ὡς μάρκελλος ἰατρός.

Ἀντιγονίς, φυλὴ τῆς ἀττικῆς, ἀπὸ ἀντιγόνου. ὁ φυλέτης, ἀντιγονεύς, ὡς αἰγικορεύς.

Ἀντινόεια, πόλις αἰγύπτου, ἀντινόου παιδός. τὸ ἐθνικὸν, ἀντινοεύς. ἐκλήθη ἡ πόλις καὶ ἀδριανούπολις.

Ἀντιόχεια, δέκα πόλεις ἀναγράφονται. εἰσὶ δὲ πλείους. πρώτη, σύρων. δευτέρα, ἐκλήθη ἀπὸ ἀντιόχου τοῦ ἐπιφανοῦς, λυδίας. τρίτη, μεσοποταμίας, μυγδονία καλουμένη, ἥτις παρὰ τῶν ἐπιχωρίων ἀσίβη καλεῖται, ὅθεν ἀπολλοφάνης ὁ στωϊκὸς φιλόσοφος, ἀσιβηνὸς, καὶ φαρνοῦχος, περσικὰς ἱστορίας συγγεγραφώς. ἥτις νισίβη λέγεται, καὶ νισιβίς. τετάρτη, πισιδίας. πέμπτη, μεταξὺ κοίλης συρίας, καὶ ἀραβίας σεμιράμιδος. ἕκτη, κιλικίας, ἐπὶ τοῦ πυράμου. ἑβδόμη, πιερίας, ἣν ἄραδον οἱ σύροι καλοῦσιν. ὀγδόη, ἡ ἐπὶ τῆς καλλιῤῥόης λίμνης. ἐνάτη, ἐπὶ τῷ ταύρῳ, ἐν κομμαγηνῇ. δεκάτη, ἐν σκυθίᾳ. ἑνδεκάτη, καρίας, ἥτις καὶ πυθόπολις ἐκαλεῖτο. ἀντιόχῳ γὰρ τῷ σελεύκῳ τρεῖς γυναῖκες ἐπέστησαν ὄναρ κτίσαι πόλιν ἐν καρίᾳ, ἑκάστη λέγουσα. ὁ δὲ, ἀπολαβὼν τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὴν ἀδελφὴν, κτίζει τρεῖς πόλεις. ἀπὸ μὲν τῆς ἀδελφῆς λαοδίκης, λαοδίκειαν. ἀπὸ δὲ τῆς γυναικὸς νύσσης, νύσαν. ἀπὸ δὲ τῆς μητρὸς ἀντιοχίδος, ἀντιόχειαν. ἀντιοχὶς δὲ ἦν ὄνομα καὶ τῆς μητρὸς, καὶ ἐθνικὸν τῆς πόλεως, καὶ φυλῆς ὄνομα. δυοκαιδεκάτη, ἐν τῇ μαργιανῇ παρθυαίων, περὶ ἧς στράβων. πεντεκαιδεκάτη. τρισκαιδεκάτη, ἡ ταρσός. τὸ ἐθνικὸν πᾶν, ἀντιοχεύς, καὶ ἀντιόχειος, καὶ ἀντιοχὶς τὸ θηλυκόν.

Ἀντιπατρίς, πόλις. ἡρωδιανός. κτίσμα ἐπὶ ἀντωνίου καίσαρος. τὸ ἐθνικὸν, ἀντιπατρίτης.

Ἀντίσσαρα, ἐπίνειον δατηνῶν. ἡρωδιανὸς ἀντισσάρη, καὶ αὕτη πόλις. τινὲς δὲ, τισσάρη γράφουσι. τὸ ἐθνικὸν, ἀντισσαρεύς, ὡς ἀντικυρεύς, τῆς ἀντικύρας.

Ἄντισσα, πόλις λέσβου ἐφεξῆς τῷ σιγρίῳ. ἀφ᾽ ἧς τέρπανδρος ὁ ἀντισσαῖος διασημότατος κιθαρῳδὸς, ἀπὸ ἀντίσσης τῆς μάκαρος θυγατρός. ἐν τοῖς φίλωνος. ἔστι καὶ νῆσος μία τῶν κυκλάδων. καὶ τρίτη, ἰνδικῆς, ἣν ἀναγράφει φίλων, καὶ δημοδάμας ὁ μιλήσιος.

Ἀντίφελλος, καὶ φελλὸς, χωρία λυκίας. οἱ οἰκοῦντες, φελλῖται, καὶ ἀντιφελλῖται.

Ἀντίφρα, πολίχνιον, ἀλεξανδρείας ἐγγὺς, οὐ πολὺ ἀπωτέρω θαλάσσης. οὐκ εὔοινον. τὸν δ᾽ οἶνον καλοῦσι βύκον. ὁ πολίτης, ἀντιφραῖος.

Ἄντρον, τὸ σπήλαιον. τὸ τοπικὸν ἔδει ἀντρίτης, ὡς λίκνον, λικνίτης. εὕρηται δὲ ἀντραῖος, ὡς εὐριπίδης ἐν αἰξὶ, καὶ ἀντραία.

Ἄντρων, πόλις θετταλίας. ζηνόδοτος δὲ γράφει, ἀγχίαλον ἄντρωνα. λέγεται δὲ διὰ τὸ τοὺς τόπους ἀντρώδεις εἶναι. ὁ πολίτης, ἀντρώνιος. ἐξ οὗ καὶ παροιμία, ἀντρώνιος ὄνος.

Ἄνυσις, πόλις αἰγύπτου. τὸ ἐθνικὸν, ἀνυσίτης, ὡς ὄασις, ὀασίτης.

Ἄνωλος, πόλις λυδίας. ἐκλήθη ἀπὸ ἀνώλου τοῦ ἀσίου παιδός. οἱ πολῖται, ἄνωλοι. καὶ τὸ θηλυκὸν, ἀνωλυάς.

## Τὸ ἄλφα μετὰ τοῦ ξῦ.

Ἀξία, πόλις λοκρῶν τῶν ὀζόλων, ἀπὸ ἀξίας τῆς θυγατρὸς κλυμένου, ἢ τοῦ παιδὸς ταυξίου. ἔστι καὶ πόλις ἰταλίας. τὸ ἐθνικὸν τῆς λοκρίδος, ἀξιεύς. καὶ τὸ θηλυκὸν, ἀξιάς. τῆς δ᾽ ἰταλίας, ἀξιάτης. καὶ θηλυκῶς διὰ τὸν δυτικὸν χαρακτῆρα.

Ἄξος, πόλις κρήτης, ὡς ἡρόδοτος ἐν τετάρτῃ. τὸ ἐθνικὸν, ἄξιος.

Ἀξουμίτης, ἀρσενικῶς, μητρόπολις αἰθιόπων. ὁ πολίτης, ἀξουμίτης.

Τὸ ἄλφα μετὰ τοῦ ο μικροῦ.

Α ονες, ἔθνος βοιωτίας, ἀφ' ὧν ἡ ἀονία. καὶ ἄων, τὸ ἔθνος. καὶ ἀόνιος, καὶ ἀονία.

Α ορνος, πόλις ἀρσενικῶς, καὶ θηλυκῶς. τὸ ἐθνικὸν, ἀορνεὺς, ὡς ἀβαρνεύς.

Α ορσοι, ἔθνος, περὶ οὗ στράβων ἑνδεκάτῃ. ἐθνικὸν τὸ αὐτό.

Τὸ ἄλφα μετὰ τοῦ π.

Α παισὸς, πόλις κατὰ τὴν τρωάδα. ὅμηρος, οἵ τ' ἀδρήστειάν τ' εἶχον, καὶ δῆμον ἀπαισοῦ. καὶ δίχα τοῦ α, ὅς ῥ' ἐνὶ παισῷ ναῖε πολυκτήμων. ὡς ἄταρνα πόλις, καὶ τάρνα. ὅμηρος, ὃς ἐκ τάρνης ἐριβώλακος. τὸ ἐθνικὸν, ἀπαισηνὸς, καὶ θηλυκὸν, καὶ οὐδέτερον. ἔστι καὶ τῆς λαυνίας πόλις παῖσος κατ' ἀργεῖπα, ἧς τὸ ἐθνικὸν, παίσιος, ὡς τῆς ῥώσου, ῥώσιος. ἢ ὅπερ ἄμεινον, παισῖνος διὰ τοῦ ι. καὶ περισπωμένως, τῷ ἔθει τῆς χώρας.

Α πάμεια, συρίας πόλις, ἀπὸ ἀπάμας τῆς σελεύκου μητρός. ἐκλήθη καὶ χερρόνησος, ἀπὸ τῆς περιοχῆς τῶν ὑδάτων. καὶ πέλλα, ἀπὸ τῆς ἐν μακεδονίᾳ. ἔστι καὶ ἄλλη ἐν τῇ μεσηνῶν γῇ, τῷ τίγρητι περιεχομένη, ἐν ᾗ σχίζεται ὁ τίγρης ποταμός. καὶ ἐν μὲν τῇ δεξιᾷ μοίρᾳ, περιβρέχεται ποταμὸς δέλας. ἐν δὲ τῇ ἀριστερᾷ, τίγρης, ὁμωνύμως τῷ μεγάλῳ. τὰ ἐθνικὰ, χερρονησίτης, καὶ πελλαῖος, καὶ ἀπαμεύς. ἔστι καὶ τῆς μικρᾶς φρυγίας, ἥτις ἐκαλεῖτο κελαιναί. τὰ ἐθνικὰ, κελαινίτης. ἀπαμεύς. ἔστι καὶ βιθυνίας, κτίσμα νικομήδους τοῦ ἐπιφανοῦς. ἐκαλεῖτο δὲ πρῶτον μύρλεα. τὸ ἐθνικὸν, μυρλεανός. ἔστι καὶ τῆς περσίας ἐδέσσης πρὸς ἄρκτους.

Α πασιακαὶ, μασσαγετῶν ἔθνος. στράβων ἑνδεκάτῃ, καὶ πολύβιος δεκάτῃ. οἱ δ' ἀπασιακαὶ νομάδες κατοικοῦσι μὲν ἀνὰ μέσον ὤξου.

Α πάτουρον, τὸ τῆς ἀφροδίτης ἱερὸν ἐν φαναγορείᾳ. στράβων ἑνδεκάτῃ. ἐτυμολογοῦσι δὲ οὕτως. ἐπιθεμένων ἐκεῖ τῶν γιγάντων, ἐπικαλεσαμένη τὸν ἡρακλέα, ἔκρυψεν ἐν κευθμῶνι τινί. καὶ τῶν γιγάντων ἕκαστον δεχομένη καθ' ἕνα, τῷ ἡρακλεῖ παρεδίδου δολοφονεῖν ἐξ ἀπάτης. ἑκαταῖος δὲ κόλχον οἶδε τὸν ἀπάτουρον ἐν τῇ ἀσίᾳ. τὸ τοπικὸν, ἀπάτουρος, ἀλλὰ καὶ ἀπατουρίτης. δηλοῦται καὶ ἀπατούρεος, καὶ ἀπατουρεύς.

Α πέννιον, ὄρος διὰ μέσης ἰταλίας τεταμμένον. τὴν μέν τε μέσην ὄρος ἔνδιχα τέμνειν, ὅν ῥά τε κεκλήσκουσιν ἀπέννιον. τὸ κτητικὸν, ἀπέννειος. τὸ ἐθνικὸν, ἀπεννῖνος, ὡς ῥηγῖνος. ὁ παρὰ περιηγητῇ κεῖται. ιγ.

Α περάντεια, πόλις θετταλίας. πολύβιος εἰκοστῷ. τὸ ἐθνικὸν, ἀπεραντοὶ, ὡς ἀμαραντοὶ ὀξυτόνως.

Α πέσας, ὄρος τῆς νεμέας, ὡς πίνδαρος, καὶ καλλίμαχος ἐν τρίτῃ, ἀπὸ ἀφέσαντος ἥρωος βασιλεύσαντος τῆς χώρας. ἢ διὰ τὴν ἄφεσιν τῶν ἁρμάτων, ἢ τοῦ λέοντος. ἐκεῖ γὰρ ἐκ τῆς σελήνης ἀφέθη. ἀφ' οὗ ζεὺς ἀπεσάντιος. καλλίμαχος δ' ἐν τοῖς ἰάμβοις, τὸ ἐθνικὸν ἀπέσας φησὶ, κοὐχ ὡδαρείων τῷ ἀπέσαντι παρ δὶ ἔθυσεν ἀρκάδας ἵππους.

Α πία, οὕτως οἱ νεώτεροι τὸ ἄργος, καὶ τοὺς κατοικοῦντας ἀπιδόνας, ἀπὸ ἄπιδος τοῦ φορωνέως, ὡς ῥιανὸς ἐν ἀχαϊκῶν δευτέρῳ, Ημετέρη τοι τέκνα φορωνέως ἦν δ' ἀρχῆθεν γενεή. τοῦδε κλυτὸς ἐκγένετ' ἄπις, ὅς ῥ' ἀπίην ἐφάτιξε, καὶ ἀνέρας ἀπιδονῆας. τὸ ἐθνικὸν, ἀπιεὺς, δηλῶν τὸν πελοποννήσιον. καὶ ἀπίηθεν, τὸ ἐκ τούτου. καὶ ἀπιδόνες, καὶ ἀπιδονῆες. ἀπιδόνες δὲ καὶ οἱ ἀρκάδες, ἀπὸ ἀπιδόνος ποταμοῦ, ἢ τοῦ υἱοῦ φορωνέως ἀπιδόνος. δημήτριος δὲ καὶ ποταμὸν ἀπιδανὸν τῆς τρωάδος φησὶν ἐκβάλλοντα εἰς τὴν ἑσπέρειον θάλασσαν, ὡς τιμοσθένης φησί. δὲ καὶ τὰς ἀχράδας τὰς ἐν αὐτῇ τῇ χώρᾳ γιγνομένας ἱστορεῖ ἀπίας, ἀπὸ ταύτης ἀπὸ τοῦ ἔξωθεν λεχθῆναι. λέγεται καὶ ἄπις θηλυκὸν, οὗ ἡ γενικὴ, ἄπιδος. οὕτω τὴν χώραν βραβαθέν' ἐν ὀρμῇ προ

Α πίολα, πόλις ἰταλίας. τὸ  σαγορεύει. ἐθνικὸν, ἀπιολανὸς, ὡς νῶλα, νωλανός.

Α ποβοιωτοὶ, ὡς βοιωτοὶ, ἔθνος αἰτωλίας. θουκυδίδης τρίτῃ, Επιχειρεῖν δ' ἐκέλευον πρῶτον μὲν ἀποβοιωτοῖς, ἔπειτα ὀφιονεῦσιν.

Α πόκοπα, οὐδετέρως, κόλπος ἐν τῷ ἀραβικῷ μυχῷ. μαρκιανὸς ἐν περίπλῳ. τὸ τοπικὸν, ἀποκοπίτης, ἢ ἀποκοπηνός.

Α πολλωνία, πρώτη πόλις ἰλλυριὰς, ἣν ᾤκουν ἰλλυριοὶ κατ' ἐπίδαμνον. ὕστερον διακοσίων κορινθίων ἀποικία εἰς αὐτὴν ἐστάλη, ἧς ἡγεῖτο γύλαξ, ὃς γυλακίαν ὠνόμασε. τὸ ἐθνικὸν, ἀπολλωνιάτης. καὶ θηλυκὸν, ἀπολλωνιάτις. β, ἐν νήσῳ πρὸς τῇ θαλμυδησσῷ, ἄκρα μιλησίων, καὶ ῥοδίων. γ, μακεδονίας. δ, πόλις λιβύης. ε, ἐν νήσῳ τῆς ἀκαρνανίας μία τῶν ἐχινάδων. ς, ἐν κρήτῃ, πρὸς τῇ κνωσσῷ. ζ, πλησίον λεοντίνων, καὶ καλῆς ἀκτῆς. η, μυσίας. θ, πόλις μυσίας, ἐπὶ ῥυνδάκῳ ποταμῷ. ι, κατὰ θυάτειρα, καὶ ἔφεσον. ια. φωκίδος, ἣν ὅμηρος κυπαρισσόν φησι, διὰ τὸ πολλὰς ἔχειν κυπαρίσσους, ὡς δίδυμος. ιβ, περὶ τὴν κοίλην συρίαν. ιγ, κατὰ ἰόπην. ιδ, τῆς μεσοποταμίας. ιε, λιβύης, ἡ κυρήνη ἐκαλεῖτο. ις, λυδίας. ιζ, πισιδίας, ἡ πρότερον μορδιαῖον. ιη, φρυγίας, ἡ πάλαι μάργιον. ιθ, ἐν σίφνῳ τῇ νήσῳ. εἰκοστὴ, συρίας, κατὰ ἀπάμειαν. κα, νῆσος πρὸς τῇ λυκίᾳ. κβ, τῶν

ἐνθὶ θρᾴκης ἰώνων, ἣν δημοσθένης φησίν. εἰ-
κοστὴ τρίτη, κρήτης, ἡ πάλαι ἐλευθεραλλί-
νου πατρίς. ἐκ ταύτης ὁ φυσικὸς διογένης.
εἰκοστὴ τετάρτη, ἐν αἰγύπτῳ. εἰκοστὴ πέμ-
πτη, μεταξὺ βαβυλῶνος, καὶ σούνων. τρύ-
φων ἐν τῷ περὶ παρωνύμων τὸ ἐθνικὸν εἶ-
πεν ἀπολλωνιεύς, ἀλλ' οὐκ ἔστιν ἐκ τῆς πό-
λεως, ἀλλ' ἐκ τοῦ ἀπολλώνιον, ὡς δουλίχι-
ον, δουλιχιεύς.

Α πολλωνιεῖς, δῆμος προστεθεὶς τῇ ἀτταλί-
δι φυλῇ. ὁ δημότης, ἀπολλωνιεύς.

Α πόλλωνος νῆσος, ἐν λιβύῃ. τὸ ἐθνικὸν, ἀπολ-
λωνησίτης. λέγεται καὶ νησαῖος.

Α πόλλωνος πόλις, ἐν αἰγύπτῳ, πρὸς τῷ μέ-
ρει τῆς λιβύης ἡ μικρά, ἧς μέμνηται ἀππί-
ων. δευτέρα, ἡ μεγάλη ἐν αἰγύπτῳ. τρίτη, ἐν
αἰθιοπίᾳ, τῇ ἐρυθρᾷ παρακειμένη. τὸ ἐθνι-
κὸν, ἀπολλωνοπολίτης.

Α προς, θηλυκὸν, πόλις θρᾴκης. θεόπομπος
εἰκοστῇ ἕκτῃ, τοῦ δ' αἴνου ποταμοῦ διαρρέοντος
περὶ τὴν ἄπρον. τὸ ἐθνικὸν, ἀπραῖος.

Α πτέρα, πόλις κρήτης, ἀπὸ τῆς τῶν μουσῶν
καὶ σειρήνων ἔριδος τῆς ἐν τῷ μουσείῳ, πλη-
σίον τῆς πόλεως καὶ τῆς θαλάττης τόπῳ
τοιῷδε καλουμένῳ γενομένης, ἐν ᾧ μετὰ
τὴν ἐν μουσικῇ νίκην τῶν μουσῶν, αἱ σειρῆ-
νες δυσφοροῦσαι, τὰ πτερὰ τῶν ὤμων ἀ-
πέβαλον. καὶ λευκαὶ γενόμεναι, εἰς τὴν θά-
λασσαν ἐνέβαλον ἑαυτάς. ὅθεν ἡ πόλις
ἄπτερα. αἱ δὲ πλησίον νῆσοι, λευκαί. οἱ δὲ,
ἀπὸ γλαύκου τοῦ κυρηναίου. ὁ πολίτης,
ἀπτεραῖος. ἔστι καὶ λυκίας πόλις οὐδε-
τέρως καὶ αὕτη. καὶ τὸ ἐθνικὸν, ἀπτερεύς.

τὸ ἄλφα μετὰ τοῦ ῥῶ.

Α ῥαβία, ἡ χώρα, ὡς αἰθιοπία. δύο δ' εἰσίν. ἡ
μὲν, ἀρωματοφόρος, μεταξὺ περσικῆς, καὶ
ἀραβικῆς θαλάσσης. ἡ δὲ, μᾶλλον δυτική,
συνάπτουσα πρὸς μὲν τὴν δύσιν, αἰγύπτῳ.
πρὸς ἄρκτον δὲ, συρίᾳ. περὶ ἧς ὁ περιηγη-
τὴς διονύσιός φησι, τῆς δ' αὖ ἴδοις προτέρω
νοτιώτερον ὅρμον ὀδεύων ἀραβίου κόλ-
που μυχάτον ῥόον, ὅς τε μεσηγὺ εἰλεῖται
συρίης τε καὶ ἀραβίας ἐρατῆς. τὸ ἐθνικὸν
ἀράβιος, ὡς ἡ παροιμία, Ἀράβιος αὐλη-
τής, ἐπὶ ἐτάττον περὶ τῶν ἀπαύστως διαλε-
γομένων, ἢ διὰ τὸ μηδένα ἑλλήνων διασκευά-
σασθαι τὴν αὐλητικὴν ὡς ἔχειν βάναυσον, καὶ
παντελῶς ἀνελεύθερον, ἀλλὰ βαρβάροις
αὐληταῖς χρῆσθαι. διὸ καὶ ἀράβιος αὐλη-
τής, ὃς δραχμῆς μὲν ηὔλει, τεττάρων δ' ἐ-
παύετο. τὸ ἐθνικὸν ἀράβιος, καὶ ἀράβισσα.

Α ραβις, ποταμὸς ἰνδικῆς ἐν αὐτονόμῳ χώρᾳ,
περὶ ὃν οἰκοῦσιν ἀραβῖται, ὡς ὠκεανῖται.

Α ράβυζα, πόλις τῆς καυκωνίδος, ἥτις νῦν
πεσηνοῦς ὀνομάζεται. τὸ ἐθνικὸν, ἀραβυ-
ζαῖος, ἢ ἀραβύζιος.

Α ραδὴν, πόλις κρήτης, ἣ καὶ ἀνώπολις λέ-
γεται, διὰ τὸ εἶναι ἄνω. ὁ πολίτης ἀπὸ τῆς γενι-
κῆς ἀραδήνιος, ὡς ἀραφῆνος, ἀραφήνιος.

Α ραδος, νῆσος φοινίκης. ἔστι καὶ ἑτέρα τῆς ἐ-
ρυθρᾶς θαλάσσης. τὸ ἐθνικὸν, ἀράδιος. τρί-
τη, κρήτης. τὸ ἐθνικὸν, ἀράδιος, ἀραδία.

Α ραζος, πόλις πρὸς τῷ πόντῳ, ἀπὸ ἀράζου
τοῦ ἡγησαμένου. τὸ ἐθνικὸν, ἀράζιος, ὡς
σαβάζιος.

Α ραιθυρέα, οὕτως ἡ φλειοῦς πάλαι. ὅμηρος,
Ἀραιθυρέην τ' ἐρατεινήν. παυσανίας δευτέ-
ρῳ περιηγήσεως ἑλλάδος φησὶν, ὅτι ἄραν-
τος υἱὸς ἄορις ἐγένετο, καὶ θυγάτηρ ἀραι-
θυρέα. τούτους φλιάσιοί φασι θήρας ἐμ-
πείρους γενέσθαι, καὶ τὰ ἐς πόλεμον ἀνδρεί-
ους. προαποθανούσης δὲ τῆς ἀδελφῆς, ἄορις
ἐς μνήμην τῆς ἀδελφῆς τὴν χώραν οὕτως
ἔφη. τὸ ἐθνικὸν ἀραιθυρεύς. καὶ ἀραιθυ-
ρέηθεν.

Α ραὶ, ἰωνίας νῆσοι τρεῖς, οὕτω λεγόμεναι διὰ
τὰς ἀρὰς, ἃς διωρεῖς ἐποιήσαντο πρὸς τοὺς
πενταπολίτας, ὡς ἀριστείδης. ἄλλοι δ' ἄλ-
λως. τὸ ἐθνικὸν, ἀραῖος.

Α ράκυνθος, ὄρος βοιωτίας, ἀφ' οὗ ἡ ἀθηνᾶ
ἀρακυνθίς, ὡς ῥιανὸς ἐν τῇ φήμῃ, κλῦθί
μοι εὐχάων ἀρακυνθιὰς εὐπατέρεια. ἔστι
γοῦν ἀρακύνθιος τὸ τοπικὸν, καὶ ἀρακυνθία.

Α ραντία, πόλις, ἡ ὕστερον φλιοῦς, ἀπὸ τινος
ἄραντος αὐτόχθονος. οἱ πολῖται, ἀραν-
τῖνοι.

Α ραξα, πόλις λυκίας, ὡς ἀλέξανδρος ἐν
δευτέρῳ τῶν λυκιακῶν. τὸ ἐθνικὸν, ἀραξεῖς,
ὡς πιναρεῖς, λιμυρεῖς, καὶ μυρεῖς. ἀράξαι,
ἢ ἀραξοὶ ἔθνος ἰλλυρίας, ὡς ἀλέξανδρος
κορνήλιος ἐν τῷ περὶ τῶν παρ' ἀλκμᾶνι
τοπικῶς εἰρημένων.

Α ράξης, ποταμὸς ἀρμενίας, καὶ θετταλί-
ας. οὕτω γὰρ ὁ πηνειὸς ἐκαλεῖτο, ἐκ τοῦ ἀ-
ράξαντος. τὸ τοπικὸν, ἀράξιον ὕδωρ.

Α ράφεια, νῆσος καρίας. παρθένιος ἐν ἰφί-
κλῳ, καὶ εἰναλίαν ἀράφειαν. καὶ τὸ ἐθνι-
κὸν, ἀραφεύς.

Α ραφὴν, δῆμος αἰγηΐδος φυλῆς. ὁ δημότης,
ἀραφήνιος, καὶ ἀραφηνὶς θηλυκόν. τὸ το-
πικὸν, ἀραφηνόθεν. ἀραφηνῆσιν. ἀρα-
φηνάδε.

Α ραχναῖον, ὄρος ἄργους. καλλίμαχος αἰτίων
πρώτῃ. προπερισπαστέον δέ. τὰ γὰρ διὰ τοῦ
·αιον· ἁπλᾶ, ὑπὲρ τρεῖς συλλαβὰς, ἔχοντα
τὴν τετάρτην ἀπὸ τέλους διὰ τοῦ ·α, καὶ
τὴν ἑξῆς διὰ τοῦ ·α, ἢ διὰ τοῦ ·υ, προπερισπῶν-
ται. χαλαστραῖον. καναστραῖον. ἀμυχναῖ-
ον. πρόσκειται δ' ἁπλᾶ, διὰ τὸ κυθάτιον.

Αραχωσία, πόλις οὐκ ἄποθεν μασσαγετῶν. στράβων ἑνδεκάτῃ. ἀπὸ σεμιράμεως κτισθεῖσα, ἥτις καὶ κωφὴν ἐκαλεῖτο. οἱ πολῖται, ἀραχώσιοι. τῆς δὲ κωφῆνος, κωφήνιοι.

Αραχωτοὶ, πόλις ἰνδικῆς, ἀπὸ ποταμοῦ ἀραχωτοῦ, ῥέοντος ἀπὸ τοῦ καυκάσου, ὡς φαβωρῖνος, καὶ στράβων ἑνδεκάτῃ. εἰσὶ καὶ ἄλλοι πλησίον μασσαγετῶν, ὡς στράβων ἑνδεκάτῃ. διχῶς δὲ λεκτέον, καὶ ἀραχώτης, καὶ ἀραχωτός.

Αρβάκη, πόλις ἐν κελτιβηρίᾳ, ὡς ἴοβας. τὸ ἐθνικὸν, ἀρβακαῖος.

Αρβάνιον, πόλις πρὸς τῷ πόντῳ. τὸ ἐθνικὸν, ἀρβάνιος. καὶ τὸ θηλυκὸν ἐν κοινῷ γένει, Αρβάνιος ἀκτή.

Αρβαξανοὶ, ἔθνος λιγυστικόν. Παρέπλεον δὲ τὴν χώραν τὴν μὲν πρώτην ἔρημον, ἣν ἐνέμοντο ἰψίκοροι, καὶ ἀρβαξανοί.

Αρβέλη, πόλις σικελίας. τὸ ἐθνικὸν, ἀρβελαῖος. φίλιστος σικελικῶν ὀγδόῃ.

Αρβηλα, πόλις περσική, ἀπὸ ἀρβήλου τοῦ ἀθμονέως. στράβων ἑκκαιδεκάτῃ. οἱ κάτοικοι, ἀρβηλῖται. τὸ θηλυκὸν, ἀρβηλῖτις. καὶ τὰ κτητικὰ, ἀρβηλικός. καὶ θηλυκῶς.

Αρβις, ποταμὸς τῆς ἰνδικῆς. ἔθνος, ἀρβιος, ἢ ἀρβῖται. ἔστι καὶ ἐν κρήτῃ ἄρβιος ὄρος, ἔνθα τιμᾶται ἄρβιος ζεύς. ἄρβιος οὖν καὶ ὁ κατοικῶν τὸ ὄρος.

Αρβουκάλη, πόλις μεγίστη τῶν ἐντὸς ἴβηρος ποταμοῦ, ἣν μόλις εἷλεν ἀννίβας, ὡς πολύβιος τρίτῃ.

Αρβων, πόλις ἰλλυριάς. πολύβιος δευτέρᾳ. τὸ ἐθνικὸν, ἀρβώνιος, καὶ ἀρβωνίτης, ὡς ἀνθηδόνιος, καὶ ἀσκαλωνίτης.

Αργαῖς, νῆσος πρὸς τῇ λυκίᾳ. ὁ οἰκήτωρ, ἀργαΐτης. ἔστι καὶ πρὸς τῷ κανώβῳ μικρὰ νῆσος ἀργαίου.

Αργαθώνη, ὄρος μυσίας ἐπὶ τῇ κίῳ, ἀπὸ ἀργαθώνος ῥήσου γυναικός. λέγεται καὶ ἀργαθὼν καὶ ἡ γυνὴ, καὶ τὸ ὄρος. τὸ κτητικὸν, ἀργαθώνειος, ὡς τὸ κιθαιρὼν, κιθαιρώνειος. λέπας κιθαιρώνειον.

Αργάντη, πόλις ἰνδίας, ὡς ἑκαταῖος. τὸ ἐθνικὸν ἔδει ἀργανταῖος, ἀλλὰ ὁ τύπος τῶν ἰνδῶν ἢ ἀργαντῖνος, ἢ ἀργαντίτης.

Αργεννοῦσαι, νῆσοι πρὸς τῇ ἠπείρῳ τῆς τρωάδος, παρὰ τὸ ἀργεννὸν ἀκρωτήριον, ἀφ' οὗ ἀργεννόεις. καὶ κατὰ συναίρεσιν, ἀργεννοῦς, καὶ ἀργεννοῦσαι. τὸ ἐθνικὸν, ἀργεννούσιος. ἀνδροτίων ἐν τετάρτῳ τῆς ἀτθίδος διὰ τοῦ .ι.

Αργέου νῆσος, νῆσος μικρὰ πρὸς τῷ κανώβῳ αἰγυπτία, ἀπὸ ἀργέου τοῦ μακεδόνος. ἀφ' οὗ ἀργεάδαι. οἱ οἰκήτορες, ἀργεᾶται, ὡς τῆς νικίου, νικιᾶται, καὶ τοῦ χαιρέου, χαιρεᾶται. καὶ αὗται γὰρ αἰγύπτου πόλεις.

Αργιλα, πόλις καρίας. τὸ ἐθνικὸν, ἀργιλίτης, ὡς ἀλέξανδρος ἐν τῷ περὶ καρίας. β.

Αργιλος, πόλις θράκης, ὡς θουκυδίδης ὀγδόῃ, καὶ φαβωρῖνος ἐν παντοδαπαῖς. ἄργιλος, ἡ πρὸς τῷ στρυμόνι ποταμῷ πόλις. ὠνομάσθη δὲ, ἐπειδὴ ἀπὸ θρακῶν ὁ μῦς ἄργιλος καλεῖται. σκαπτόντων δὲ εἰς τὸ θεμελίους καταβαλέσθαι, πρῶτος μῦς ὤφθη. λέγεται δὲ θηλυκῶς. οἱ πολῖται, ἀργίλιοι.

Αργος, διασημοτάτη πόλις πελοποννήσου, ἥτις φορωνικὸν ἄστυ ἐκέκλητο, καὶ αἰγιάλεια, καὶ ἱππόβοτον, διὰ τὸ ποσειδῶνι νομὴν ἵππων ἀποδεῖχθῆναι. εἶτα, ἴασος, ἀπὸ ἰάσου τοῦ κατ' ἐνίους παιδὸς ἰοῦς. καὶ δίψιον, διὰ τὴν δίψαν τῶν ὑδάτων. δευτέρα, ἄργος τὸ ἀμφιλοχικόν. τρίτη, θεσσαλίας. τετάρτη, κιλικίας, ἡ νῦν ἀργιόπολις. πέμπτη, ἐν νισύρῳ, μιᾷ τῶν κυκλάδων. ἕκτη, κατὰ τροίζηνα. ἑβδόμη, κατὰ μακεδονίαν. ὀγδόη, ἄργος ὀρεστικὸν, ἡ ἐν σκυθίᾳ. ἐννάτη, καρίας. δεκάτη, τὸ ἀργολικόν. ἑνδεκάτη, ἡ φαιάκων ὑπέρεια. ἄργος δὲ σχεδὸν πᾶν πεδίον κατὰ θάλασσαν. τὸ ἐθνικὸν πασῶν, ἀργεῖος, οὐ παρὰ τὸ ἄργος οὐδέτερον, ἦν γὰρ διὰ τοῦ .ι, ἀλλὰ παρὰ τὸν ἄργον τὸν κτίστην. λέγεται γὰρ καὶ ἀργόλας. ἀριστοφάνης ἥρωσιν, οὐκ ἠγόρευον, οὗτός ἐστιν οὐκ ἀργόλας μὰ δί' οὐδ' ἑλλὴν ὅσον ἔμοι γε φαίνεται. καὶ εὐριπίδης ἐν σθενοβοίᾳ, ἔστω δὲ σαρδιανὸς, οὐ γὰρ οὐκέτ' ἀργόλας. καὶ ἀργολὶς ἡ χώρα, καὶ ἡ γυνή. καὶ ἀργολικὸς, καὶ ἀργολική. καὶ ἀργολιῶνδε λέγονται, ὡς καλυδώνιδε, καὶ ἀργειώνη, ὡς ἀντίμαχος. καὶ ἀργειῶτις, παρὰ τὸ ἀργεῖος. καὶ ἀργειῶτις τὸ θηλυκόν. καὶ ἀργολίζω ῥῆμα, οὗ τὴν μετοχὴν ἔφορος ἐν ἑκκαιδεκάτῃ. λέγονται καὶ πατρωνυμικῶς, ὡς οἱ πολλοὶ, καὶ ἡρόδωρος. ἐν μὲν τῷ νῷ, ἡρακλεῖς τε. πρὸ δ' ἡρακλέους, περσεῖδαι. πρὸ περσέως δὲ, λυγκεῖδαι, καὶ δαναΐδαι. πρὸ δὲ δαναοῦ, ἀργειάδαι, καὶ φορωνίδαι, ἃς ἄβρων ποιηταῖς ἀνατίθησιν.

Αργοῦρα, πόλις θεσσαλίας, ἡ πρότερον ἄργισσα. ἔστι καὶ τόπος τῆς εὐβοίας ἀργοῦρα, ὅπου δοκεῖ τὸν πανόπτην ἑρμῆς πεφονευκέναι. τὸ ἐθνικὸν ἔδει ἀργουραῖος, ὡς καὶ φίλων. ἀπολλόδωρος δέ φησιν ἐν πρώτῳ νεῶν καταλόγῳ ἀργείους ὀνομάζεσθαι, ἢ τῆς προσηγορίας μεταπεσούσης, ἢ διὰ τὸ προσκυροῦν τὰ πεδία τῆς θετταλίας, ἣν δὴ πελασγικὸν ἄργος εἶπεν ὅμηρος. καλοῦνται δὲ λεοντῖνοι, ἀπὸ λεοντέως. καὶ ἀργούριος τὸ ἐθνικόν.

Α ργεννος, υἱὸς τοῦ λεύκωνος τοῦ ἀθάμαντος, τοῦ σισύφου τοῦ αἰόλου, ἐρώμενος ἀγαμέμνονος, βοιωτός· ὃς ἀπιὼν εἰς τὸν κηφισὸν, τελευτᾷ. ἀφ' οὗ ἀργεννίδα τὴν ἀφροδίτην ἐπιμνήσει λέγεται καὶ ἀργυννίς. ἀριστοφάνης δὲ ἀργύννει διὰ διφθόγγου. ὁ οἰκήτωρ, ἀργύννιος.

Α ργυρα, μητρόπολις ἐν ἰνδικῇ, τῇ προβαίνῃ νήσῳ, ὅπερ ἐστὶ κερθῆς νήσου. καὶ γὰρ εὔφορωτάτη ἐστὶ, καὶ πλεῖστον ποιεῖ χρυσόν. τὸ ἐθνικὸν ἀργυρείτης, ἢ ἀργυρηνός. ἀμφότεροι γὰρ οἱ τόποι συνήθεις.

Α ργυρινοι, ἔθνος ἠπειρωτικὸν, ὡς τίμαιος, καὶ θέων, καὶ λυκόφρων εἰς ἀργυρίνους, καὶ κεραυνίων νάπας.

Α ργυρίππα, πόλις τῆς δαυνίας, κατὰ τὸν ἰόνιον κόλπον. λυκόφρων, ὁ δ' ἀργυρίππα δαυνίων παγκληρία. αὕτη λάμπη ἐκαλεῖτο. διομήδης μετὰ τὴν ἅλωσιν τῆς ἰλίου ἐτείχισε, καὶ μετωνόμασεν ἄργος ἵππιον. τὸ ἐθνικὸν, ἀργυριππανίς. στράβων ἀργυριππηνός φησιν.

Α ργυρος, πόλις. φίλιστος ἐν νάτῃ.

Α ρδαλίδες, καὶ ἀρδαλιώτιδες, τιμῶνται αἱ μοῦσαι ἐν τροιζῆνι, ἀπὸ ἀρδάλου τινὸς ἱδρυσαμένου, ἢ καὶ ἀπὸ τόπου. ἔστιν οὖν τοῦ μὲν ἀρδαλιῶτις τὸ ἀρσενικὸν, ἀρδαλιώτης. τοῦ δ' ἀρδαλὶς, ἀρδαλὸς, ὡς θετταλός.

Α ρδεα, κατοικία τῆς ἰταλίας. στράβων πέμπτῃ. ἐκλήθη ἀπὸ ἑνὸς τῶν παίδων ὀδυσσέως, καὶ κίρκης. αὕτη τροία ἐλέγετο, ὡς χάραξ. οἱ οἰκοῦντες, ἀρδεᾶται. ἔστι καὶ πόλις ἰλλυρίας διὰ τοῦ ι, ὡς στράβων. τὸ ἐθνικ, ἀρδιαῖος.

Α ρδώνιον, πόλις ἐν θήβης πεδίῳ, ὡς ξάνθος ἐν λυδιακῶν δευτέρῳ. τὸ ἐθνικὸν, ἀρδώνιος.

Α ρέθουσα, πόλις συρίας, καὶ θράκης, καὶ εὐβοίας, καὶ κρήνη σικελίας. ἔστι καὶ ἰθάκης. παρ' κόρακος πέτρῃ, ἐπί τε κρήνῃ ἀρεθούσῃ, ὅμηρος. αὕτη κύπαρα ἐλέγετο. δίδυμος ὑπομνηματίζων τὴν μ. τῆς ὀδυσσείας φησὶν, ἀρέθουσαι δέ εἰσιν ὀκτώ. ἡρακλέων δ' ὁ γλαύκου τὴν αὐτὴν ὑπομνηματίζων φησὶν, ἀρδῶ ἐστι τὸ ποτίζω. οὗ τὸ ἄρδω παράγωγον. ἐκ τούτου ἀρέθω, ὡς φλέγω, φλεγέθω. ἀφ' οὗ πᾶσα κρήνη ἐπιθετικῶς οὕτω λέγεται. τὸ ἐθνικὸν, ἀρεθούσιος.

Α ρεια, κρήνη ἐν θήβαις, καὶ τόπος, ὃν οἱ κατοικοῦντες ἄρειοι καλοῦνται. καὶ ἔστιν ἀπὸ δύο ἓν ἐθνικὸν, ὡς ἀπὸ τοῦ μόψου ἑστία μοψεάτης, καὶ τοῦ μηδὸς τῶν θεῶν τὸ μηδῷον.

Α ρειος πάγος, ἀκρωτήριον ἀθήνησιν, ὡς ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν ἐννάτῳ. ἐν ᾧ τὰς φονικὰς κρίσεις ἐδίκαζον, διὰ τὰς ἀπὸ τοῦ σιδήρου γιγνομένας μιαιφονίας. φιλόχορος δ' ἐν ἀτθίδος δευτέρῳ βιβλίῳ, ὅτι ἁλιρρόθιον τὸν ποσειδῶνος ἀποθανεῖν βίᾳ ζόμενον ὑπὸ ἄρεος διὰ τὴν ἀλκίππην τὴν αὐτοῦ θυγατέρα. τὸ ἐθνικὸν ἔδει ἀρειοπαγίτης, ἀλλ' οὐχ ἁρμόζει ῥωμαίοις ὁ τύπος. ἔσται οὖν τοῦ πεδίου πεδῖνος, ἢ πεδιανὸς, καὶ ἀρεοπεδῖνος, καὶ ἀρεοπεδινός. ἔστι καὶ θρᾴκης ἔρημον πεδίον χαμαιπετῆ δένδρα ἔχον, ὡς πολύβιος τεσσαρακαιδεκάτῃ.

Α ρεος νῆσος, πρὸς τοῖς κόλχοις, ἐν τῷ πόντῳ. σκύμνος ἐν ἀσίᾳ. τὸ ἐθνικὸν ἄρειος, ἐξ ἑνὸς τῶν δυοῖν παρηγμένον.

Α ρηναι, δύο πόλεις, μεσσήνης, καὶ τριφυλλίας. ὅμηρος, καὶ ἀρήνην ἐρατεινήν. τὸ ἐθνικὸν, ἀρηναῖος. τὸ τοπικὸν, ἀρηνῆθεν.

Α ρης, ἄρητος, ὡς μένδητος, χωρίον εὐβοίας. θεόπομπος εἰκοστῇ τετάρτῃ φιλιππικῶν. τὸ ἔθνος ἀρήσιος, ὡς μενδήσιος, ἀρήσιος.

Α ρια, θηλυκῶς καὶ οὐδετέρως περσικὴ χώρα, ὡς ἑλλάνικος. τὸ ἐθνικὸν ἄρσιοι ὡς αὐτός φησι, καὶ ἀριεύς.

Α ριάρια, ἔθνος προσεχὲς τοῖς καδουσίοις. ἀπολλόδωρος δευτέρῳ.

Α ριαράθεια, πόλις πλησίον καππαδοκίας, ἀπὸ ἀριαράθου καππαδοκίας βασιλεύσαντος, γαμβροῦ ἀντιόχου.

Α ριαύθη, πόλις οἰνώτρων. ἡρωδιανὸς ιβ.

Α ρίνδηλα, πόλις παλαιστίνης. γλαῦκος δὲ κώμην αὐτὴν καλεῖ. τὸ ἐθνικ, ἀρινδηλινός.

Α ρίκεια, πόλις λατίνων. διονύσιος ἐν πέμπτῃ ἐπιτομῆς ς. ὁ πολίτης, ἀρικηνός.

Α ριμα, ὅμηρος, εἰν ἀρίμοις, ὅθι φασὶ τυφῶνα. οἱ μὲν, ἐν κιλικίᾳ. οἱ δὲ, ἐν συρίᾳ. οἱ δὲ, ἐν πιθηκούσσαις παρὰ τυρρηνοῖς φασι γενέσθαι τὸν μῦθον. τὸ ἐθνικὸν ἀριμαῖος. ἐκαλοῦντο καὶ ἄριμοι.

Α ριμασποὶ, ἔθνος ὑπερβορέων. τὸ ἐθνικὸν, ἀριμάσπειος.

Α ρίμινον, πόλις ἰταλίας. ἔστι καὶ ποταμός.

Α ρίνθη, πόλις οἰνώτρων, ἐν μεσοποταμίᾳ. ἑκαταῖος εὐρώπῃ.

Α ρίσβη, πόλις τῆς τρωάδος, μιτυληναίων ἄποικος. ἧς οἰκισταὶ, σκαμάνδριος, καὶ ἀσκάνιος υἱὸς αἰνείου. κεῖται μεταξὺ περκώπης, καὶ ἀβύδου. κεφάλων δέ φησιν, ὅτι δάρδανος ἀπὸ σαμοθράκης ἐλθὼν εἰς τὴν τρωάδα, τὴν τεύκρου τοῦ κρητὸς θυγατέρα γαμεῖ ἀρίσβην. ἑλλάνικος δὲ ἄτειαν αὐτήν φησιν. ἔστιν ἑτέρα ἐν λέσβῳ, ἀπὸ ἀρίσβης τοῦ μάκαρος θυγατρός. ἔφορος δὲ μερόπος αὐτὴν γενεαλογεῖ, καὶ πρώτην ἀλεξάνδρῳ τῷ πριάμου γαμηθῆναι. ἡρόδωρος δὲ καὶ ἰάζων ἀρίσβην καλεῖ ἐν πρώτῃ. τὸ ἐθνικ, ἀρισβαῖος. ἔστι καὶ ποταμὸς θρᾴκης ἄρισβος. τὸ ἐθνικὸν, ἀρισβαιεύς.

Α ρκάδες, πόλις κρήτης, ὡς ξενίων ἐν κρητικοῖς. οἱ πολῖται ὁμοίως ἀρκάδες. δημήτριος δὲ οὐκ ἀρκάδας τὴν πόλιν, ἀλλ' ἀρκαδίαν φησίν. εἰκότως οὖν καὶ τὸ ἐθνικὸν ταύτης ἀρκάδες.

Αρκὰς, ἀρκάδος, ἀφ' οὗ ἀρκάδιος, καὶ ἀρκα-
δία, ὡς τέμμιξ, τέμμικος, τεμμικία. ἐκα-
λεῖτο δὲ πελασγίη, ὡς νικόλαος πέμπτῃ.
ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν ἑκκαιδεκά-
τῳ βιβλίῳ περὶ δήμητρός φησιν, ὅτι ἀρκα-
δία τῇ δήμητρι μέλλοντες θύειν ἄνθρωποι,
ταύτην γὰρ τὴν θυσίαν συνεστήσαντο μετὰ
τὸν πρῶτον σπόρον. καὶ οὕτω τὰ ἀρκάδια
τιμῆς χάριν. ἐκλήθη δὲ καὶ παῤῥασία, καὶ
λυκαονία. οἱ δὲ, καὶ γιγαντίδα φασὶ, καὶ ἀ-
ζανίαν, καὶ πανίαν. ἵππυς δὲ ὁ ῥηγῖνος λέ-
γεται πρῶτος καλέσαι προσελήνους τοὺς
ἀρκάδας. καὶ τὸ ἄστρον λέγεται ἐν τῷ οὐ-
ρανῷ ὅτε ἀρκτὸς κληθῆναι, ἢ ἅμαξα ἐλέ-
γετο. ἴστρος δέ φησιν ὅτι θεμιστοῦς καὶ διὸς
ὁ ἀρκὰς ἐγένετο, διὰ δὲ τὴν τῆς μητρὸς ἀπο-
θηρίωσιν, ἄρκτῳ γὰρ ὑφ' ἥρας αὐτὴν ὁμοι-
ωθῆναι, ταύτης τυχεῖν τῆς προσηγορίας.
τὸ πατρωνυμικὸν, ἀρκεσίδαι. ὤφειλεν οὖν
ἀρκαδίδης, ἀλλὰ διὰ τὸ κακόφωνον οὕτως
ἐγένετο. τὸ θηλυκὸν, ἀρκασία. ἔστι καὶ ἀρ-
καδία παραθαλάσσιος πόλις. λέγεται
καὶ ἀρκαδικὸς, καὶ ἀρκαδική, καὶ ἀρκα-
δικὸν, καὶ ἀρκαδικά. καὶ τὸ ἀρκάδιστα, πα-
ραλόγως. ἐκ τόπου, ἀρκαδίηθεν. ἐκάλουν
αὐτοὺς καὶ ἀρκαδιώνδας, τοῦ δ πλεονά-
ζοντος. ἔστι καὶ ἀρκαδία αἰγύπτου πόλις,
μία τῶν τριῶν πόλεων τῶν ἐν ἀμοργῷ τῇ
νήσῳ. ἧσαν γὰρ, μελανία, μίνωα, ἀρκεσίνη.
πολύβιος δὲ ἀρσενικῶς τὸν ἀρκεσίνην φησί.
τὸ ἐθνικὸν, ἀρκεσινεύς. ἀνδροτίων ἕκτῃ ἀτ-
θίδος, Αμοργίοις μινωΐταις ἀρκεσινεῦσιν.

Αρκη, πόλις φοινίκης, ἡ νῦν ἄρκαι καλου-
μένη. ἰώσηπος ἐν πέμπτῳ τῆς ἰουδαϊκῆς
ἀρχαιολογίας. τὸ ἐθνικὸν, ἀρκαῖος.

Αρκερόεσσα, πόλις ἐν πόντῳ ἡρακλείας ὑ-
ποτελής. δομίτιος καλλίστρατος ἐν τετάρ-
τῃ περὶ ἡρακλείας. τὸ ἐθνικὸν ἀρκεροεσ-
σαῖος, ὡς πιτυουσσαῖος.

Αρκόννησος, νῆσος καρίας. ἀπολλόδωρος ἑβ-
δόμῃ καρικῶν. τὸ ἐθνικὸν, ἀρκοννήσιος.

Αρκτᾶνες, ὡς αἰνιᾶνες, ἔθνος ἠπειρωτικόν. ῥι-
ανὸς ἐν τετάρτῃ θεσσαλικῶν.

Αρκτων, νῆσος. οὕτως ἡ κύζικος ἐκαλεῖτο. καὶ
πόθεν; εἰρήσεται ἐν τῷ περὶ αὐτῆς. λέγε-
ται καὶ συνθέτως, ἀρκτόνησος.

Αρμα, πόλις βοιωτίας τῆς ταναγρικῆς.
παυσανίας ἐννάτῳ. ἐκλήθη ἀπὸ ἀμφιαρά-
ου τοῦ ἅρματος. ἐνταῦθα γὰρ καταφυγεῖν
φασι μετὰ τοῦ ἅρματος, καὶ οὐκ ἐκδοθῆναι
τοῖς διώκουσιν ὑπὸ τῶν κατοικούντων. ἔστι
καὶ τῆς ἀττικῆς ἅρμα περὶ τὴν φυλὴν κα-
λουμένην. ὑπάρχει δὲ οὗτος δῆμος ἔχων φρού-
ριον ὀχυρὸν, ὅμορον τῇ ταναγρικῇ. καλεῖ-
ται καὶ λουτρὰ ἀμφιαράου. τὸ ἐθνικὸν, ἁρμα-
τεύς. ἔστι καὶ ἅρματα πόλις πληθυντικῶς
ἰνδική. ἐθνικὸν, τὸ αὐτό. ἢ διὰ τὸ τῆς χώρας
ἔθος ἁρματηνὸς, ἢ ἁρματίτης. ἔστι καὶ πό-
λις ἁρματίτης. ὡς τὸ ἕρμα, ἑρματίτης.

Αρμένη, κώμη παφλαγονίας. μένιππος ἐν
περίπλῳ. παρὰ δὲ ξενοφῶντι ἐν ἀναβά-
σεως, ἁρμήνη διὰ τοῦ η. τὸ ἐθνικὸν τῆς
ἁρμένης, ἁρμεναῖος, ὡς τῆς κασμένης, κα-
σμεναῖος. τῆς δ' ἁρμήνης, ἁρμήνιος, ὡς
παλλήνιος.

Αρμενία, χώρα πλησίον τῶν περσῶν, ἀπὸ ἀρ-
μένου ῥοδίου, ὡς ἀντίπατρος ἐν πρώτῳ περὶ
ῥόδου. οἱ οἰκήτορες ἀρμένιοι, ὡς εὔδοξος
πρώτῃ γῆς περιόδου, Αρμένιοι δὲ τὸ μὲν γέ-
νος, ἐκ φρυγίας. καὶ τῇ φωνῇ πολλὰ φρυ-
γίζουσι. παρέχονται δὲ λίθον τὴν γλύφου-
σαν, καὶ τυποῦσαν τὰς σφραγίδας. καὶ ἀρ-
μενία τὸ θηλυκὸν παρὰ ξενοφῶντι. ἔστι καὶ
ἀρμένιον ὄρος παρὰ τὴν ἀρχὴν τῆς ὑρκα-
νίας, ὡς διονύσιος, θολὴν ἀπερεύγεται ἄχνην
ἀρξάμενος τὸ πρῶτον ἀπ' οὔρεος ἀρμενίοιο.

Αρνα, πόλις λυκίας. οὕτω γὰρ ἡ ξάνθος ἐκα-
λεῖτο, ἀπὸ ἄρνου τοῦ πολεμήσαντος πρώτο-
γονον. τὸ ἐθνικὸν ἀρναῖος, καὶ ἀρνεύς.

Αρνεαὶ, πόλις λυκίας μικρὰ, ὡς καπίτων
ἰσαυρικῶν τρίτῳ. τὸ ἐθνικὸν, ἀρνεάτης. ἔστι
δ' ὡς ὀρνεαί. ὅμηρος, Αρνείας τ' ἐνέμοντο.

Αρνη, πόλις βοιωτίας. ὅμηρος, οἵ τε πολυστά-
φυλον τ' ἄρνην ἔχον. καὶ λυκόφρων, Αρνης
παλαιᾶς γέννα τεμμίκων πρόμοι. δευτέρα,
πόλις θεσσαλίας, ἄποικος τῆς βοιωτίας, περὶ
ἧς ὁ χρησμὸς, Αρνη χηρεύουσα μένει βοιώτιον
ἄνδρα. ἢ κιέριον καλεῖται. θυγατέρα δέ φα-
σιν αἰόλου τὴν ἄρνην. τρίτη, μεσοποταμίας.
τετάρτη, τῆς βρασινίων πρὸς τῇ θράκῃ. τὸ
ἐθνικὸν, ἀρναῖος. τὸ θηλυκὸν, ἀρναία.

Αρόερνοι, ἔθνος μαχιμώτατον τῶν πρὸς τῇ κελ-
τικῇ γαλατῶν. ἀπολλόδωρος τετάρτῃ,
χαιρονικῶν κελτῶν ἀροέρνους.

Αρόη, πόλις ἀχαΐας. παυσανίας ἑβδόμῳ. ἐ-
κλήθη ἀπὸ τῆς ἐργασίας τῆς γῆς. λέγεται καὶ
πάτραι. τὸ ἐθνικὸν ἀροεύς, ὡς ἀρσινοεύς.

Αρπάγια, οὐδετέρως τόπος περὶ κύζικον. ὅθεν ἡρ-
πάσθαι φασὶ γανυμήδην. οἱ οἰκήτορες, ἁρπαγι

Αρπαλύκια, πόλις φρυγίας, κτίσμα ανοί.
γορδιοτειχιτῶν. τὸ ἐθνικὸν, ἁρπαλυκεύς.

Αρπασα, πόλις καρίας, ἀπὸ ἁρπάσου πο-
ταμοῦ. τὸ ἐθνικὸν ἁρπασεὺς, ὡς μύλα, μυ-
λασεὺς, πηγασεύς.

Αρπινα, πόλις ἤλιδος, ἀπὸ ἀρπίνης τῆς ἀσω-
ποῦ, ἀφ' ἧς καὶ ἄρεος οἰνόμαος. ὁ πολίτης,
ἀρπιναῖος. καὶ ἀρπινῆθεν, ἐκ τόπου.

Αρπυια, πόλις ἐν ἰλλυρίᾳ, παρ' ἐγχελέαις.
εἰς ἣν βάτων ὁ ἀμφιαράου ἡνίοχος μετὰ τὸν
ἀφανισμὸν αὐτοῦ ἀπῴκησε. πολύβιος.

τὸ ἐθνικὸν ἀρπυιήτης, τροπῇ τοῦ · α · εἰς · η · ἔστι γὰρ ἀρπυιάτης.

Α ῤῥα, πόλις ἰλλυρική. τὸ ἐθνικὸν, ἀῤῥαῖος. καὶ γὰρ ὁ τύπος συνήθης, ὡς πελλαῖος, καὶ βεῤῥουαῖος.

Α ῤῥώνειον, πόλις ἰταλίας. ὁ πολίτης ἀῤῥενῖνος, ὡς πλακεντία, πλακεντῖνος.

Α ῤῥήτιον, πόλις τυῤῥηνίας. τὸ ἐθνικὸν, ἀῤῥητῖνος.

Α ῤῥηχοὶ, ἔθνος μαιωτῶν. στράβων ἐνδεκάτῃ.

Α ρσα, πόλις ἱσπανίας, ὡς χάραξ ἐν δεκάτῃ χρονικῶν. τὸ ἐθνικὸν, ἀρσαῖος.

Α ρσακία, πόλις μηδείας ἐπίσημος, ἀνατολικωτέρα μηδείας. οἱ οἰκήτορες ἀρσακίδαι, ἀπὸ ἀρσάκου. καὶ ἀρσακὶς τὸ θηλυκόν.

Α ρσινόη, πόλις λιβύης, ἀπὸ τῆς τοῦ πτολεμαίου τοῦ φιλαδέλφου ἀδελφῆς, καὶ γυναικός. δευτέρα, πόλις παραιτονίου λιβύης, ἡ πρότερον ταύχειρα. τρίτη, πόλις συρίας ἐν αὐλῶνι. ἡ περίμετρος αὐτῆς στάδια ὀκτακισχίλια τέσσαρα τῆς κοίλης συρίας. πέμπτη, κιλικίας. ἕκτη, τῆς αἰγύπτου πόλις ἐπὶ τοῦ δ. ἑβδόμη, κύπρου, ἡ πρότερον μάριον λεγομένη. ὀγδόη, αἰτωλίας. ἐννάτη, λύκτου. δεκάτη, τῆς τρωγλοδυτικῆς, ἡ πρότερον ὀλβία καλουμένη. ἔστι καὶ ἄλλη λυκίας. τὸ ἐθνικὸν, ἀρσινοήτης, καὶ ἀρσινοεὺς ἐπὶ τῆς αἰτωλικῆς, ὡς πολύβιος ἐννάτῳ. ἀλλὰ καὶ τῆς ἐν λιβύῃ ἀρσινοεὺς, ὡς ἀλέξανδρος ἐν λιβυκῶν τρίτῳ.

Α ρσυσία, χωρίον τῶν ψύρων, καὶ χίου, τραχεῖα, καὶ ἀλίμενος, ὅσων σταδίων τριάκοντα. οἶνον ἄριστον ἔχουσα, καλούμενον ἀρσύσινον. οὗ μέμνηται στράβων τεσσαρεσκαιδεκάτῃ. καὶ τοὺς ἐνοικοῦντας τοιῶσδε κλητέον κατὰ συγκοπὴν τῆς · σι · ἢν γὰρ ἀρσυσινὸς, ἢ ἀρσυνὸς, ὡς καρδία, καρδιανὸς, ὀλβία, ὀλβιανὸς, ἀδρία, ἀδριανός.

Α ρταία, περσικὴ χώρα, ἣν ἐπόλισε περσεὺς, ὁ περσέως καὶ ἀνδρομέδας. ἑλλάνικος ἐν περσικῶν πρώτῃ. οἱ οἰκοῦντες, ἀρταῖοι. ἀρταίους δὲ πέρσαι, ὥσπερ οἱ ἕλληνες τοὺς παλαιοὺς ἀνθρώπους καλοῦσι. τάχα δὲ καὶ ἐντεῦθεν μοι δοκεῖ ἀρταξέξαι, καὶ ἀρταβάζοι, ὥσπερ αἰγυπτίοις, καὶ μιλαμῶνες, καὶ πανατώλωνες. ἡρωδιανὸς ἀρτεάτας αὐτοὺς καλεῖ διὰ τοῦ · ε · ψιλοῦ. ἔστι καὶ ἀρταίου τεῖχος πολίχνιον ἐπὶ τῷ ῥινδακῷ ποταμῷ, ὡς κρατερὸς ἐννάτῳ περὶ ψηφισμάτων. τὸ ἐθνικὸν, ἀρταιοτειχίτης.

Α ρτάκη, πόλις φρυγίας, ἄποικος μιλησίων. δημήτριος δὲ νησίον εἶναί φησι, καὶ τιμοσθένης λέγων, Αρτάκης ταύτης μὲν ὄρος ἐστὶ τῆς κυζικηνῆς, ταύτης δὲ νησίον ἐστὶν, ἀπὸ γῆς ἀπέχον στάδιον. κατὰ ταύτης λιμὴν ὑπάρχει βαθὺς ναυσὶν ὀκτὼ ἀπὸ τῷ ἀγκῶνι, ὃν ποιεῖ τὸ ὄρος ἔχεσθαι τοῦ αἰγιαλοῦ. τὸ ἐθνικὸν, ἀρτακηνός. σοφοκλῆς δὲ ἀρτακεὺς εἶπε, τί μέλλετ᾽ ἀρτακεῖς τε καὶ περκώσιοι. καὶ ἀρτάκιος εἶπε δημοσθένης ἐν ἐννάτῳ βιθυνιακῶν, νάσσατο δ᾽ ἀρτακίοισιν ἐφέσιος αἰγιαλοῖσιν. οὕτω δὲ αὐτόθι ἡ ἀφροδίτη καλεῖται.

Α ρτακοὶ, ἔθνος θρακικόν.

Α ρταξάτα, πόλις ἀρμενίας. στράβων τεσσαρεσκαιδεκάτῃ. ἣν καὶ ἀρταξιασάτα καλοῦσι. λέγεται δὲ τὴν πόλιν οἰκίσαι ἀρταξίαν, ἀρμενίας βασιλεύσαντα. τὸ ἐθνικὸν, ἀρταξατηνός.

Α ρτέαται, γένος περσικόν. ἡρόδοτος πρώτῃ.

Α ρτεμίσιον, πόλις οἰνώτρων ἐν μεσογείῳ. ἑκαταῖος εὐρώπῃ. ὁ πολίτης ἀρτεμισιάτης. φίλιστος δὲ ἀρτεμίτιον αὐτὴν καλεῖ, ἴσως δωρικῶς. ἔστι καὶ πόλις εὐβοίας.

Α ρτέμιτα, νῆσος τυῤῥηνικὴ, παρὰ τὴν θάλασσαν νῆσον, ὡς φίλων. ὡς δὲ στράβων, πόλις παρθυαίων. ὁ δὲ ἀρτεμίδωρός φησιν ὅτι χεῤῥόνησος περὶ τὴν ἐκβολὴν τοῦ ἀχελώου ποταμοῦ, λεγομένη ἀρτέμιτα. ἡ γενικὴ, ἀρτεμίτας. τὸ ἐθνικὸν, ἀρτεμιτηνός. ἀπολλόδωρος δ᾽ ἀρταμιτηνός φησι διὰ τοῦ · α · ἔστι καὶ πλησίον τῶν ὀξειῶν νήσων νῆσος ἀρτέμιτα. ῥιανὸς, οἳ θεσσαλικῶν νήσοις ὀξείῃσι, καὶ ἀρτεμίῃ ἐπέβαλλον. τὸ ἐθνικὸν, τὸ αὐτό. ἢ ἀρτεμιταῖος, διὰ τὸ τὸν τύπον τοῖς πέρσαις ἀναλογεῖν.

Α ρτύμνησος, πόλις λυκίας, ἄποικος ξανθίων. τὸ ἐθνικὸν ἀρτυμνησεύς. μενεκράτης ἐν πρώτῃ τῶν λυκιακῶν φησιν, ὅτι πολυανθρωπήσασαν τὴν ξάνθον, τοὺς πρεσβύτας εἰς τριάκοντα μοῖραν διελεῖν. τούτων δὲ τὴν μὲν εἰς τὸν κράγον ἐλθεῖν, καὶ οἰκῆσαι ἐν τῷ ὄρει, λόφον στρογγύλον καταλαβοῦσαν, καὶ καλέσαι τὴν πόλιν πινάραν, ἣν μεθερμηνεύεσθαι στρογγύλην. τὰ δὲ στρογγύλα πάντα λύκιοι πίναρα καλοῦσιν.

Α ῤῥύβα. τὸ ἐθνικὸν, ἀῤῥύβας. οὕτω δὲ ἀλκμαίων.

Α ρύκανδα, πόλις λυκίας, ὡς καπίτων ἐν ἰσαυρικῶν δευτέρῳ. τὸ ἐθνικὸν ἀρυκανδεὺς, ὡς ἀλωαδεύς.

Α ρύπη, πόλις ἐν αἰγύπτῳ. ἧς οἱ πολῖται ἄρυπες, ὡς ἡρωδιανός.

Α ρχανδρούπολις, πόλις ἐν αἰγύπτῳ. ἡρόδοτος δευτέρῳ. τὸ ἐθνικὸν, ἀρχανδροπολίτης.

Α ρωμα, πόλις αἰθιόπων, ὡς μαρκιανός. ὁ πολίτης, ἀρωμεύς. στράβων, Αρισος μεσογείτης οἶνος ἀρωμεύς.

τὸ ἄλφα μετὰ τοῦ σίγμα.

Α σαὶ, κώμη κορίνθου. θεόπομπος τριακοστῇ ἐννάτῃ φιλιππικῶν. ἀσαὶ, καὶ μαυσὸς, κῶμαι μεγάλαι, καὶ πολυάνθρωποι. τὸ ἐθνικὸν, ἀσαῖος. ἔστι καὶ κώμη θράκης ἀσαί. τὸ ἐθνικὸν, τὸ αὐτό.

Α σβύστα, πόλις λιβύης· καὶ ὁ πολίτης, ἀσβύστης. Οἱ ἤ τε τρίτωνος ἐφ' ὕδασιν ἀσβύσταο· καλλίμαχος αἰτιῶν πρώτῃ. δύο δέ εἰσι τρίτωνες· ὁ μὲν, λιβύης· ὁ δὲ, βοιωτός.

Α σβωτός, πόλις θετταλίας· τὸ ἐθνικὸν, ἀσβώτιος. εὐφορίων θρακὶ, τὸν μὲν ἄρ ἐκ φλοίσβου ἀσβώτιοι ἔνθα φέροντες, ὑστάτιον ῥώοντο κονισαλέῃσιν ἐθείραις ἵπποι καλὰ νάσσοντο ἐπορνύμενοι φυγάδιαν· περὶ τῶν ἵππων ἀμφιαράου.

Α σδυνις, νῆσος κατὰ τὴν μυρίνης λίμνην. εὔδοξος δευτέρῳ, κατελαμβάνοντο ἐν ἀσδύνει τῇ νήσῳ. ὁ νησιώτης, ἀσδυνίτης, ὡς μεμφίτης.

Α σέα, κώμη τῆς ἀρκαδίας, ἀφ' ἧς ὁ ἀλφειὸς ῥέει, ὅς καὶ ἀσεάτης λέγεται. καὶ ὁ κωμήτης ὁμοίως, ὡς κερσεάτης, ὀρνεάτης.

Α σία, πόλις λυδίας παρὰ τῷ τμώλῳ, ἐν ᾗ τρίχορδος εὑρέθη κιθάρα. διὸ καὶ ἀσία ἡ ἤπειρος. οἱ μὲν, ἀπὸ πόλεως λυδίας, οἱ δὲ, ἀπὸ ἀσίου τοῦ λυδοῦ, ἢ ἐκ τῆς προμηθέως γυναικὸς, ἢ ἀπὸ τοῦ πολλὴν ἄσιν ἔχειν, τουτέστιν ἰλύν. ὁ ἐνοικῶν, ἀσιάτης. καὶ τὸ θηλυκὸν, ἀσιάτις. λέγεται καὶ ἀσὶς ἰσθμός. Ἀνω τέταται τις ὑπέρτατος ἀσίδος αἴης. καὶ ἀσιάς. τὸ δὲ ἀσιανὸς, ὡς στράβων δεκάτῃ. τὴν δὲ ἐμπόριον κοινὸν τῶν τε ἀσιανῶν, καὶ τῶν εὐρωπαίων, καὶ νομάδων. καὶ τὸ θηλυκὸν, ἀσιανή. ἔστι καὶ ἀσιανὴ πόλις ἠλείας. λέγεται καὶ ἀσιαῖος. ἔστι καὶ ἀσία νῆσος αἰθιοπίας. ὁ πολίτης, ἀσιάτης. καὶ τὸ ἐθνικὸν, ἀσιεὺς, ὡς ὑρία, ὑριεύς. ἔστι καὶ ἄσιος λειμών. ὅμηρος, Ἀσίῳ ἐν λειμῶνι, ἀντὶ τοῦ ἀσίου. γενικὴ γάρ ἐστιν, οὐκ ἀσιανοῦ. ἀγνοεῖ γὰρ ὅμηρος τὴν ἀσίαν, ὡς καὶ τὴν εὐρώπην. ἢ μᾶλλον ἀσίας. καὶ ἰωνικῶς, ἀσίεω, καὶ ἀσίω, ὡς εὐμελίω.

Α σίνη, πόλις λακωνική, ἀπὸ ἀσίνης θυγατρὸς λακεδαίμονος. δευτέρα, μεσσήνης, παρὰ τὴν λακωνικὴν, οἰκισθεῖσα ὑπὸ ἀργείων. τρίτη, κύπρου. τετάρτη, κιλικίας. τὸ ἐθνικὸν, ἀσιναῖος, καὶ ἀσινεὺς, κοινῶς. ὡς εὔδοξος ἐν ἕκτῃ γῆς περιόδου.

Α σκάλων, πόλις συρίας πρὸς τῇ ἰουδαίᾳ. ξάνθος ἐν τετάρτῃ λυδιακῶν φησιν, ὅτι τάνταλος καὶ ἄσκαλος, παῖδες ὑμεναίου. τὸν δὲ ἄσκαλον ὑπὸ ἀκιάμου τοῦ λυδῶν βασιλέως αἱρεθέντα στρατηγὸν, εἰς συρίαν στρατεῦσαι. κἀκεῖ παρθένου ἐρασθεὶς, πόλιν κτίσαι, ἣν ἀφ' ἑαυτοῦ οὕτως ὠνόμασε. τὰ αὐτὰ καὶ νικόλαος ἐν τετάρτῃ ἱστορίᾳ. λέγεται οὖν ἄσκαλος, καὶ ἐξ αὐτοῦ ἀσκάλης, ὡς δαίμαλος, δαμάλης, ἄραξος, ἀράξης. ὡς ἀπὸ τοῦ χαράξω, χάραξος, χαράξης, λάπιθος, λαπίθης. λέγεται καὶ ἀσκαλώνιον ἡ πόλις. τὸ ἐθνικὸν, ἀσκαλωνίτης, καὶ ἀσκαλώνιος, παρὰ τὸ ἀσκαλώνιον, ὡς ξάνθος ὁ λυδός. καὶ ἀσκαλωνὶς, θηλυκόν. πολλοὶ δὲ ἐξ αὐτῆς κεχρηματίκασι φιλόσοφοι μὲν, ἀντίοχος ὁ κύκνος, καὶ σῶσος, καὶ ἀντίβιος, καὶ εὔβιος, στωικοὶ ἐπιφανεῖς. γραμματικοὶ δὲ, πτολεμαῖος ἀριστάρχου γνώριμος, καὶ δωρόθεος. ἱστορικοὶ, ἀπολλώνιος, καὶ ἀρτεμίδωρος ὁ τὰ περὶ βιθυνίας γεγραφὼς, καὶ ἄλλοι. παρὰ δ' εὐδόξῳ διὰ τῆς αι. ἐν τῇ πρώτῃ. καὶ ἡ μὲν πόλις, ἐξ ἧς πρῶτον φασὶ τὰ κρόμμυα γενέσθαι. καὶ κατὰ τὴν ἀλεξανδρέων συνήθειαν, ἀσκαλώνια κρόμμυα.

Α σκανία, πόλις τρωϊκή. νικόλαος τετάρτῃ ἱστορίᾳ. Σκαμάνδριος ἕκτορος καὶ ἀνδρομάχης, ἐκ τῆς ἴδης καὶ τοῦ δασκυλείου, καὶ τῆς ἀσκανίας καλουμένης, ἣν ἔκτισεν ὁ αἰνείου παῖς ἀσκάνιος. οὐ μόνον δὲ ἡ λίμνη, ἀλλὰ καὶ ἡ χώρα διττή, καὶ ὁμώνυμος. φρυγίας μὲν, φόρκυς αὖ φρύγας ἦγε καὶ ἀσκάνιος θεοειδὴς, τοί δ' ἐξ ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοί. τῆς δὲ, μυσίας. καὶ τῆς μὲν, φρύγιον. τῆς δὲ, μύσιον. τὸ τοπικὸν ἀσκάνιος, ὁμοίως τῷ κυρίῳ. ἔστι καὶ ἀσκάνιος ποταμός. εὐφορίων χιλιάσι, καὶ ψιλοὶ ἀσκανιόντε ναυαίθοιο ψιλῆς μυσίας. ναύαιθος, ἰταλίας.

Α σκῖται, ἔθνος παροικοῦν τὸν ἰνδικὸν κόλπον, καὶ ὕθει ἀσκῷ πλέον, ὡς μαρκιανὸς ἐν τῷ περίπλῳ αὐτοῦ. παροικεῖ αὐτὸν ἔθνος, καὶ αὐτὸ καλούμενον ἀχαλιτῶν. ἔστι μὲν καὶ ἀσκιτῶν ἕτερον ἔθνος. ἔστιν οὖν παρὰ τὸν ἀσκὸν ἀσκίτης, ὡς παρὰ τὸν ἀστὸν, ἀστίτης, μεσὸς, μεσίτης.

Α σκλος, πόλις ἰταλίας. διονύσιος ἐν πρώτῳ ῥωμαϊκῆς ἀρχαιολογίας. ἔστι καὶ οὐδέτερον. τὸ ἐθνικὸν ἀσκλίτης, ὡς λίκνον, λικνίτης, καὶ ὁ πολίτης.

Α σκρη, πόλις βοιωτίας, ἰωνικῶς σχηματισθεῖσα, ὡς κόρη, τερψικόρη. τὸ ἐθνικὸν, ἀσκραῖος ἡσίοδος. καὶ ἀπ' ἀσκρῆθεν.

Α σος, πολίχνιον κρήτης. ὁ πολίτης, ἄσιος. οὕτω γὰρ ὁ ζεὺς ἐκεῖ τιμᾶται. καὶ ἀσίου διὸς ἱερὸν ἀρχαιότατον.

Α σπαλάθεια, πόλις ταφίων. νίκανδρος ἑτεροιουμένων πρώτῃ, Ἀσπαλάθεια βόηρος. τὸ ἐθνικὸν, ἀσπαλαθεύς.

Α σπαλαθὶς, νῆσος λυκίας. λέγεται οὕτω διὰ τὰς ἐν αὐτῇ πεφυκυίας ἀσπαλάθους. τὸ ἐθνικὸν, ἀσπαλαθίδος, ὡς ψωφίδος, καὶ αὐλίδος. ἢ ἀσπαλαθίτης, ὡς μεμφίτης.

Α σπενδος, πόλις παμφυλίας, ἀσπένδου κτίσμα, ὡς ἑλλάνικος ἐν πρώτῃ δευκαλιωνίας. ὁ πολίτης, ἀσπένδιος. θεόπομπος

τετάρτῃ

τετάρτῃ ἑλληνικῶν. Ἀσποτυχὼν δὲ τῶν ἀσπενδίων. καὶ τὸ θηλυκὸν ὡς αὐτὸς, ἀσπένδια, καὶ ἀσπενδίς. Ἀσπενδίδα γαῖαν.

Α σπὶς, πόλις λιβύης, ὡς φίλων. ἔστι καὶ ἀκρωτήριον αἰθιοπίας τῆς κατ᾽ αἴγυπτον, ὡς μαρκιανὸς πρώτῃ περιόδων. ἔστι καὶ νῆσος πρὸς ταῖς κυκλάσιν. ἔστι καὶ μακεδονίας, κτίσμα φιλίππου τοῦ παιδὸς περσέως, τὰς πόλεις ὀνομάζοντος ἀπὸ τῆς αὐτοῦ πανοπλίας, ἀσπίδα, περικεφαλαίαν. ἔστι καὶ νῆσος πρὸς τῇ λυκίᾳ. ἔστι καὶ νῆσος ἄλλη μεταξὺ λεβέδου, καὶ τέω, σταδίων ὡς δυοῖν. πρὸς μὲν τινων, αρκόνησος. πρὸς δέ τινων, ἀσπὶς ὀνομαζομένη. ἔστι καὶ νῆσος ἄλλη, τύρων ἐγγύς. ἔστι καὶ ἄλλη ὡς κλέων ὁ συρακούσιος ἐν τῷ περὶ τῶν λιμένων, ἄδενδρος οὖσα. ἔστι καὶ πέραν πίσσης, ὡς πανύασις ἐν ἡρακλείας ἑνδεκάτῃ. τὸ ἐθνικὸν, δύναται ἀσπίτης τῷ ἔθει τῶν αἰθιοπικῶν πόλεων, καὶ λιβυστῶν. τὸ δ᾽ ἀσπιδιώτης παρὰ τῷ ποιητῇ, κατὰ πλεονασμὸν τοῦ ω. ἔστι δὲ τοῦτο παρὰ τὸ ἀσπίδα. μένανδρος, Ἀσπίδιον ἐπριάμην, καὶ μαχαίριον. τὸ δὲ ἀσπίτης, καὶ ἀσπιδοῦχος. σοφοκλῆς ἐν ναυπλίῳ καταπλέοντι, Ἀλλ᾽ ἀσπίτην ὄντα καὶ πεφραγμένον, ὡς ἀσπιδοῦχος, ἢ σκύθης τοξεύμασι. λέγεται καὶ ἀσπίδιος, καὶ ἀσπιδεύς.

Α σπληδὼν, πόλις φωκίδος. παυσανίας ἐννάτῳ. ἀπὸ ἀσπληδόνος υἱοῦ νύμφης μηδείας καὶ ποσειδῶνος. τὴν δὲ παρ᾽ ὁμήρῳ τῆς βοιωτίας φασὶ τοὺς αἰολεῖς πρότερον βοιωτοὺς καλεῖσθαι. τοὺς δὲ ὀρχομενὸν καὶ ἀσπληδόνα. γράφεται καὶ χωρὶς τοῦ α, ἀλλ᾽ οὐ παρ᾽ ὁμήρῳ. τὸ ἐθνικὸν, ἀσπληδόνιος. ὀρχομενοῦ δὲ υἱεῖς, Ἀσπληδὼν, κλύμενός τε, καὶ Ἀμφίδικος θεοειδής.

Α σπουργιανοὶ, ἔθνος τῶν περὶ τὴν μαιῶτιν λίμνην. στράβων τεσσαρεσκαιδεκάτῃ, τούτων δ᾽ εἰσὶ καὶ ἀσπουργιανοὶ μεταξὺ φαναγορείας.

Α σσα, πόλις πρὸς τῷ ἄθῳ. ἡρόδοτος ἑβδόμῃ. ἔστι καὶ κώμη σκυθίας. οἱ οἰκήτορες, ἀσσαῖοι.

Α σσακηνοὶ, ἔθνος ἰνδικόν. ἀρριανὸς τετάρτῃ τῆς ἀλεξάνδρου ἀναβάσεως. καὶ εἰσὶ τοὺς ἀσσακηνούς.

Α σσηρα, οὐδετέρως πόλις χαλκιδέων. θεόπομπος εἰκοστῇ τετάρτῃ. τὸ ἐθνικὸν, ἀσσηρείτης, ὡς ἀβδηρείτης. γαδειρείτης.

Α σσησὸς, πόλις μιλησίας γῆς. θεόπομπος φιλιππικῶν εἰκοστῇ τετάρτῃ. ὁ οἰκήτωρ, ἀσσήσιος. καὶ ἀσσησία ἀθηνᾶ, παρ᾽ ἡροδότῳ.

Α σσὸς, πόλις λυκίας, πλησίον ἀτάρνης, ἐφ᾽ ὑψηλοῦ, καὶ ὀξέος, καὶ δυσπρόσοδου τόπου. πρὸς ὃν νικόστρατος κιθαριστὴς ἔλεγε παίζων, Ἄσσον ἴθ᾽ ὥς κεν θᾶσσον ὀλέθρου πείραθ᾽ ἵκηαι. δευτέρα, πόλις αἰολίδος, κατὰ τὸν ἑλλήσποντον, ἢ κεκρόπειον. ἀλέξανδρος δ᾽ ὁ κορνήλιος ἐν τῷ περὶ τῶν παρ᾽ ἀλκμᾶνι τοπικῶς ἱστορημένων, μιτυληναίων ἄποικον ἐν τῇ μυσίᾳ φησὶν ἄσσον, ὅπου ὁ σαρκοφάγος γίγνεται λίθος. ἔστι καὶ λειμὼν ἐν τῷ κελβιανῷ πεδίῳ τῆς λυδίας περὶ τὸν καΰστριον ποταμόν. ἔστι καὶ ἑτέρα πόλις ἐν ἠπείρῳ μικρά. ἐκ δὲ τῆς ἀσσοῦ, κλεάνθης ἦν ὁ στωϊκὸς φιλόσοφος, διάδοχος τῆς σχολῆς ζήνωνος τοῦ κιτιέως, ἣν κατέλειπε χρυσίππῳ. τὸ ἐθνικὸν, ἄσσιος, ὡς ῥώσιος, καὶ ἀσσεύς.

Α σσυρία, χώρα περὶ βαβυλῶνα. οἱ οἰκήτορες, ἀσσύριοι. εἰσὶ καὶ ἕτεροι παρὰ τοὺς σύρους. ξενοφῶν οὕτω διαστέλλει ἐν πρώτῃ ἑλληνικῶν. λέγονται καὶ ἀσσυριακοὶ, καὶ ἀσσυρεῖς, παρὰ ἐρατοσθένει. ἴσως ὡς ἀπὸ τοῦ ἰλλυριοὶ, ἰλλυρεῖς.

Α σσωρὸν, ὄρος σάμου, ὅθεν ῥεῖ ὁ ἀμφίλυσσος. εὐφορίων ἀρτεμιδώρῳ, Δαίμονος ἀμφιλύσιον ῥόον.

Α σσώριον, πόλις σικελίας. ταύτην δισυλλάβως ἄσσωρον καλεῖ ἀπολλόδωρος ἐν πρώτῃ χρονικῶν. τὸ ἐθνικὸν, ἀσσωρῖνος, ὡς ῥηγῖνος.

Α σται, ἔθνος θρᾴκης. ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ἐν ἑνδεκάτῃ. τὸ κτητικὸν, ἀστικὸς, καὶ ἀστική.

Α στακὸς, πόλις βιθυνίας, ἀπὸ ἀστακοῦ τοῦ ποσειδῶνος, καὶ νύμφης ὀλβίας, ὡς ἀρριανὸς ἐν βιθυνικοῖς ἱστορεῖ. ἔστι καὶ χώρα βυζαντίων, ὡς θεόπομπος ἐν τεσσαρακοστῇ ἑβδόμῃ. ἔστι καὶ ἀκαρνανίας πόλις. οἱ δὲ, κεφαληνίας ἄποικον. τὸ ἐθνικὸν, ἀστακηνὸς, ὡς ῥωσακηνός. πριαπηνός. καὶ ἀστακηνοὶ, καὶ ἀστάκιος, καὶ ἀστακία. ἀφ᾽ οὗ, ἀστακιεύς. ὡς οἰχαλία, οἰχαλιεύς. καὶ ἀστακίτης. καὶ ἀστακίδης πατρωνυμικόν. πείσανδρος δεκάτῃ.

Α σταπαῖοι, λιβύης ἔθνος. ἀππιανὸς ἕκτῳ.

Α στάρτη, νῆσος ἐν αἰθιοπίᾳ. μαρκιανὸς ἐν περίπλῳ πρώτῃ. ἐντεῦθεν ἄρχεται αἰθιοπία ἡ ὑπὲρ αἴγυπτον. ἀπὸ δὲ τοῦ βαζίου ἄκρου ἐκδέχεται ζιόνωτον ὄρος. κατὰ δὲ τοῦτο, νῆσος ἀστάρτη. τὸ ἐθνικὸν, ἀσταρταῖος, ἢ ἀσταρτίτης.

Α στελέβη, πόλις λυδίας. ξάνθος ἐν τετάρτῃ λυδιακῶν. οἱ οἰκοῦντες, ἀστελεβαῖοι.

Α στερία, πόλις λυδίας. ξάνθος ἐν τετάρτῃ λυδιακῶν. λέγεται καὶ ἀστερίς. ὁ πολίτης, ἀστεριώτης. καὶ ἀστέριος. ἔστι καὶ νησίον ἀστερία, μεταξὺ κεφαληνίας, καὶ ἰθάκης. ὅμηρος ἀστερίδα ταύτην φησὶν, ἔστι δέ τις νῆ-

σσ μέσῃ ἁλὶ πετρήεσσα μεσσηγὺς ἰθάκης, σάμοιό τε παιπαλοέσσης ἀστερὶς, οὐ μεγάλη.

A στέριον, πόλις θετταλίας. ὅμηρος, οἵ δ' ἔχον ἀστέριον, τιτάνοιό τε λευκὰ κάρηνα. ἡ νῦν πειρεσία. οὕτω δὲ καλεῖται διὰ τὸ λαμπρὸν, ὅτι ἐφ' ὑψηλοῦ ὄρους κειμένη, τοῖς πόρρωθεν ὡς ἀστὴρ φαίνεται. ἢ ἀπὸ ἀστερίου τινός. τὸ ἐθνικὸν, ἀστεριώτης. καὶ θηλυκὸν, ἀστερηῒς, καὶ ἀστεριεύς.

A στρουσία, ὄρος κρήτης πρὸς νότιον μέρος, ἀποβλέπον εἰς θάλασσαν, ἀφ' οὗ καὶ πόλις ἣν τὸν καύκασον ἰνδικὴ ἀστρουσία κέκληται, κρητῶν ἀποικίας ἐκεῖσε σταλείσης. οἱ οἰκήτορες ἀστρουσιανοὶ, καὶ ἀστερουσιεῖς, καὶ ἀστερούσιοι.

A στραία, πόλις ἰλλυρίας. ἀδριανὸς ἀλεξανδριάδος α. οἱ δ' ἔχον ἀστραίαν τε, δοβηράν τε.

A στυ, ἡ κοινῶς πόλις. διαφέρει δὲ, ὅτι τὸ μὲν, κτίσμα δηλοῖ. ἡ δὲ πόλις, καὶ τοὺς πολίτας. ἐκλήθη δὲ ἄστυ ὡς φιλόχορος ἐν δεκάτῃ ἀτθίδος, διὰ τὸ πρότερον νομάδας καὶ σποράδην ζῶντας, τότε συνελθεῖν, καὶ στῆναι ἐκ τῆς πλάνης εἰς τὰς κοινὰς οἰκήσεις, ὅθεν οὐ μεταναστήκασιν. ἀθηναῖοι δὲ πρῶτοι τῶν ἄλλων ἄστη καὶ πόλεις ᾤκισαν. ὁ πολίτης, ἀστὸς, καὶ ἀστὴ, καὶ ἀστόν. ἀπὸ τοῦ ἀστὸς, τὸ ἀστίτης. σοφοκλῆς ἀλε            οὐ γάρ τι θεσμὰ τοῖσιν ἀστίταις πρέπει. καὶ βοτῆρα νικᾶν ἄνδρας ἀστίτας. τοιγὰρ ἐντεῦθεν καὶ τὸ ἐν τῇ συνηθείᾳ προαστίτης. οὐ γὰρ παρὰ τὸ προάστειον. ἦν γὰρ προαστιεὺς, ὡς δουλιχιεύς. ἢ προάστιος, ὡς βυζάντιος. οὕτω γὰρ καὶ τὸ θηλυκὸν εὑρίσκεται, προαστία γῆ ἐν φρίξῳ σοφοκλέους. ὅρια κελεύθου τῆς δὲ γῆς προαστίας. ἀπὸ δὲ τῆς ἄστεος γενικῆς, ἀστεῖος. ὁ ὑπὲρ ἀντιδιέσταλται τῷ ἀγροῖκος. καὶ ἀστεΐζω, καὶ ἀστεϊσμός. λέγεται ἄστυ καὶ ὁ δῆμος, ὡς ἐρατοσθένης ἐν ἠριγόνῃ, εἴς τε δὴ θορικοῦ καλὸν ἵκανεν ἕδος. ὅτι δὲ δῆμος θορικὸς, δῆλόν ἐστι, καὶ κώμη πλησίον κανώβου παρὰ τὴν ἀλεξάνδρειαν. τὸ ἐθνικὸν, τὸ αὐτό. ὅτι δὲ καὶ ἡ ἀλεξάνδρεια ἄστυ ἐκλήθη, εἴρηται.

A στυπάλαια, νῆσος μία τῶν κυκλάδων. ἐκαλεῖτο δὲ πύρρα, καρῶν κατεχόντων. εἶτα, πύλαια. εἶτα, θεῶν τράπεζα, διὰ τὸ ἀνθηρὸν αὐτῆς. ἐκλήθη δὲ ἀπὸ ἀστυπαλαίας τῆς ἀγκαίου μητρός. δευτέρα, πόλις ἐν κῷ. τρίτη, νῆσος πόλιν ἔχουσα μεταξὺ ῥόδου, καὶ κρήτης. τετάρτη, πόλις ἐν σάμῳ. πέμπτη, ἄκρα πλησίον ἀττικῆς. τὸ ἐθνικὸν, ἀστυπαλαιεὺς, καὶ ἀστυπαλαιάτης.

A στυρα, πόλις μυσίας οὐδετέρως πρὸς τῇ τρωάδι. λέγεται καὶ ἑνικῶς ἄστυρον. ἔστι καὶ κώμη πλησίον τοῦ ἀδραμυττίου, ὡς στράβων. ἔστι καὶ πόλις φοινίκης κατὰ ῥόδον, ἐν ᾗ ἐτιμᾶτο ἡ ἀθηνᾶ ἀστυρίς. ἔστι καὶ βοιωτίας πρὸς τῆς ποτνίας, ὡς χάραξ ἐν δευτέρᾳ. ἔστι καὶ χώρα ἰταλίας. τὸ ἐθνικὸν, ἀστυρηνός. ἀφ' οὗ τὸ τῆς ἀστυρηνῆς ἀρτέμιδος ἱερόν.

A σφαξ, ὡς ἄβαξ, ἔθνος ἐποικίσαν τὴν κύπρον. μήποτε δὲ τὸ ἄσφαξ τὸ ἔθνος, καὶ τὸ ἄβαξ τὸ κύριον σύνθετον οἰκηθείη. ἁπλᾶ γάρ ἐστιν.

A χειον, πόλις ἀχαΐας. τὸ ἐθνικὸν, ἀχειεὺς, ὡς σιγειεὺς, ῥοιτειεύς.

## Τὸ ἄλφα μετὰ τοῦ ταῦ.

A ταβυρον, ὄρος ῥόδου. ῥιανὸς ἐν τῷ μεσσηνιακῶν. τὸ ἐθνικὸν, ἀταβύριος. ὑψοῦ καὶ ἀταβύριος ζεύς. ἔστι καὶ σικελίας ἀταβύριον, ὡς τίμαιος. κέκληται δὲ τὰ ὄρη ἀπό τινος τελχῖνος ἀταβυρίου. ἔστι καὶ περσικὴ πόλις. ἔστι καὶ φοινίκης.

A ταία, πόλις λακωνική. ὁ πολίτης, ἀταιάτης, ὡς κάρυα, καρυάτης. ἢ ἀταΐτης, ἢ ἀταῖος.

A ταλάντη, ἡ ὑπὸ ἀθηναίων κτισθεῖσα παρὰ λοκροῖς. θουκυδίδης δευτέρᾳ. ἔστι καὶ νῆσος. καὶ ἄλλη πρὸς τῷ πειραιεῖ. ὁ νησιώτης, ἀταλανταῖος.

A ταρβίκις, πόλις ἐν τῇ προσωπίτιδι νήσῳ. τὸ ἐθνικὸν, ἀταρβικίτης, ὡς προσωπίτης.

A ταρνα, πόλις μεταξὺ μυσίας, καὶ λυδίας, πλησίον λέσβου. ὁ πολίτης, ἀταρνεὺς, ὡς ὀδυσσεύς. καὶ θηλυκὸν, ἀταρνίς.

A ταφηνοὶ, ἔθνος μέγα ἀραβίας, περὶ οὗ γλαῦκος ἐν δευτέρᾳ.

A τελλα, πόλις ἐπικῶν ἰταλίας, μεταξὺ καπύης, καὶ νεαπόλεως. τὸ ἐθνικὸν, οὐκ ἀτελλαῖος, ὡς ἀγυλλαῖος, ἀλλὰ ἀτελλανός. ὡς πολύβιος ἐνάτῃ. ἀτελλαι            πα

A τέριον, ὡς ῥήγιον, πόλις (ῥέδοισιν αὐτός. σικελίας. ὁ πολίτης, ἀτερῖνος.

A τήνη, δῆμος ἀντιοχίδος φυλῆς. φρύνιχος δὲ τῆς αἰολίδος φησίν. ὁ δημότης, ἀτηνεύς. πατροκλῆς, ἀτηνεὺς ἐχορήγει, καὶ παντακλῆς. διονύσιος, ἀτηνίαν τὸν δῆμον. ἀλλ' οὐκ ἐᾷ τὸ ἀτηνεὺς, ὀφεῖλον ἀτηνιεύς.

A τιντανία, μοῖρα μακεδονίας. οἱ οἰκήτορες, καὶ ἀτιντᾶνες, καὶ ἀτιντάνιοι. εἴρηται ἀπὸ ἀτιντᾶνος υἱοῦ μακεδόνος. λέγεται καὶ ἀτιντανὶς τὸ θηλυκόν. λέγεται καὶ ἀτιντὰν, καὶ ἀτιντανία, καὶ ἀτιντάνιον οὐδέτερον.

A τλαντες, ἔθνος λιβυκόν. ἡρόδοτος τετάρτῃ. ἔστι καὶ τὸ ὄνομα ἀπὸ τῶν ὀρῶν τῶν δύο ἀτλάντων. ῥιανὸς δὲ ἐν ἀχαϊκῶν δευτέρᾳ ἀτάραντας μετ' αὐτοὺς εἶναί φησι, καὶ ἄτλαντας. καὶ ὅτι οὐ βλέπουσιν οὗτοι ὀνείρους. λέγεται τὸ κτητικὸν ἀτλαντικὸς, καὶ ἀτλαντικὴ θάλασσα. καὶ ἀτλάντιος, καὶ ἀτλαντία θάλασσα.

A τραι, πόλις μεταξὺ εὐφράτου, καὶ τίγρητος. ἀρριανὸς ἑπτακαιδεκάτῳ παρθικῶν.

A τραμῦται,

A ζαμῖται, ἔθνος τῆς εὐδαίμονος ἀραβίας, ὡς οὐράνιος ἐν ζ΄ τῇ ἀραβικῶν· ἀρτεμίδωρος ἀζαμαλίτας αὐτοὺς καλεῖ·

A ζὰξ, καὶ ἀζανία, πόλις θετταλίας τῆς πελασγιώτιδος μοίρας· ἐκλήθη ἀπὸ ἄζανος τοῦ πηνέου καὶ βουρᾶς παιδὸς κτισθεῖσα· τὸ ἐθνικὸν, ἀζάνιος· καὶ θηλυκὸν, ἀζανία· καὶ ἄζαξ, ὁμόφωνον τῇ πόλει· λυκόφρων, καὶ δευτέρους ἔπεμψαν ἀζανας λύκους· τινὲς δὲ διὰ τοῦ ·γ· ἔκλιναν, ἄζαγος, ὡς εὔπολις, εἰς ἄζαγα νύκτωρ· ἔστι καὶ ἀζανὶς θηλυκόν.

A ζιώη, πόλις· φιλοστέφανός φησιν ἀπὸ ἀβύσου, καὶ ἄζωνος, καὶ ἀζιωνστῶν, ἀρχηγὸς τοῦ κύκλωπος καὶ φρυγίας νύμφης προσηγορεῦσθαι· τὸ ἐθνικὸν, ἀζιωεὺς, καὶ ἀζινίτης, καὶ ἀζιωαῖος·

A ζία, πόλις τυρρηνίας, διομήδους κτίσμα, χειμῶνος γενομένου, καὶ μετὰ τὸ διασωθῆναι, καλέσαι αἰθρίαν· καὶ παρεφθάρη παρὰ τοῖς βαρβάροις τὸ ὄνομα· ἔστι καὶ ἄλλη πόλις βοιωτῶν ἔθνους κελτικοῦ· τὸ ἐθνικὸν, ἀζιανὸς, καὶ ἀζιεὺς, καὶ ἀζιέτης· ἄμεινον δὲ τὸ πρῶτον· συνήθης γὰρ ἰταλῶν ὁ τύπος ὁ διὰ τοῦ ·ανος·

A ζοπατία, καὶ ἀζοπάτιος, ἡ τῆς μηδίας δευτέρα μερίς· ἡ γὰρ προτέρα, καθ' ἣν ἦν τὰ ἐκβάτανα, ἡ μητρόπολις, καὶ τὸ βασίλειον τῆς μηδίας, ἀπὸ τοῦ ἡγεμόνος ἀζοπάτου· τὸ ἐθνικὸν, ἀζοπατηνὸς, καὶ ἀζοπατηνή·

A ττάλεια, πόλις λυδίας, πρότερον ἀγρόειρα, ἢ ἀλλόειρα καλουμένη· οἱ δὲ, τὴν κιλικίας κώρυκον οὕτω φασὶ γενέσθαι, ὡς δημήτριος, ἀπὸ ἀττάλου φιλαδέλφου κτίσαντος αὐτήν· τὸ ἐθνικὸν, ἀτταλεύς· καὶ ἀτταλικὸς κτητικὸν, καὶ θηλυκόν·

A ττάλις, φυλὴ τῆς ἀττικῆς, ἣν ἀττάλῳ ἀνέθηκαν ἀθηναῖοι. ὁ φυλέτης, ἀτταλεύς·

A ττάλυδα, πόλις λυδίας, κτισθεῖσα ἀπὸ ἄττυος καὶ μετὰ θάνατον αὐτοῦ, ὑπὸ λυδοῦ τοῦ παιδὸς αὐτοῦ· τὸ ἐθνικὸν, ἀτταλυδεύς·

τὸ ἄλφα μετὰ τοῦ υ· ψιλοῦ.

A ὔαθα, καὶ αὔαρα, οὐδετέρως συνοικία ἀράβων, ὡς οὐράνιος ἐν ἀραβικῶν πρώτῃ· οἱ οἰκήτορες, αὐαθηνοὶ, καὶ αὐαρηνοί·

A ὐαλίτης κόλπος, ἐν δεξιοῖς μέρεσι τῆς ἐρυθρᾶς θαλάσσης· τὸ ἐθνικὸν, ὅμοιον.

A ὔαρα, πόλις ἀραβίας, ἀπὸ χρησμοῦ δοθέντος ὀβόδᾳ, κληθεῖσα ὑπὸ τοῦ υἱοῦ αὐτοῦ ἀρέτα· ἐξώρμησε γὰρ ἀρέτας εἰς ἀναζήτησιν τοῦ χρησμοῦ· ὁ δὲ χρησμὸς ἦν, αὔαρα τόπον ζητεῖν, ὅ ἐστι κατὰ ἄραβας καὶ σύρους, λευκήν· καὶ φθάσαντι τῷ ἀρέτᾳ, καὶ λοχῶντι, ἐφάνη φάσμα αὐτῷ, λευκοείμων ἀνὴρ ἐπὶ λευκῆς δρομάδος προϊών· ἀφανισθέντος δὲ τοῦ φάσματος, σκόπελος ἀνεφάνη αὐτόματος κατὰ γῆς ἐρριζωμένος· κἀκεῖ ἔκτισε πόλιν· τὸ ἐθνικὸν, αὐαρηνός·

A ὐασὶς, πόλις αἰγύπτου· ταύτην δὲ καὶ ὄασιν καλοῦσιν, ἐοικυῖαν παρδαλέᾳ· κατάστικτος γάρ ἐστιν, ἀνύδρῳ γῇ καὶ ἐρήμῳ τὰς οἰκήσεις ἔχουσα· τὰ τοιαῦτα αὐάσεις αἰγύπτιοί φασι· τὸ ἐθνικὸν, αὐασίτης, καὶ αὐσίτης· ἡρόδοτος δὲ καὶ δοῦρις, μακάρων αὐτὴν ὠνόμασαν νῆσον·

A ὐγάσιοι, ἔθνος μασσαγετῶν· στράβων ἕκτῃ οὕτω φησίν·

A ὐγεία, πόλις λοκρίδος· ὅμηρος, καὶ αὐγειὰς ἐρατῆς· ἔστι καὶ λακωνικὴ πόλις· τὸ ἐθνικὸν, αὐγεάτης·

A ὔγιλα, οὐδετέρως πόλις λιβύης· ἀπολλόδωρος ·β· περιηγήσεως· τὸ ἐθνικὸν, αὐγιλίτης διὰ τὸ ἐπιχώριον, ὡς γάβαλα, γαβαλίτης·

A ὔγουσται, πόλις ἐν κιλικίᾳ, καὶ ἰταλίᾳ· οἱ πολῖται, αὐγουστανοί· φλέγων ἐν ὀλυμπιάδι ·η·

A ὐενίων, πόλις μασσαλίας πρὸς τῷ ῥοδανῷ· τὸ ἐθνικὸν, αὐενιωνήσιος· καὶ τῷ ἐπιχωρίῳ, αὐενίτης, καὶ ἕλληνι τύπῳ·

A ὐλαὶ, ἐπίνειον κιλίκων, μεταξὺ ταρσοῦ καὶ ἀγχιάλης· οἱ οἰκοῦντες, αὐλεῶται πρὸς τὸν ἐπιχωρίων ὀνομάζονται. τὸ δὲ εἶναι οὐκ ἔστιν ὁ διὰ τοῦ ·ωτης· τύπος, ἀλλ' ἔοικεν ὡς ἀπὸ τοῦ ῥάφεια, ῥαφειώτης· ῥαφεῶται εἰσιν αὐλαὶ, καὶ λυκίας χωρίον· εἰ δ' ἑνικῶς ἐλέγετο αὐλὴ, ὤφειλεν αὐλέτης, ἢ αὐλίτης· τὰ γὰρ ἀπὸ τῶν εἰς ·η· δισυλλάβων θηλυκῶν ὀξυνόμενα μὲν, διὰ τοῦ ·ε, ὡς τὸ φυλέτης· βαρυνόμενα δὲ, διὰ τοῦ ·η, ὡς κωμήτης, σιδήτης. ἐπισατέον τὸ καρνίτης, ἀπὸ τῆς κάρνης, ὡς ἐροῦμεν.

A ὐλὴ, ἡ ἔπαυλις. χρῶνται μὲν τῷ αὐλῆς ὑπεράλμενον· λέγεται καὶ αὖλις. καὶ σύνθετον, δύσαυλις· ὁ οἰκήτωρ, αὐλίτης. αἱ δ' ἐν τοῖς ἀγροῖς οἰκήσεις, αὖλοι· καὶ οἱ ἄποικοι τούτων, θύραυλοι. λέγεται καὶ αὔλιος ὁ ἑσπέριος ἀστὴρ, παρὰ τὸ ποιεῖν ἡμᾶς αὐλίζεσθαι· καὶ αὔλιον ἄντρον, παρὰ τὸ ἐκεῖ χορεύειν. ὡς ἀπολλώνιος, στῆσεν χοροὺς αὐλίους·

A ὐλὶς, πόλις βοιωτίας κατὰ χαλκίδα, εἰς ἣν ἠθροίσθησαν οἱ ἕλληνες· ξύφων παρὰ τὸ αὐλισθῆναι, ἁλίς, καὶ αὐλίς· βέλτιον ἀπὸ τῆς αὐλίδος τῆς ἐπωνύμου τοῦ κηφισσοῦ· τὸ ἐθνικὸν, ἡσύχιος αὐλιδεὺς, καὶ αὐλίς. ἔστι δ' αὐλίδος, καὶ αὐλιδία·

A ὐλὼν, πόλις λακωνική, μία τῶν ἑκατόν· ὁ πολίτης, αὐλωνίτης· δευτέρα, πόλις ἀρκαδίας· ὁ πολίτης, αὐλώνιος ·γ, πόλις κρήτης, ἢ τόπος· ἔστι καὶ τόπος ἀραβίας· ἔστι καὶ αὐλὼν, ὃν ἐποίκισαν κροτωνιᾶται, ἧς ὑπὸ μάθη καυλωνία· τὸ ἐθνικὸν, καυλωνιάτης·

Α υσεῖς, ἔθνος λιβύης. ἀπολλόδωρος δευτέρᾳ
περιηγήσεως, καὶ ἡρόδοτος ἐν τετάρτῃ.

Α υσίγδα, πόλις λιβύης οὐδετέρως, ὡς καλ
λίμαχος. ἑκαταῖος δὲ νῆσον οἶδε. τὸ ἐθνικὸν,
αὐσιγδεῖ. οὕτω γὰρ ἀπόλλων τιμᾶται.

Α υχῖται, ἔθνος λιβύης ὑπὲρ βάκης. ἀπολ-
λόδωρος περιηγήσεως δευτέρῳ.

Α υσων, ὁ ἰταλός. λυκόφρων, κτείνουσιν αὐ
τὸν αὔσονες πελλήνιοι. καὶ αὐσονὶς, τὸ θηλυ
κόν. καὶ αὐσόνιος. καὶ αὐσονία ἡ χώρα, ἀφ'
οὗ αὐσονιεῖς, καὶ αὐσόνειος. λυκόφρων,
Ο δ' αὐσονείων ἄγχι κάλχαντος τόπων.
καὶ αὐσονίτης. ὁ αὐτὸς, Παρ' αὐσονίτην φύ-
λαμον δομήσεται. καὶ αὐσονῖτις θηλυκόν.
ὁ αὐτὸς, Ο τῆς θαλάσσης αὐσονίτιδος μυ-
χούς. καὶ αὐσόνιος κτητικόν.

Α υταριᾶται, ἔθνος θεσπρωτικόν. χάραξ ἑ-
βδόμῃ χρονικῶν, καὶ φαβωρῖνος ἐν παν-
τοδαπαῖς, καὶ ὑπ' ἀγαθένης.

Α υτομάλακα, χωρίον λιβύης. πολυΐστωρ τρί
τῃ. ἀπολλόδωρος δὲ αὐτόμαλά φησι. τὸ ἐθνι
κὸν, αὐτομαλακίτης διὰ τὴν χώραν. τῷ δὲ
καθ' ἡμᾶς τύπῳ, αὐτομαλακεύς.

Α υτόμολοι, ἔθνος αἰθιοπικὸν, ὡς ἡρόδοτος
δευτέρᾳ, τοῖσι δὲ αὐτομόλοισι τούτοισιν ὄνο
μα ἀσμάχ, ὅ ἐστιν, οἱ ἐξ ἀριστερᾶς γλώσσης
παριστάμενοι βασιλεῖ.

Τὸ ἄλφα μετὰ τοῦ φι.

Α φάνναι, χωρίον σικελίας ἄσημον. ἀφ' οὗ, Η
εἰς ἀφάννας, ἐπὶ τῶν ἀδήλων, καὶ ἐκτε
τοπισμένων. τὸ ἐθνικὸν, ἀφανναῖος.

Α φάκη, πόλις λιβύης, ὡς πολυΐστωρ ἐν λι
βυκῶν τρίτῃ. τὸ ἐθνικὸν, ἀφακίτης, διὰ τὸ

Α φείδαντες, μοῖρα μο- (ἴδιον τῆς χώρας.
λοττῶν, ἀπὸ Ἀφείδαντος βασιλέως.

Α φεταὶ, πόλις τῆς μαγνησίας. ἑλλάνικος.
ὅτι ἐντεῦθεν δευτέραν ἄφεσιν ἡ ἀργὼ ἐποι
ήσατο, ἢ ὅτι ἐκεῖ οἱ ἀργοναῦται τὸν ἡρακλέα
κατέλιπον. κεῖται δ' ἐν τῷ παγασητικῷ
κόλπῳ. τὸ ἐθνικὸν, ἀφεταῖος, ὡς παγα-
σαῖος, ἀναφαῖος.

Α φθαλα, καὶ ἀφθαία, ἡ ἑκάτη. ὁ τεχνικὸς
δυοκαιδεκάτῳ. δύναται καὶ ἀφθαῖος εἶναι.
ἔστι καὶ ἀφθίτης νόμος αἰγύπτου.

Α φίδνα, δῆμος ἀττικῆς, καὶ λεοντίδος φυλῆς,
ἀπὸ Ἀφίδνου αὐτόχθονος. ὁ δημότης, ἀφι
δναῖος, ὡς πυδναῖος. τὰ τοπικὰ, δῆλα. ἀ-
φίδνηθεν. ἀφίδναζε. ἀφίδνησιν. ἔστι καὶ
πόλις ἀφίδναι. ἔστι καὶ τῆς λακωνικῆς, ὅθεν
ἦσαν αἱ λευκιππίδες, φοίβη, καὶ Ελάειρα.

Α φνειον, πόλις φρυγίας, πλησίον κυζίκου,
ἢ μιλήτου πόλεως. ἢ ἀπὸ ἀφνειοῦ, ἢ ἀπὸ ἀφνα
ίδος νύμφης. ἔστι καὶ λυδίας πόλις. ἡ λί
μνη ἡ περὶ κύζικον, ἀφνῖτις, ἡ πρότερον,
ἀρτυνία. τὸ ἐθνικὸν, ἀφνίτης.

Α φόρμιον, τόπος θεσπιέων. ἀφροδίσιος, ἤτοι
εὔφημος ἐν δ' περὶ τῆς πατρίδος. ὅθεν καὶ τὸν
κυβερνήσαντα τὴν ναῦν τὴν ἀργὼ Τίφυν γε
νέσθαι. καὶ λόγος παρ' ἡμῶν, τῆς νεὼς ἀφορμι
σάσης ἐντεῦθεν μετὰ τῶν ἀριστέων, ἀφ' οὗ
περ ἀπέπλευσεν ἡ ναῦς. ὁ τοπίτης, ἀφορ
μιεύς, ὡς αἰγιεύς, σουνιεύς.

Α φροδισιὰς, πόλις κιλικίας, περὶ ἧς ἀλέξαν
δρος ὁ πολυΐστωρ ἐν τῷ περὶ κιλικίας φη
σὶν, ὅτι ζώπυρός φησιν αὐτὴν ἀπὸ τῆς ἀφρο
δίτης κεκλῆσθαι γράφων καὶ ἱστορίας. δευ
τέρα, ἰβηρίας πρὸς τοῖς κελτοῖς. τρίτη, νῆ
σος, ἡ πρότερον ἐρύθεια, μεταξὺ ἰβηρίας καὶ
γαδείρων. τετάρτη, ἐν κνίδῳ. πέμπτη, μεταξὺ
λυδίας, καὶ καρίας. ϛ, νῆσος λιβύης πρὸς
τῇ κυρήνῃ. ζ, πόλις λακωνικῆς, μία τῶν ρ.
η, σκυθίας, παραλία, πρὸς τῇ ληστείᾳ εὔ-
θετος. θ, αἰθιοπίας. δεκάτη, κύπρου. εἰσὶ
καὶ δύο νησίδια πλησίον τῆς λιβύης. ἔστι καὶ
ἀλεξανδρείας. τὸ ἐθνικὸν, ἀφροδισιεύς.

Α φροδίτης, πόλις κατὰ ἄθριβιν, καὶ αἰθιο
πίαν, καὶ θρᾴκην.

Α φροδίτια, χωρίον λακωνικῆς. θουκυδίδης δ.

Α φύτη, ἢ ἄφυτις, πόλις πρὸς τῇ παλλήνῃ
θρᾴκης, ἀπὸ Ἀφύτου τινὸς ἐγχωρίου. ἔχει δὲ ἡ
πόλις μαντεῖον ἀπόλλωνος. ὁ πολίτης, ἀ-
φυταῖος. θουκυδίδης α. Εξ ἀφύτιος ὁρμώ
μενος. λέγεται καὶ ἀφύτεια, ἴσως ἀπὸ τῆς ἀφύτης,
καὶ ἀφυτιεὺς, καὶ ἀφυτεὺς, καὶ ἀφυτήσιος.

Τὸ ἄλφα μετὰ τοῦ χι.

Α χαΐα, παρὰ τὸ ἀχαιὸς κύριον. τὸ ἐθνικὸν,
ἀχαιός. καὶ σεσημείωται ὀξυνόμενον. ἔστι
καὶ λόφος ἐν καρύστῳ, καὶ τόποι διάφοροι.

Α χαιμενία, ἡ περσικὴ μοῖρα, ἀπὸ Ἀχαιμένους
υἱοῦ αἰγέως. λέγεται καὶ ἀχαιμένιον.

Α χαινοὶ, ἔθνος πρὸς τῇ σκυθίᾳ, οἱ καὶ ἀχαρνοὶ
λέγονται παρὰ θεοπόμπῳ.

Α χάρνα, δῆμος τῆς οἰνηΐδος φυλῆς. ἡρωδια
νὸς, ἀχάρναι βαρύτονον. τὰ τοπικὰ ὡς ἀπὸ ὀ
ξυτόνου, ἀχαρνῆθεν. μήποτε δ' ἀπὸ τοῦ ἀ-
χαρνεὺς ἡ παραγωγή. ὁ δημότης, ἀχαρ-
νεὺς, καὶ ἀχαρνίτης, καὶ ἀχαρναῖος, καὶ ἀχαρ-

Α χερδοῦς, δῆμος τῆς ἱπποθοωντί (νικός.
δος φυλῆς. ὁ δημότης, ἀχερδούσιος. τὰ το
πικὰ, δῆλα. ἀχερδουντόθεν.

Α χελῷος, ποταμὸς ἀκαρνανίας, ἀπὸ Ἀχε
λῴου ἐλθόντος ἐκ θετταλίας μετὰ ἀλκ-
μαίωνος. ἐκαλεῖτο δὲ θόας ὁ ποταμός. τὸ
ἐθνικὸν, ἀχελῷος ὁμοφώνως, καὶ ἀχελῷα,
καὶ ἀχελῳῒς θηλυκόν.

Α χέῤῥαι, πόλις μεταξὺ τοῦ πάδου, καὶ τῶν
ἀλπέων. τὸ ἐθνικὸν, ἀχεῤῥαῖος.

Α χέρων, ἀχέροντος. ἀχερούσιος, ἀχερουσία,
ἀχερούσιον. ἔστι καὶ ἀχερουσία λίμνη. λέγεται
καὶ ἀχερόντειος. ὅ διὰ τὸ μέτρον ἀριστοφά-
νης ἔφη,

νης ἔφη, Ἀχερόντιός τε σκόπελος αἱματοσταγής· καὶ ἀχεροντιὰς ἐξ αὐτοῦ.

A χίλλειος δρόμος, νῆσος μετὰ τὴν ταυρικήν. ἔστι καὶ νῆσος ἀχίλλεια. ὡς δ' ἔνιοι, λευκή. ἔστι καὶ κώμη ἐπὶ τῷ στόματι τῆς μαιώτιδος. ἔστι καὶ πόλις ἐν τῷ σιγείῳ ἀχίλλειον. ἔστι καὶ φρούριον ἀχίλλειον πλησίον σμύρνης, καὶ τόπος ἐν σικελίᾳ, καὶ κώμη, καὶ λιμὴν μεσσήνης. τὸ ἐθνικὸν, ἀχιλλειώτης. καὶ ἀχιλλείτης δύναται εἶναι, καὶ ἀχιλλειοδρομίτης.

A χναι, πόλις θεσσαλίας. ἐντεῦθεν ἦν κλεοδήμας, ὁ περὶ ἱππικῆς καὶ πολεμιστικῆς γράψας. ἔστι καὶ πόλις βοιωτίας. ὁ πολίτης, ἀχναῖος.

A χόλλα, πόλις λιβύης, οὐ πόρρω τῶν σύρτεων, ἄποικος μελιταίων. τὸ ἐθνικὸν, ἀχολλαῖος.

A χόμαι, καὶ ἀχομενοὶ, ἔθνος τῆς εὐδαίμονος ἀραβίας, ὡς οὐράνιος ἐν ζίτῃ.

A χραδινὴ, νῆσος ἔχουσα πόλιν πρὸς ταῖς συρακούσαις, ἣν ἐπολιόρκησε μάρκελλος ὁ ῥωμαίων στρατηγός. ἀλλὰ καὶ ἀχραδινὴ μοῖρα συρακουσῶν. χάραξ δὲ χώραν αὐτὴν καλεῖ, καὶ νῆσον. τὸ ἐθνικὸν, ἀχραδιναῖος, καὶ ἀχραδῖνος.

A χραδοῦς, δῆμος τῆς ἀττικῆς. ὁ δημότης, ἀχραδούσιος. ἀριστοφάνης ἐκκλησιαζούσαις, νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν, ὅστις ποτ' ἐστὶν ἄνθρωπος ἀχραδούσιος.

A χριανὴ, πόλις ὑρκανίας. πολύβιος δεκάτῳ. τὸ ἐθνικὸν, ἀχριανός.

Τὸ ἄλφα μετὰ τοῦ ψι.

A ψίλαι, ἔθνος σκυθικὸν, γειτνιάζον λαζοῖς, ὡς ἀρριανὸς ἐν περίπλῳ τοῦ εὐξείνου πόντου.

A ψυνθος, πόλις θράκης. ἀψυνθὶς δὲ ἡ χώρα. τὸ ἐθνικὸν, ἀψύνθιος, καὶ ἀψυνθιάς. ἔστι καὶ εἶδος φυτοῦ, περὶ οὗ βῶλος ὁ δημοκρίτειος, ὅτι θεόφραστος ἐν τῷ περὶ φυτῶν ἐννάτῳ, τὰ πρόβατα τὰ ἐν τῷ πόντῳ τὸ ἀψύνθιον νεμόμενα, οὐκ ἔχει χολήν. διχῶς δ' ἡ γραφή, καὶ διὰ τοῦ ῡ, καὶ διὰ τοῦ ῑ.

A ψυρτίδες, νῆσοι πρὸς τῷ ἀδρίᾳ, ὑπὸ ἀψύρτου παιδὸς αἰήτου ἐν μιᾷ δολοφονηθέντος ὑπὸ τῆς ἀδελφῆς μηδείας. οἱ νησιῶται, ἀψυρτεῖς, καὶ ἄψυρτοι. ἔστι καὶ τόπος ἐν τῷ εὐξείνῳ πόντῳ ἄψαρος, ἄψυρτος πρότερον λεγόμενος. ἀρτεμίδωρος ἐν ἐπιτομῇ. καὶ πολ      δὲ νῆσον ἀψύρτου ἱστορεῖ.

A ψωρος, πόλις ἰλλυρίας. ἡρωδιανὸς ὀγδόῃ. ἔοικε δ' ἡ αὐτὴ εἶναι τῇ προειρημένῃ.

Τὸ ἄλφα μετὰ τοῦ ω μεγάλου.

A ωρος, πόλις κρήτης, ἀπὸ ἀώρας νύμφης. μετωνομάσθη δ' ἐλευθέρα, ἀπὸ ἐλευθῆρος ἑνὸς τῶν κουρήτων. ὁ πολίτης, ἄωρος, ἢ ἀωρίτης, ὡς ἀλωρίτης.

## ΑΡΧΗ ΤΟΥ ΒΗΤΑ ΣΤΟΙΧΕΙΟΥ.

Τὸ βῆτα μετὰ τοῦ ἄλφα.

β Αβαὶ, πόλις λιβύης. μαρκιανὸς ἐν περίπλῳ αὐτῆς. ὁ πολίτης, βαβαῖος.

B αβύλη, πολ      ἐν ὀδυσσείας γ̄.

B αβραίτιον, τόπος περὶ χίον. πολύβιος ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν, ὁμοίως. ἔοικε δ' ὑποκοριστικὸν τοῦ βάβρασι.

B άβρας, πολίχνιον αἰολίδος, ἐγγὺς χίου. τὸ ἐθνικὸν, βαβραίτιος. εὕρηται καὶ ἰσοσύλλαβος ἡ κλίσις ἐν ἀστιγεῖ βιβλίῳ.

B αβυλὼν, περσικὴ πόλις, μητρόπολις, σελευκία καλουμένη, βαβυλῶνος ἀνδρὸς κτίσμα παλαιτάτου σοφωτάτου παιδὸς μήδου. οὐχ ὡς ἡρόδοτος ὑπὸ σεμιράμιδος. ταύτης γὰρ ἦν ἀρχαιοτέρα ἔτεσι χιλίοις δύο, ὡς ἑρράνιος. ἔστι καὶ ἐν αἰγύπτῳ πόλις. τὸ ἐθνικὸν, βαβυλώνιος, καὶ βαβυλωνεύς. καὶ βαβυλωνὶς, καὶ βαβυλωνία τὰ θηλυκά.

B αβυτάκη, πόλις περσική. ὁ πολίτης, βαβυτακηνός.

B αγαδαονία, μοῖρα καππαδοκίας νοτιωτάτη. τὸ ἐθνικὸν, βαγαδάονες, ὡς καταόνες, τῆς καταονίας.

B άδεως πόλις, τῆς εὐδαίμονος ἀραβίας, ἐν τῇ παραλίᾳ τῆς ἐρυθρᾶς θαλάσσης. ὁ οἰκήτωρ, βαδεωπολίτης.

B άδιζα, πόλις τῆς βρεττανίας. πολ
ζισκαιδεκάτῳ. τὸ ἐθνικὸν, βαδιζαῖος.

B αία, ὄρος κεφαλληνίας, ἀπὸ βαίου κυβερνήτου ὀδυσσέως. τὸ ἐθνικὸν, βαιάτης.

B αιάκη, πόλις τῆς χαονίας. ἑκαταῖος. τὸ ἐθνικὸν, βαιακαῖος. δύναται καὶ βαιακῖνος ἄμεινον τὸ πρῶτον.

B αῖβαι, πολίχνιον τῆς καρίας. ὁ πολίτης, βαιβαῖος.

B αίκυλα, πόλις ἰβηρίας, πρὸς ταῖς ἡρακλείαις στήλαις. τὸ ἐθνικὸν, βαικυλεύς.

B αιταρροῦς, κώμη μεγάλη ζί τῆς παλαιστίνης. οἱ κατοικοῦντες, βαιταρρηνοί. ἔστι καὶ πόλις κελτικὴ βαίταρρα, ἧς ὁ πολίτης βαιταρρίτης. τῆς δὲ προτέρας, βαιταρρούσιος. κλίνεται βαιταρροῦντος.

B αίτιον, πόλις μακεδονίας. θεόπομπος εἰκοστῇ τετάρτῃ. δύναται δὲ κατὰ τὴν τέχνην βαιτιεύς.

B αῖτις, ποταμὸς κατὰ ἰβηρίαν, ὃς πέρκης λέγεται ὑπὸ τῶν ἐγχωρίων. λέγεται καὶ βαιτικὴ ἡ χώρα, ἀπὸ βαίτιος γενικῆς.

B αἴζημαι, πόλις ἐν τῷ ἀραβικῷ κόλπῳ περὶ τὴν ἐρυθρὰν θάλασσαν, ὅ ἐστιν οἶκος ἡλίου. ὁ πολίτης, βαιζημαηνός.

B αικαῖον, ἰσπανίας ἔθνος.

B ἄκζα, πόλις. στράβων. τὸ ἐθνικὸν, βάκζοι, καὶ βάκζιοι. καὶ βακζία τὸ θηλυκόν. ἔστι καὶ πόλις βάκζιον. τὸ ἐθνικὸν, βακζιανὸς, καὶ βακζιανή.

B ἄκουροι, καὶ βακυριανοὶ, ἔθνος πρὸς πάρθοις, καὶ μήδοις.

B ἄκχου νῆσος, καὶ αὐτὴ βάκχου ἑτέρα ἐν τῷ ἀραβικῷ κόλπῳ. τὸ ἐθνικὸν, βακχονησίτης.

B ἄλα, πόλις τῆς γαλιλαίας. ἰώσηπος. τὸ ἐθνικὸν, βαλαῖος.

B αλανέαι, πόλις φοινίκης, ἡ νῦν λευκάς. ὁ πολίτης, βαλανεώτης. εἰς ἣν πόλιν ἐπικράτης ἐγκώμιον ἔγραψεν ὁ βαλανεώτης.

B ἄλβουρα, οὐδετέρως, πόλις λυκίας. τὸ ἐθνικὸν, βαλβουρεύς.

B ἄλδυς, πόλις φοινίκης. ὁ πολίτης, βαλδαῖος. τὰ εἰς δυς δισύλλαβα ἔχοντα πρὸ τῆς δ ἄφωνον, βαρύνεται, εἰ μὴ ἐπιθετικὰ εἴη. ἰνδὸς, ὅμοιον τῷ ποταμῷ. χλορδύς. μινδὺς, ὡς ἄφωνον ὀξύνεται. ἀφ' οὗ, μινδυτέροι νεπόδων, παρὰ καλλιμάχῳ.

B ἄλκεια, πόλις περὶ τὴν προποντίδα. τὸ ἐθνικὸν, βαλκειάτης, καὶ βαλκείτης.

B ἄλις, πόλις λιβύης πρὸς τῇ κυρήνῃ, ἀπό τινος βάλεως, οὗ καὶ ἱερὸν ἔχει. ὁ πολίτης, βαλίτης.

B ἄλλα, πόλις μακεδονίας, ὡς πέλλα. ὁ πολίτης, βαλλαῖος. θεαγένης ἐν μακεδονίᾳ, βαλλαίους μεταγαγὼν εἰς τὸν νῦν λεγόμενον πύθιον τόπον.

B ἄλοιον, πόλις μακεδονίας. τὸ ἐθνικὸν, βαλοιεύς.

B αναυρίδες, τυρρηνικαὶ νῆσοι, ἀπὸ βαναύρου υἱοῦ αἴαντος. τὸ ἐθνικὸν, βαναυρεύς.

B ἄντεια, πόλις ἰταλίας. τὸ ἐθνικὸν, βαντιανοὶ, καὶ βαντιᾶται.

B ἄντιοι, ἔθνος θρᾴκης. ἑκαταῖος.

B άραθρον, τόπος κοῖλος, καὶ ὄρυγμα καλούμενος, ἀφ' οὗ βαραθρίτης. ἔστι καὶ βάραθρα πλησίον τοῦ κασίου. τὸ ἐθνικὸν, βαραθρεύς.

B αράκη, νῆσος τῆς γεδρωσίας. τὸ ἐθνικὸν, βαρακαῖος, ὡς ἰτύκη, ἰτυκαῖος.

B αρβάλισσος, φρούριον τῆς ἔσω τετειχισμένον. τὸ ἐθνικὸν, βαρβαλισσηνός.

B άρβαρος, οὐκ ἐπὶ ἔθνους, ἀλλ' ἐπὶ φωνῆς ἐλαμβάνετο, ὡς καὶ ὅμηρος τοὺς βαρβαροφώνους, ὡς πολεμίους τῶν ἰώνων. εἴρηται παρὰ τοῖς νεωτέροις ἐθνικῶς, ἀφ' οὗ βαρβαρία. ἔστι καὶ χώρα παρὰ τὸν ἀράβιον κόλπον βαρβαρία, ἀφ' οὗ καὶ βαρβαρικὸν πέλαγος. τὸ δὲ βαρβαρικὸς, οὐκ ἀπὸ τοῦ βαρβαρία, ἀλλ' ἀπὸ τοῦ βάρβαρος. ἦν γὰρ βαρβαριακός.

B άργασα, πόλις καρίας, ἀπὸ βαργάσου τοῦ υἱοῦ βάργης, καὶ ἡρακλέους, ὃν ἐδίωξε λάμος ὁ ὀμφάλης, καὶ ἡρακλέους, ὡς ἀπολλώνιος καρικῶν τετάρτῳ. τὸ ἐθνικὸν, βαργασηνὸς, ὡς αὐτὸς ἐν καιδεκάτῳ. ὡς ἔδεσσα, ἐδεσσηνὸς, γερασηνὸς, ἐμεσηνός.

B αργούσιοι, ἔθνος δυτικὸν πρὸς τῷ ἴβηρι ποταμῷ. πολύβιος ἐν τρίτῳ. ἔστι καὶ βαρχοῦσα μικρὰ πόλις φοινίκης. ὁ πολίτης, βαρχουσηνός.

B αργύλλα, οὐδετέρως πόλις καρίας, ἣν αὐδηνὸν οἱ κᾶρες φασὶν, ἀχιλλέως κτίσμα λέγοντες. ἔστι δὲ πλησίον ἰάσσου, καὶ μυνδοῦ. ὠνομάσθη δὲ ἀπὸ βαργύλου, ὃς πληγεὶς ὑπὸ πηγάσου, τελευτᾷ. βελλεροφόντης δ' ἀνιαθεὶς ἐπὶ τῷ ἑταίρῳ, πόλιν ἔκτισε βαργυλίαν. καὶ ἡ θάλασσα βαργυλικὸς κόλπος. ἐξ αὐτοῦ ὁ πολίτης βαργυλιάτης.

B αρλιών, πόλις μηδίας, ἐγγὺς ἀγβατάνων. οἱ οἰκήτορες, βαρλιωνοί.

B αρήπιον, χωρίον πρὸς τῷ ἀδρίᾳ. θεόπομπος πεντηκοστῷ δευτέρῳ. τὸ ἐθνικὸν, βαρηπῖνος, ὡς βρεντεσῖνος.

B αρις, πόλις. τὸ ἐθνικὸν, βαρίτης. λέγεται βάρις ἡ οἰκία, ὡς ποσίδιππος, καὶ ἡ συνοικία, ὡς ἔφορος.

B αρκάνιοι, ἔθνος τοῖς ὑρκανοῖς ὅμορον.

B άρκη, πόλις λιβύης, ἣ νῦν πτολεμαΐς. ἦν δ' ἐκ πλινθίνων οἰκοδομημάτων συντεθεῖσα, κτίσμα περσέως, ζακύνθου, ἀρισομέδοντος, λύκου. λέγεται καὶ βάρκαια, ἐξ οὗ τὸ βαρκαιάτης. τοῦ δὲ βάρκη, βαρκαῖος. καὶ βάρκαιον τὴν λίβυν φασὶ βάρκαιον ἔπος. οἳ τὰς ἱπποσοφίας παρὰ ποσειδῶνος, ἡνιοχεῖν δὲ παρὰ ἀθηνᾶς ἔμαθον.

B αρύγαζα, ἐμπόριον γεδρωσίας, τῶν σφόδρα ἐπισήμων. οἱ οἰκοῦντες, καὶ ὁ κόλπος, βαρυγαζηνοί.

B αζυνίσαι, ἔθνος θρᾴκιον, ἀπὸ τῆς ὁ βαζυνίσης εὐθείας. τινὰ δὲ τῶν βιβλίων βανίζαι ἔχουσι τρισυλλάβως.

B άσηρα, πόλις φοινίκης. τὸ ἐθνικὸν, βασηρεύς, ὡς ἀλίφηρα, ἀλιφηρεύς.

B ασιννοὶ, ἀραβικὸν ἔθνος. γλαῦκος ἐν τρίτῳ ἀραβικῆς ἀρχαιολογίας.

B άσιλις, πόλις ἀρκαδίας. παυσανίας ὀγδόῳ. τὸ ἐθνικὸν, βασιλίτης.

B ασάρναι, ἔθνος ὑπὲρ τὸν ἴστρον οἰκοῦν. διονύσιος ἐν περιηγήσει, πολλὰ μάλ' ἐξείης

μαιώτιδος

μαιώτιδος ἐς στόμα λίμνης γερμανοί, σαρμάται, γέται θ' ἅμα, βαστάρναι τε.

B αστάναβος, ἀραβίας σταθμός. τὸ ἐθνικὸν, βασταναβηνός.

B ατανέαι, συνοικία συρίας, ἣ καὶ βατανέα ἑνικῶς. τὸ ἐθνικὸν, βατανεώτης. ἔστι καὶ βάτανα πρὸς τῷ εὐφράτῃ.

B ατέταρα, πόλις λυγίων. θηλυκῶς. τὸ ἐθνικὸν, βατεταραῖος.

B ατίεια, τόπος τῆς τροίας ὑψηλός. κέκληται ἀπὸ βατείας τινὸς, ὡς ἑλλάνικος ἐν πρώτῃ τρωϊκῶν. ἢ ἀπὸ τοῦ βάτου τῶν ἵππων, ἤγουν τῆς τροφῆς, τροπῇ τοῦ π εἰς β. ἢ ἀπὸ τῶν βάτων. τὸ ἐθνικὸν, βατιεύς, καὶ βατιειάτης.

B ατὴ, δῆμος τῆς αἰγηΐδος φυλῆς. ὅθεν ἦν ἄβρων ὁ καλλίου ἐξηγητὴς, περὶ ἑορτῶν καὶ θυσιῶν γεγραφώς. τὸ ἐθνικὸν ἐπιρρηματικῶς, βατῆθεν. οὐ γὰρ δεῖ ἐν πᾶσι τὸ ἐθνικὸν ζητεῖν, ἀλλ' ἢ τῷ ἐπιρρήματι χρῆσθαι, ὡς ἐπὶ τῶν δήμων, ἢ τῇ γενικῇ μετὰ προθέσεως, ἢ τῷ ἀναλόγῳ, ἢ τῷ συνήθει τῆς χώρας. τὰ τοπικὰ δῆλα.

B άτναι, πόλις τῆς ὀρροήνης. τὸ ἐθνικὸν, βατναῖος, διὰ τὸν χαρακτῆρα, ὡς ἐδεσσαῖος, καὶ καρραῖος.

τὸ βῆτα μετὰ τοῦ ε ψιλοῦ.

B εβρύκων, ἔθνη δύο. τὸ μὲν, πρὸς τῷ πόντῳ ἐν τῇ ἀσίᾳ. τὸ δὲ, παρὰ τοῖς ἴβηρσιν ἐν τῇ εὐρώπῃ. περὶ δὲ τῆς ἐν ἀσίᾳ, διάφοροι γεγόνασι δόξαι, ὅτι ἀπὸ βέβρυκος, ἢ ἀπὸ βεβρύκης. καὶ ἄλλοι ἄλλως. τὸ ἐθνικὸν, βεβρύκιος, καὶ βεβρυκία. εὕρηται καὶ βέβρυσσα, ὡς φοίνισσα, κίλισσα, θρῆσσα. ἔχει γὰρ οἰκειότητα τὸ σ πρὸς τὸ ξ.

B έλβινα, πόλις λακωνική. παυσανίας ὀγδόῳ. ἀρτεμίδωρος νῆσον αὐτήν φησι. τὸ ἐθνικὸν, βελβινίτης, ὡς αἰγινίτης.

B ελβίκη, ἡ χώρα, ὡς βαιτική, προσεχὴς ταῖς γερμανίαις. ὁ οἰκήτωρ, βελγικὸς, ὡς ἀττικός. ἔοικε δὲ ἀπὸ τοῦ βέλγη, ὡς ἀκτὴ, ἀττική. τὸ θηλυκὸν, βελγαία, ἡ χώρα.

B εληδόνιοι, ἔθνος παρ' ὠκεανῷ. παρθένιος ἐν δήλῳ, οὐδ' ἀπὸ τηλίτων τῶν πόρρω ἄκρα βεληδονίων.

B ελιτανοὶ, οἱ αὐτοὶ τοῖς λυσιτανοῖς, ὡς ἀρτεμίδωρος ἐν τρίτῃ γεωγραφουμένων.

B έλετρα, πόλις ἰταλίας, οὐ ῥώμης, ἀπωτέρω ὥς φησι φλέγων ὀλυμπιάσιν ἑκατὸν ἑβδομηκοντατέσσαρσι. τὸ ἐθνικὸν, βελιτριανὸς τῷ ἔθει τῆς χώρας.

B ελὼν, πόλις καὶ ποταμὸς ἐν τῇ βαιτικῇ τῆς ἱσπανίας. ὁ πολίτης, βελώνιος.

B εμβῖνα, κώμη τῆς νεμέας. ἑλλάνικος δὲ βέμβινον, καὶ πόλιν φησίν. ὁ πολίτης, βεμβινήτης, ὡς σταγειρίτης. παρὰ δὲ ῥιανῷ, βεμβινάτης. ἔοικεν οὖν αἰγινάτης, καὶ αἰγινήτης κατὰ τροπὴν, ὡς πανύασις ἐν ἡρακλείας πρώτῃ, δέρμα τε θήρειον βεμβινήταο λέοντος. καὶ ἄλλως. καὶ βεμβινήταο πελώρου δέρμα λέοντος. τὸ ἐκ τόπου ἐπίρρημα, βεμβινῆθεν. καὶ εἰς τόπον, βεμβίναδε.

B ενεβεντὸς, χωρίον διομήδους ἐν ἰταλίᾳ. οἱ δὲ, ὅτι κτῆμα διομήδους, ἢ καὶ μαλοεντὸς ἐλέγετο. τὸ ἐθνικὸν, βενεβεντῖνος. ἔστι καὶ ἄλλη καμπανίας διὰ τοῦ δ, ἧς τὸ ἐθνικὸν, βενεβενδεύς.

B έννα, πόλις θρᾴκης, καὶ διὰ τοῦ ν, καὶ διὰ δύο. καὶ ἡ γραφὴ διάφορος, καὶ διὰ διφθόγγου, καὶ διὰ τοῦ ε, ὅπερ κρεῖττον. τὸ ἐθνικὸν, βένναι. καὶ ὁ βεννικὸς κόλπος εἴρηται. καὶ βεννική. λέγονται καὶ βεννάσιοι οἱ αὐτοί.

B εννα μία, βουλὴ τῶν ἐν ἐφέσῳ πέμπτη, ἧς οἱ βουλευταὶ βέννιοι, ὡς ἔφορος. ὅτι ἄνδροκλος ὁ κτίσας ἔφεσον, οὗτος πριηνεῦσι βοηθήσας, ἐτελεύτησε, καὶ πολλοὶ ἐφέσιοι σὺν αὐτῷ. οἱ οὖν καταλειφθέντες ἐφέσιοι, ἐστασίαζον κατὰ τῶν ἀνδρόκλου παίδων. καὶ βουλόμενοι βοήθειαν ἔχειν πρὸς αὐτοὺς, ἐκ τέω καὶ καρίνης ἐποίκους ἔλαβον, ἀφ' ὧν ἐν ἐφέσῳ δύο βουλαὶ τῶν πέντε τὰς ἐπωνυμίας ἔχουσιν. οἱ μὲν γὰρ ἐν βέννῃ, βέννιοι. οἱ δ' ἐν εὐωνύμῳ τῆς ἀττικῆς, εὐώνυμοι. οὓς δ' ἐξ ἀρχῆς ἐν ἐφέσῳ κατέλαβον, ἐφεσίους φασί. τοὺς δ' ὕστερον ἐπήλυδας, τηΐους, καὶ καριναίους ἀποκαλοῦσι.

B εργεπόλις, ἀβδηριτῶν. τὸ ἐθνικὸν, βεργεπολίτης.

B έργη, πόλις θρᾴκης, πρὸς τῇ χερρονήσῳ. τὸ ἐθνικὸν, βεργαῖος. στράβων δὲ κώμην αὐτὴν λέγει, ἐξ ἧς ὁ βεργαῖος ἀντιφάνης ὁ κωμικός. ἄπιστα δὲ οὗτος συνέγραψεν, ὥς φασιν. ἀφ' οὗ καὶ παροιμία, βεργαΐζειν, ἀντὶ τοῦ μηδὲν ἀληθὲς λέγειν. λέγεται καὶ βέργιον ὑποκοριστικῶς.

B ερνίκαι, πόλεις ἕξ. πρώτη, ὑπὸ πύρρου τοῦ νεωτέρου κτισθεῖσα. δευτέρα, ὑπὸ φιλαδέλφου πτολεμαίου. τρίτη, ἐν τῇ τρωγλοδυτικῇ. τετάρτη, ἡ πρότερον χῖος. πέμπτη, ἐν κιλικίᾳ. ἕκτη, ἡ πρότερον ἑσπερίς. ἐκλήθη δὲ βερνίκη, ἀπὸ τῆς πτολεμαίου γυναικὸς βερνίκης. ὁ πολίτης, βερνικεύς. εὕρηται καὶ βερνίκεια. λέγονται καὶ πατρωνυμικῶς βερνικιάδαι. ἔστι καὶ ἄλλη περὶ συρίαν, ἣν πέλλαν καλοῦσι.

B ερέκυντος, γενική, τῆς εὐθείας ἀρρήτου

ἔστι δὲ πόλις φρυγίας. καὶ ἡ χώρα βερεκυντία. ἦν γάρ τις βερεκύντης, ἀφ' οὗ ἡ βερεκυντία χώρα. καὶ τὸ ἐθνικὸν, βερεκύνται ὁμοφώνως.

B ερενικίδαι, δῆμος τῆς πτολεμαΐδος φυλῆς. δέκα γὰρ φυλὰς ἔχοντες ἀθηναῖοι, προσέθεσαν δύο, ἀντιγονίδα, καὶ δημητριάδα καλοῦντες. ὕστερον δὲ, ἀτταλίδα, καὶ πτολεμαΐδα, διὰ τῶν ἐπωνύμων εὐεργετηθέντες βασιλέων. ὅθεν καὶ τὴν βουλὴν πεντακοσίων οὖσαν, ἑξακοσίων ἐποίησαν. ἑκάστη γὰρ φυλὴ πεντήκοντα εἶχεν, οἳ κατὰ μῆνα ἐπρυτάνευον. ἀπὸ βερενίκης τῆς μάγα θυγατρὸς, γυναικὸς δὲ πτολεμαίου ὠνομάσθησαν βερενικίδαι οἱ δημόται. καὶ ἄλλα γὰρ ἐξ ἑνὸς ἔχει πατρωνυμικά. αἰθαλίδαι γὰρ, καὶ βουτάδαι. τὰ εἰς τόπον, εἰς βερενικιδῶν φασι. τὰ δ' ἐν τόπῳ, ἐν βερενικιδῶν.

B ερεξ, ἔθνος μεταξὺ ἰνδίας, καὶ αἰθιοπίας, ὡς τιμοκράτης ὁ ἀδραμυττηνός.

B ερης, πόλις θρᾴκης, ἀπὸ βέρητος υἱοῦ μακεδόνος. τὸ ἐθνικὸν, βερήσιος, ὡς φαγρήσιος, ἀδρυμήσιος.

B έροια, πόλις μακεδονίας, ἣν φέρωνα κτίσαι φασίν. αὐτοὺς δὲ τὸ φ. εἰς β. μεταποιεῖν, ὡς φαλακρὸν, βαλακρὸν, καὶ βίλιππον, καὶ βεβαλῖνον. ἄλλοι ἀπὸ βεροίας, τῆς βέρητος τοῦ μακεδόνος. τὸ ἐθνικὸν, βεροιαῖος. ἔστι καὶ πόλις συρίας, ἀφ' ἧς βασιανὸς ἄριστος ῥήτωρ. λέγεται καὶ βερόη. οἱ δ' ἐγχώριοι, βερόειαν. καὶ τὸ ἐθνικὸν, βεροεύς.

B έρουνος, ὡς λούγδουνος, ἰταλικὴ πόλις, μεταξὺ τῶν ὀρεικῶν. τὸ ἐθνικὸν, βερουνήσιος, ὡς λουγδουνήσιος.

B έρυτις, τρωϊκή. τὸ ἐθνικὸν, βερυτίτης, ὡς ἄβοτις, ἀβοτίτης.

B έσβικος, νησίδιον περὶ κύζικον, ὡς διογένης ὁ κυζικηνὸς ἐν πρώτῃ τῶν ἑπτὰ περὶ τῆς πατρίδος νήσων λέγων, προκόννησος, καὶ φοινίκη, καὶ ἀλόνη, καὶ φυσία, καὶ ὀφιόεσσα, καὶ βέσβικος, γόνιμοι, καὶ λιπαραί. ἀγαθοκλῆς δὲ ἐν πρώτῃ περὶ κυζίκου φησὶν ὅτι κτίσμα ἐστὶ φερσεφόνης, καὶ ὄνομα ἔχει γίγαντος. οἱ γὰρ γίγαντες ἀπορρήξαντες αἰγιαλοὺς, ἐκύλιον διὰ τῆς θαλάσσης ἐγχῶσαι τὰς ἐκβολὰς τοῦ ῥυνδακοῦ ζητοῦντες. ἡ δὲ κόρη ἀγωνιῶσα περὶ κυζίκου, τὰς πέτρας ἐρρίζωσε, καὶ νῆσον ἐποίησεν, ἥτις ἀφ' ἑνὸς τῶν ὕστερον οἰκισάντων πελασγῶν προσηγόρευται βέσβικος, ἐφ' ἧς τὸ λειπόμενον τῶν γιγάντων ἠφάνισε σὺν ἡρακλεῖ. τὸ ἐθνικὸν, βεσβικηνός.

B εσκία, πόλις αὐσόνων. τὸ ἐθνικὸν, βεσκιάτης, ὡς αἰτιάτης. καὶ βεσκιανὸς, ὡς ἀδριανός.

B εύη, πόλις μακεδονίας. καὶ πρὸς αὐτῇ βεῦος ποταμός. τὸ ἐθνικὸν, βευαῖος.

B έχειρ, ἔθνος σκυθικὸν, ὡς σάπειρ. ἢ μετὰ τοῦ .σ. σάπειρ, ἐλεάζειρ, ὀνόματα βαρβάρων. λίγειρ, ποταμὸς περὶ πλάταιαν. χρυσέθειρ, παρ' ἀρχιλόχῳ ἐν ἰοβάκχοις, ὃ παρὰ ἀποκέκοπται τοῦ χρυσέθειρος. ἢ καθὸ χεὶρ, τὸ σύνθετον.

Τὸ βῆτα μετὰ τοῦ ἦτα.

B ῆγις, πόλις τράλλεων. οὐχὶ δὲ τῶν ἰλλυριῶν μοῖρα. τὸ ἐθνικὸν, βηγίτης τῷ κοινῷ χαρακτῆρι.

B ήτλεμα, πόλις παλαιστίνης, πρὸς τοῖς ἱεροσολύμοις. οὐδετέρως. ἐν ᾗ γέγονεν ἡ κατὰ σάρκα γέννησις τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν. ἰώσηπος δέ φησιν ἐκ βητλεεμῶν. ἔστι δὲ πόλις τῆς ἰούδα φυλῆς. ὁ πολίτης, βητλεμίτης, ὡς ἱεροσολυμίτης.

B ῆλος, ἢ καὶ μῆλος, πρὸς ταῖς ἡρακλέους στήλαις. ἀμφοτέρων ἐτύμως λεγομένων τῷ τοὺς ἀρχαίους βῆλον λέγειν τὸν οὐδὸν τῆς θύρας. καὶ ταύτην κεῖσθαι παρὰ τὸν οὐδὸν τὸν ὠκεανοῦ. μῆλος δὲ καὶ μηλαρία, δύο πόλεις ἐπὶ τοῖς πέρασι τὴν αὐτὴν ἔμφασιν ἔχουσιν ἀπὸ τῆς κλήσεως τῶν μήλων, ἃ χρύσεα λέγεται ἡρακλῆς ἐκ τῆς λιβύης ἀγηοχέναι. τὸ ἐθνικὸν, βηλαῖος, καὶ μηλαῖος, ὡς νεῖλος, νειλαῖος.

B ήνη, πόλις κρήτης, ὑπὸ γορτύνην τεταγμένη. τὸ ἐθνικὸν, βηναῖος. ῥιανὸς γὰρ ὁ ποιητὴς βηναῖος ἦν, ἢ κερεάτης, ἢ κρής.

B ήριθρος, πόλις τρωϊκή. τὸ ἐθνικὸν, βηρίθειος. τὸ θηλυκὸν, βηριθεία.

B ηρυτὸς, πόλις φοινίκης, ἐκ μικρᾶς μεγάλη, κτίσμα κρόνου. ἐκλήθη δὲ διὰ τὸ εὔυδρον. βὴρ γὰρ τὸ φρέαρ παρ' αὐτοῖς. ἱστιαῖος δ' ἐν πρώτῃ τὴν ἰοῦν βηρεὶ φοίνικας ὀνομάζειν. ἀφ' οὗ καὶ τὴν πόλιν ὡς ἑλλάδιός φησιν. ὁ πολίτης, βηρύτιος, ὡς ἀζώτιος, αἰγύπτιος. σεσημείωται τὸ μιλήσιος ἐν τοῖς τοπικοῖς, ὅτε ἐτράπη, ὡς τὸ θεοδόσιος. τὸ γὰρ θεόδοτος, καὶ ἀθάνατος, καὶ ἀμβρόσιος, σύνθετα. τὸ δὲ χαρείσιος, οὐ τοπικόν. περὶ τοῦ περκώσιος ἐροῦμεν. τὸ δὲ υ, μακρόν. διονύσιος ὁ περιηγητὴς, καὶ τύρον ὠγυγίην βηρυτοῦ τ' αἶαν ἐραννήν. ὀξύνεται δ' ὡς τρισύλλαβος, καὶ μακρὸν ἔχει τὸ υ, ὡς τὸ κωκυτὸς, γωρυτὸς, κορδυτὸς, πόλις. τὸ σεβέννυτος, τετρασύλλαβον. ἔστι καὶ πόλις ἀραβίας, ἡ πρότερον καλουμένη διόσπολις. ἐθνικὸν τὸ αὐτό.

B ῆσσα, πόλις λοκρῶν. ἡρωδιανὸς δι' ἑνὸς . σ. γράφει. ἀπολλόδωρος δὲ, καὶ ἐπαφρόδιτος, καὶ ἡρακλέων, διὰ δύο.

Βησσάν τε

σκαρίφῳ τε, καὶ αὐγείαν ὑπάτην· ὠνομά-
σθη δὲ ἀπὸ τῆς τοῦ τόπου φύσεως ναπώ-
δους οὔσης· τὸ ἐθνικὸν, βησαῖος.

B ήσυγα, οὐδετέρως ἐμπόριον τῆς ἰνδικῆς·
καὶ βήσυγας ποταμὸς, καὶ βησυγῖται οἱ
ἄνθρωποι, οὓς φασιν ἀνθρωποφάγους.

Τὸ βῆτα μετὰ τοῦ ἰῶτα.

B ίβαστος, θράκης πόλις· τὸ ἐθνικὸν ἔδει βι-
βάστιος, ὡς φαύστιος· εἰ δὲ βούβαστος, τὸ ἐθνι
κὸν, βουβαστίτης.

B ιβλίνη, χώρα θράκης· ἀπὸ ταύτης ὁ βίβλι
νος οἶνος· οἱ δὲ, ἀπὸ βιβλίας ἀμπέλου· δῆ-
μος δ᾽ ὁ δήλιος τὸν νάξιόν φησιν, ἐπειδὴ νά
ξου ποταμὸς βίβλος.

B ίδος, φρούριον ἐν σικελίᾳ· οὐδετέρως· εὕρη
ται δὲ καὶ διὰ διφθόγγου, καὶ διὰ τοῦ ·ι· ἔστι
καὶ ἕτερον ἐν τῇ τῶν ταυρομενιτῶν χώρᾳ
βίδιος φρούριον· τὸ ἐθνικὸν, βιδῖνος.

B ίεννος, πόλις κρήτης· οἱ μὲν, ἀπὸ Βιέννου τοῦ
τῶν κουρήτων ἑνός· οἱ δὲ, ἀπὸ τῆς περὶ τὸν
ἄρη γενομένης βίας, ὃν ἐνταῦθά φασιν
ἀπὸ Ὤτου καὶ Ἐφιάλτου τῶν παίδων πο
σειδῶνος, καὶ μέχρι καὶ νῦν τὰ καλούμε-
να ἑκατομφόνια θύεται τῷ ἄρει· ὁ πολί-
της, βιέννιος· οἱ δὲ, τιμὰς ἀποπέμπειν τῷ τε
μιλίῳ διῒ, καὶ βιεννίῳ· ἔστι καὶ ἑτέρα πό-
λις ἐν γαλιλαίᾳ. Αὐχμοῦ γάρ ποτε τὴν σύμ
πασαν κρήτην κατασχόντος, εἰς ἑτέρους τό-
πους ἀπῳκίζοντο· οἰκῆσαι δέ τινας ὑδροῦν
τα τῆς ἰταλίας οὔπω πεπολισμένον·
χρησμοῦ δ᾽ αὐτοῖς δοθέντος, ὅπου ἑλωδέ-
στατον τόπον θεάσονται, κατοικῆσαι· ἐλθόν
τες οὖν ἐπὶ τὸν ῥόδανον ποταμὸν τῆς γαλι
λαίας, ἑλώδη ὄντα, οἰκῆσαι, καὶ τὴν πό-
λιν οὕτως ὀνομάσαι, ἐπειδὴ μία τῶν σὺν
αὐτοῖς παρθένων Βίαννα καλουμένη, χο
ρεύουσα, ὑπό τινος χάσματος ἐλήφθη· ἧς
μνημονεύει πολλάκις Εὐσέβιος ἐν τῇ ἐκκλη
σιαστικῇ ἱστορίᾳ· τὸ ἐθνικὸν, ὁμοίως βιέννιος,
εἰ μὴ κατὰ τὸν ἐγχώριον τύπον βιεννήσιος,
ὡς λουγδουνήσιος· τῆς δὲ βιέννης, βιενναῖος.

B ιζύη, πόλις θράκης, τὸ τῶν ἀστῶν βασίλει-
ον· τὸ ἐθνικὸν, βιζυηνός.

B ιζώνη, πόλις ποντική· τὸ ἐθνικὸν ἠδύνατο
βιζωναῖος, ἢ βιζωνίτης· ἔστι δὲ βιζώνιος, ὡς
παλλώνιος.

B ιθύαι, ἔθνος θράκης, ἀπὸ Βίθυος τοῦ ἄρεος
καὶ Σήτης τῆς Ῥήσου ἀδελφῆς.

B ιθυνία, πρὸς τῷ πόντῳ χώρα, ἀπὸ Βιθυ-
νοῦ τοῦ διὸς, καὶ θράκης τῆς τιτανίδος, ἢ
ἐκ μὲν διὸς, ἔχει Βίθυν· ἐκ δὲ κρόνου, Δόλογ
κον· τὸ ἐθνικὸν, βιθυνὸς, καὶ βιθυνὴ, καὶ βι
θυνὶς, καὶ βιθυνιάς· τὰ δὲ εἰς ·νος· καθαρὸν,
ὑπὲρ δύο συλλαβὰς, τῷ ·υ· παραληγόμε-
να, προπαροξύνεται, εἰ μὴ ἐθνικὸν εἴη· τὸ
μόσυνος βαρυνόμενον, σημειῶδες, καὶ μακρὸν
ἔχει τὸ ·υ· τὰ γὰρ ἔχοντα τὸ ·σ, βραχὺ ἔχει τὸ
·υ· καὶ τὸ γέρινος, ὁ μικρὸς βάτραχος.

B ιθύνιον, πόλις βιθυνίας· παυσανίας ὀ-
γδόῳ· ὁ οἰκῶν, βιθυνιεὺς, καὶ βιθυνιάτης·
ἀφ᾽ οὗ Γινυτὸς ἐγένετο ῥώμης γραμματι-
κὸς, ἐπαφροδίτου τοῦ νέρωνος ὢν ἐξελεύ-
θερος.

B ιθυνόπολις, πόλις ἀπὸ βίθυος· τὸ ἐθνικὸν
ὤφειλε βιθυοπολίτης· εὗρον δὲ βιθυνιαπο
λίτην παρὰ ἀρριανῷ ἐν πέμπτῳ βιθυνια
κῶν· δεῖ δὲ τοῦ βιθυνόπολις εἶναι βιθυ-
νοπολίτης.

B ῖσα, πόλις θράκης· τὸ ἐθνικὸν, βισαῖος.

B ίλβινα, πόλις περσική· τὸ ἐθνικὸν, βιλβι
νάτης, ὡς αἰγινάτης.

B ισάλτια, πόλις καὶ χώρα μακεδονίας,
ἀπὸ Βισάλτου τοῦ ἡλίου καὶ γῆς· περὶ
ταύτην οἱ λαγοὶ σχεδὸν πάντες ἁλίσκον-
ται δύο ἥπατα ἔχοντες, ὡς θεόπομπος ἱστο
ρεῖ, καὶ φαβωρῖνος· τὸ ἐθνικὸν, βισάλτης·
ἔστι καὶ βισάλτης ποταμός· τὸ ἐθνικὸν, βι
σάλτιος, ἀφ᾽ οὗ βισαλτία ἡ χώρα· λυκό-
φρων, τὸ μὲν γὰρ ἠὼν στρυμόνος βισαλτία.

B ισάνθη, πόλις μακεδονίας κατὰ θράκην,
ἑλληνὶς, ἄποικος σαμίων· τὸ ἐθνικὸν, βισαν
θηνός· ἀφ᾽ ἧς φαίδιμος ἐλεγείων ποιητὴς
βισανθηνὸς, ἢ ἀμαστριανὸς, ἢ κρωμνίτης.

B ίστιρος, πόλις θράκης, ὡς πίστιρος, τὸ ἐμπόρι
ον· τὸ ἐθνικὸν, πιστιρίτης, ὡς στάγειρος, στα-
γειρίτης.

B ιστωνία, πόλις θράκης, ἀπὸ Βίστωνος καὶ Καλ
λιρρόης τῆς Νέστου· ἀδελφὸς δὲ ἦν Ὀδόμαν-
τος, καὶ Ἠδωνοῦ· ἔνιοι δὲ, Παίονος τοῦ ἄρεος
παιδός· τὸ ἐθνικὸν, βιστὼν, τῶν εἰς ·ων· δι-
συλλάβων βαρυνομένων, οἷον, πλάτων κεί
των· εἰ μὴ διαστολὴ γένοιτο σημαινομένου· χι
τὼν γὰρ πρὸς διαστολὴν ὀξύνεται τοῦ κυρίου,
καὶ ποταμοῦ· καὶ τὸ κροτὼν τὸ ζωΰφιον, πρὸς
ἀντιδιαστολὴν τοῦ τῆς πόλεως ὀνόματος· ἢ
περιεκτικὸν, διὰ τὸ κοιτών· ἱστών· ἢ ἐθνικὸν,
διὰ τοῦ ·ο· κλινόμενον, ὡς τὸ βίστονος· τὸ θη-
λυκὸν, βιστονίς· ἐκτέταται δὲ, καὶ λέγεται βι
στωνὶς διὰ τοῦ ·ω· καὶ βιστώνιος ποιητικῶς.

B ίτελλα, πόλις ἰταλίας· τὸ ἐθνικὸν, βιτελ
λῖνος.

Τὸ βῆτα μετὰ τοῦ λάμβδα.

B λαῦδος, πόλις φρυγίας, ἀπὸ Βλαύδου
τοῦ τὸν τόπον εὑρόντος, ὡς μενεκράτης· τὸ
ἐθνικὸν, βλαυδηνός.

B λέμυες, ἔθνος βαρβαρικὸν λιβύης, ἀπὸ
Βλέμυος ἑνὸς τῶν Δηριάδου στρατιωτῶν ἀπο-

στρατηγῶν, τῶν σὺν αὐτῷ Διονύσῳ πολεμησάντων· ἦσαν δὲ ὀρόντης, καὶ ὀροβαύδας, καὶ Βλέμυς.

Τὸ βῆτα μετὰ τοῦ ο μικροῦ.

B οαύλεια, πόλις σκυθίας. πείσανδρος εἰκοστῇ ἕκτῃ.

B οβώνδα, πόλις ἰταλίας. τὸ ἐθνικὸν, βοβωνιάτης, ὡς ῥιθυμνιάτης· ἢ βοβώνιος, ὡς ῥιθύμνιος.

B όγχαι, ἔθνος τοῖς καρδούχοις παρακείμενον, μέσον εὐφράτου καὶ κύρου ποταμοῦ, ὡς κουάδρατος.

B οίβος, πόλις θετταλίας. ὅμηρος, βοίβην τε γλαφυρὰν, καὶ εὐκτιμένην ἰαωλκόν. ἔστιν οὖν καὶ πόλις, καὶ λίμνη βοιβιάς, ἀπὸ βοίβου τοῦ γλαφυροῦ, τοῦ τὰς γλαφυρὰς κτίσαντος. ἔστι καὶ ἐν κρήτῃ βοίβη τῆς γορτυνίδος, καὶ ἐν μακεδονίᾳ λίμνη βοίβη. τὸ ἐθνικὸν τῆς βοίβης, βοιβεύς. καὶ βοιβηῒς θηλυκόν. εἰ δὲ καὶ βοιβαῖος, οὐ κωλύει. ἔστι καὶ βοιβήϊον πόλις. λέγεται καὶ βοιβία ἡ λίμνη.

B οίλλαι, πόλις λατίνων. τὸ ἐθνικὸν, βοιλλανός, ὡς διονύσιος ἐν ὀγδόῳ τῆς ῥωμαϊκῆς ἀρχαιολογίας.

B οῖον, ἣν ὅμηρος ἔοικε βοίβην λέγειν. ἔστι δὲ δωρικὴ πόλις οὐδετέρως λεγομένη, καὶ θηλυκῶς. ἔστι βοιαὶ καὶ κρήτης πόλις. ὁ πολίτης, βοιάτης, ὡς κάρυαι, καρυάτης, πιτάναι, πιτανάτης, θαλάμαι, θαλαμάτης. λέγεται καὶ βοιαῖος, ὡς ἔφορος. ἡρωδιανὸς δὲ βοιηΐτης φησὶν, ἴσως παρὰ τὸ βοῖον, ὡς λίκνον, λικνίτης. εἰσὶ καὶ βοιοὶ ἔθνος κελτογαλατῶν. ἔστι καὶ βοιανὸν πόλις σαυνιτῶν.

B οιωτία, μόνη τῆς ἑλλάδος αὕτη τρισὶ θαλάτταις διήκοντας ἔχει τοὺς οἰκήτορας. τοὺς μὲν, πρὸς πελοπόννησον ἐστραμμένους, καὶ τὸν σικελικὸν καὶ ἀδριατικὸν κόλπον. τοὺς δὲ, πρὸς αἴγυπτόν τε, καὶ κύπρον, καὶ τὰς ἄλλας νήσους. τοὺς δὲ, πρὸς τὸν εὔριπον, καὶ μακεδονίας καὶ θετταλίας θάλασσαν. γενέσθαι δέ φασι βοιωτὸν ἰτώνου τοῦ ἀμφικτύωνος, τοῦ κατ' αὐτὸν νεωτέρου, τοῦ δευκαλίωνος καὶ πύρρας παίδων. νικοκράτης δέ φησιν ὅτι ποσειδῶνος καὶ ἄρνης ἦν παῖς. εὐφορίων, ὁ φράκε μαντεύοιτο μεθ' ὕασι βοιωτοῖο, τόν ῥα ποσειδάωνι δαμασσαμένη τέκεν ἄρνη. βοιωτὸν δ' ὠνόμηνε. τὸ γοῦν καλέσαντο νομῆες, ὅττι ῥα παρζώησι βοῶν ἀπεθήκατο κόπροις. καὶ εὐριπίδης, τόν δ' ἀμφὶ βοῦν ῥιφέντα βοιωτὸν καλεῖν. κάστωρ δὲ ἀπὸ τῆς καθηγησαμένης κάδμῳ βοὸς λεχθῆναι τὴν χώραν οὕτω. τινὲς δ' ὡς εὐκόντας ταῖς διανοίαις τοὺς βοιωτοὺς ἄγαν εὐκινήτους. ἐκαλεῖτο δὲ ἀονία, καὶ μεσσαπία, καὶ ὠγυγία, καὶ καδμηῒς ὡς θουκυδίδης. ἔφορος δέ φησιν ὅτι ἀθηναῖοι περὶ τὴν ναυτικὴν δύναμιν. θετταλοὶ, περὶ τὴν ἱππικὴν ἐμπειρίαν. βοιωτοὶ, περὶ τὴν τῆς γυμνασίας ἐπιμέλειαν. κυρηναῖοι δὲ, περὶ τὴν διφρευτικὴν ἐπιστήμην ἠσχόληνται. ἠλεῖοι δὲ, περὶ τὴν τῶν νόμων εὐταξίαν. ἔστι δὲ καὶ βοιωτία ἐν θρᾴκῃ. τὸ ἐθνικὸν ὅμοιον, βοιωτός. λέγεται καὶ βοιώτιος, καὶ βοιωτία. ἀφ' οὗ ἡ παροιμία, βοιωτία ὗς. καὶ βοιωτίς. καὶ βοιωτίδιον, ἐκ βοιώτιος. ἀριστοφάνης ἀχαρνεῦσιν, ὦ χαῖρε κολλικοφάγε βοιωτίδιον. καὶ ῥῆμα βοιωτιάζειν ἔμαθες.

B όλβαι, πόλις καρίας, καὶ ποταμὸς βαλβαιώτης, ἥτις ἡράκλεια ἐκλήθη. ἔστι καὶ βόλβη πόλις, καὶ λίμνη. τὸ ἐθνικὸν, βολβαῖος.

B ολβιτίνη, πόλις αἰγύπτου. ἑκαταῖος. ὁ πολίτης, βολβιτινήτης. τὸ ἐθνικὸν, βολβιτῖνος. ἔνθεν καὶ βολβίτινον ἄρμα.

B ολίνη, πόλις ἀχαΐας, ὡς ῥιανὸς ἐν ἀχαϊκῶν δευτέρῳ. τὸ ἐθνικὸν, βολιναῖος.

B ολισσὸς, πόλις αἰολικὴ ἐπ' ἄκρου, χίου πλησίον. θουκυδίδης βολίσκον αὐτὴν καλεῖ ἐν ὀγδόῃ. καὶ φασὶν ὅτι ὅμηρος ἐν τούτῳ τῷ πολίσματι τὰς διατριβὰς ἐποιεῖτο, ὡς ἔφορος. ἀνδροτίων δὲ δι' ἑνὸς σ γράφει. τὸ ἐθνικὸν, τῇ τέχνῃ βολίσσιος, ὡς λυρνήσσιος. βολισσεὺς, ὡς ἁλικαρνασσεύς. καὶ βολισσίτης, ὡς ὀδησσίτης. χρηστέον δὲ τῷ προτέρῳ διὰ τὸ συνήθες.

B ολογεσιὰς, πόλις πρὸς τῷ εὐφράτῃ, ἐκ βολογέσου βασιλέως ᾠκισμένη. τὸ ἐθνικὸν, ὤφειλε βολογεσιεὺς, ὡς ἀφροδισιεύς. ἀλλ' ἀνοίκειος ὁ τύπος τῇ χώρᾳ. λεκτέον βολογεσιηνός.

B ολογεσίφορα, πόλις περσική. τὸ ἐθνικὸν τύπῳ περσῶν, βολογεσιφορηνός. λεκτέον δὲ βολογεσιφορεύς.

B όλουρος, πόλις τῆς ἐν ἰλλυρίᾳ σάλλεων. μοῖρα γὰρ τῶν ἰλλυριῶν εἰσί, καὶ βόλουρος. ἔστι καὶ πόλις θεσπρωτίας.

B οὸς κεφαλαὶ, τόπος καθ' ὃν ἐπολέμησε προυσίας πρὸς ἄτταλον, ὡς ἐρατοσθένης ἑβδόμῃ γαλατικῶν. ἔστι καὶ ἰνδικῆς βουκέφαλα, ἣν ἔκτισεν ἀλέξανδρος ἐπ' ἀμφοτέραις ταῖς ὄχθαις τοῦ ὑδάσπου ποταμοῦ. πόλ ὤκισε νίκαιαν. βουκεφάλαν δὲ, ἔνθα διαβαίνοντος, καὶ μαχομένου, ἀπέθανεν αὐτοῦ ὁ ἵππος βουκεφάλας προσαγορευόμενος. οἱ κατοικοῦντες, βουκεφαλεῖς, ἐπειδὴ ὁ δημότης κεφαλεὺς τοῦ κεφαλῆ.

B ορμίσκος, χωρίον μακεδονίας, ἐν ᾧ κυνο-
σπάρακτος γέγονεν εὐριπίδης. οὓς κυνὰς
τῇ πατρῴᾳ φωνῇ ἐσδρικὰς καλοῦσιν οἱ μα-
κεδόνες. ὁ δὲ ποιητὴς, ζαπεζῆσας· ἐκ ἢ τῶν
δηγμάτων ἀρρωστήσαντα αὐτὸν ἀποθανεῖν.
τὸ ἐθνικὸν, βορμίσκιος, ὡς ζιπολίσκιος, δω-
ρίσκιος, ἐν τοῖς οἰκείοις τόποις εὑρήσεις.

B ὀρσίππα, πόλις χαλδαίων οὐδετέρως, ἱε-
ρὰ ἀπόλλωνος καὶ ἀρτέμιδος λινουργεῖ-
ον μέγα. λέγεται καὶ θηλυκῶς. οἱ πολῖ-
ται, βορσιππηνοί. ἀρριανὸς δὲ βορσιππεῖς αὐ-
τούς φησι.

B ὄρυζα, πόλις φρυγική. τὸ ἐθνικὸν, βορυζαῖος.

B ορυσθένης, πόλις, καὶ ποταμὸς τοῦ πόν-
του, παρὰ τὴν μαιῶτιν λίμνην, καὶ τα-
ναΐν τὸν ποταμόν. οὕτω καὶ ὁ ἑλλήσποντος
πρὸ τῆς ἕλλης ἐκαλεῖτο. ἔστι καὶ πόλις ἑλ-
ληνὶς πρὸς ἑσπέραν, μιλησίων ἀποικία,
ἣν οἱ μὲν ἄλλοι, βορυσθένην, αὐτοὶ δὲ, ὀλβί-
αν. ἣν ποιοῦσιν ὅ, τε βορυσθένης, καὶ ὕπανις.
ὁ πολίτης, βορυσθενίτης. καὶ τὸ θηλυκὸν,
βορυσθενῖτις, οὐκ ἀπὸ τῆς πόλεως, ἀλλ' ἀπὸ
τοῦ ποταμοῦ. βούλεται δὲ τὴν ει δίφθογ-
γον ἔχειν ἐν τῇ παραληγούσῃ. ἀπὸ γὰρ τῆς
εἰς ος εὐθείας ἡ διὰ τοῦ ι της παραγωγὴ
πλεονάζει μιᾷ συλλαβῇ, ὡς τόπος, τοπί-
της. κανωπίτης, ὁ ἄδωνις παρὰ παρθε-
νίῳ. τὸ δὲ ἰήτης, ἀπὸ τῆς ἴου διὰ τοῦ ι. ἐξηνέ-
χθη διὰ τοῦ η. καὶ ἀπὸ γενικῆς ἀσκάλωνος,
ἀσκαλωνίτης. ἕλεος, ἑλεΐτης, καὶ ἑλεάτης,
ὁ τὸ ἕλος οἰκῶν. ὠρεὸς, ὠρεΐτης, καὶ ὠρεί-
της. ἔδει οὖν καὶ βορυσθενείτης διὰ διφθόγ-
γου. οὐ γὰρ ὅμοιος τῷ τεμενίτης, οὐδὲ τῷ βρ
κίτης, οὐ γὰρ ἀπὸ τῆς γενικῆς, ἀλλ' ἀπὸ τῆς
εἰς ος εὐθείας. ταῦτα καὶ εἰκότως ἔχει τὸ
ι. τὸ δὲ βορυσθένης, οὐκ εἰς ος λήγει. τί οὖν,
ἐροῦμεν ὅτι ἠκολούθησε τῷ πλείονι χαρακτῆ-
ρι διὰ τοῦ ι. τὰ γὰρ διὰ διφθόγγου, ὀλίγα.
ζελείτης. σαμαρείτης. δικαιαρχείτης. μα-
ρωνείτης.

B οσίραρα, πόλις αἰγύπτου. τὸ ἐθνικὸν, βοσι-
ραρήτης, διὰ τὸν ἐπιχώριον τύπον.

B όσπορος, πόλις πόντου, κατὰ τὸν κιμμέρι-
ον κόλπον, ὡς φίλων. καὶ πορθμὸς ὁμώ-
νυμος ἀπὸ ἰοῦς καλούμενος. αἰσχύλος ἐν
προμηθεῖ δεσμώτῃ, Ἔσται δὲ θνητοῖς εἰς ἀεὶ
λόγος μέγας τῆς σῆς πορείας. βόσπορος
δ' ἐπώνυμος κεκλήσεται. ἔστι καὶ ἄλλη τῆς
ἰνδικῆς. τὸ ἐθνικὸν, βοσπόρειος, καὶ βοσπο-
ρεία, καὶ βοσπορειανὸς, καὶ βοσπορηνός. δι-
χῶς γὰρ, καὶ διὰ τοῦ α, καὶ διὰ τοῦ η, ὡς
τὸ τιβαρανὸς, καὶ τιβαρηνός. λέγεται καὶ
βοσπορείτης, καὶ βοσπορικὸς τὸ κτητικόν.
λέγεται καὶ βοσπόριον τοῦ βυζαντίου λι-
μήν. οἱ δ' ἐγχώριοι, φωσφόριον αὐτὸ κα-
λοῦσι παραγραμματίζοντες. ἢ ὅτι φιλίπ-
που τοῦ μακεδόνος διορύξαντος κατὰ τὴν
πολιορκίαν εἴσοδον κρυπτὴν, ὅθεν ἀφανῶς
οἱ ὀρύττοντες ἔμελλον τοῦ ὀρύγματος ἀνα-
δῦναι, καὶ ἑκάτη φωσφόρος οὖσα, δᾷ-
δας ἐποίησε νύκτωρ τοῖς πολίταις φανῆ-
ναι. καὶ τὴν πολιορκίαν φυγόντες, φω-
σφόριον τὸν τόπον ὠνόμασαν. εἰρήσεται
περὶ τοῦ ὀνόματος ἐν τῷ περὶ βυζαντίου. σο-
φοκλῆς δ' ἐν φινεῖ πρώτῳ διὰ διφθόγγου
τὴν πρὸ τέλους φησὶ τὸ κύριον, οὐδ' ἂν βο-
σπόρειον ἐν σκύθαις ὕδωρ.

B ὄστρα, πόλις ἀραβίας, οὐδετέρως, καὶ θη-
λυκῶς. τὸ ἐθνικὸν, βοστρηνὸς, ὡς γαγγρηνός.
καὶ βοστρηνὴ, καὶ βοστραῖος.

B ὄζυς, πόλις φοινίκης. ὁ πολίτης, βοζυη-
νὸς, ὡς παυσανίας παραλόγως. ἀπὸ γὰρ
γενικῆς καθαριευούσης τὸ η ἔχει πρὸ τέ-
λους, ὀφεῖλον τὸ α, ὡς ὀλβιανὸς, καρδι-
ανός.

B ὀτίειον, πόλις φρυγίας, ἔχουσα λίμνην
ἄτταιαν λεγομένην, ζέφουσαν ἅλας. τὸ
ἐθνικὸν, βοτιεύς, ὡς δορυλαεύς.

B οὔβαστος, πόλις αἰγύπτου, ἣν ἡρόδοτος
βουβάστιν φησὶ διὰ τοῦ ι. τὸ ἐθνικὸν, βου-
βαστίτης. καὶ πόλις βουβαστῖτις. βούβα-
στός τε πόλις καὶ ἱερὸν ἀρτέμιδος. καὶ
νόμος βουβαστίτης. λέγεται καὶ βουβάστιος
παρὰ θεοπόμπῳ. οἱ δ' αἰγύπτιοι βούβαστον
τὸν αἴλουρόν φασι.

B ουβὼν, πόλις λυκίας. βουβὼν γὰρ
καὶ βάλβουρα, πόλεις λυκίας, ἀπὸ βαλ-
βούρου, καὶ βουβῶνος. οὗτοι δὲ λῃσταὶ πό-
λεις ἔκτισαν ὁμωνύμους. ὁ πολίτης ὤφειλε
βουβώνιος, εἴρηται δὲ βουβωνεύς. χαίρουσι
γὰρ οἱ λύκιοι τῷ τύπῳ.

B οὔδεια, πόλις ἐν μαγνησίᾳ, ἀπὸ τοῦ οἰ-
κίσαντος βουδείου. οὕτω τιμᾶται βούδεια
ἡ ἀθηνᾶ ἐν θετταλίᾳ. λυκόφρων, Ἡ πολ-
λὰ δὴ βούδειαν αἴθυιαν κόρην Ἀρωγὸν αὐ-
δήξασα τάρροθον γάμων. Ὅμηρος βού-
δειον ἔφη, Ὃς ῥ' ἐν βουδείῳ εὖ ναιομένῳ. ἔστι
καὶ βούδεια πόλις φρυγίας. ἔστι καὶ βού-
δειοι ἔθνος μηδικόν.

B ουδινοὶ, ἔθνος σκυθικὸν, παρὰ τὸ δινεύειν
ἐπάνω ἁμαξῶν ὑπὸ βοῶν ἐλαυνομέ-
νων. ἁμαξόβιοι γὰρ οἱ σκύθαι. παρμέ-
νων ὁ βυζάντιος ἐν ἰάμβων πρώτῳ.

B οὔδωρον, ἀκρωτήριον πρὸς τῇ σαλαμῖνι.
θουκυδίδης ζίτῃ. ἔφορος δὲ φρούριον βού-
δορον εἶπε. τὸ ἐθνικὸν, βουδώριος.

B ουθία, πόλις ἰωνίας. θεόπομπος δὲ χωρί-
ον φησί. τὸ ἐθνικὸν, βουθιαῖος.

B ουθὸν, πόλις ἰλλυρίδος, ὡς φίλων, διὰ τὸ
κάδμον ἐπὶ ζεύγους βοῶν ὀχούμενον, ταχέως

ἀνύσαι τὴν ἐς ἰλλυριοὺς ὁδόν. οἱ δὲ, τὸν κάδμον ἀπὸ τῆς αἰγυπτίας βουβοῦς ὀνομάσαι αὐτὴν, καὶ παραφθαρεῖσαν, καλεῖσθαι βουθόην. ἔχει δ' ἐπὶ τοῦ μυχοῦ ῥίζονα πόλιν, καὶ ποταμὸν ὁμώνυμον. τὸ ἐθνικὸν, βουθοαῖος.

B ουθρωτὸς, νῆσος περὶ κόρκυραν. ἔστι καὶ πόλις. ἐκλήθη δ' οἱ μὲν φασὶν ἀπὸ τοῦ οἰκιστοῦ. οἱ δὲ, μυθεύονται ἑλένῳ ἐκ τροίας πλέοντι ἐς ἑσπερίαν, θύσαντι ἀποβατήρια ἐν ἠπείρῳ, τὸ θῦμα ἡ βοῦς ἀποσφαγεῖσα ἐκ τοῦ βουπλῆγος, ὤχετο φεύγουσα διὰ τοῦ μεταξὺ πόντου εἰς τὸν κόλπον. καὶ ἐς τὴν χέρσον ἐμβᾶσα, καὶ γὰρ τρῶμα ἐν τῇ δειρῇ εἶχεν, αὐτοῦ ἤριπε, καὶ ἔθανε. καὶ κληδόνι ἕλενος χρῆται, ἵνα ἔθηκε βουθρωτὸν ὄνομα, ὡς φησὶ τεῦκρος ὁ κυζικηνός. τὸ ἐθνικὸν, βουθρώτιος. λέπιδος δέ φησι διὰ τοῦ .τ. βουτρώτιος.

B ουκεφάλεια, πόλις ἐπὶ τῷ βουκεφάλῳ ἵππῳ, ἣν ἔκτισεν ἀλέξανδρος ἐν ἰνδίᾳ, παρὰ τὸν ὑδάσπην ποταμόν. ἔστι καὶ βουκεφάλας λιμὴν τῆς ἀττικῆς. τὸ ἐθνικὸν, βουκεφαλῖται. οὕτω γὰρ καὶ δῆμος θεσσαλονίκης.

B ούκιννα, πόλις σικελίας. διονύσιος ἐν τρίτῃ βασσαρικῶν. τὸ ἐθνικὸν, βουκινναῖος, καὶ βουκιννάτης.

B ουλῖνοι, ἔθνος περὶ ἰλλυρίαν. ἀρτεμίδωρος δὲ οὐκ ἔθνος, ἀλλὰ βουλίνην πόλιν φησίν. ἧς τὸ ἐθνικὸν, βουλῖνος.

B οῦλις, πόλις φωκίδος, ἀπὸ βούλωνος οἰκιστοῦ. οἱ πολῖται, βούλιοι.

B ούναρτα, πόλις λιβύης. ὁ πολίτης, βουναρτίτης, ὡς ναυκρατίτης.

B ούνειμα, πόλις ἠπείρου οὐδετέρως, κτίσμα ὀδυσσέως, ἣν ἔκτισε πλησίον τραμπύλας, λαβὼν χρησμὸν ἐλθεῖν πρὸς ἄνδρας οἳ οὐκ ἴσασι θάλασσαν. βοῦν οὖν θύσας, ἔκτισε.

B οῦνος, πόλις ἰλλυρίας. τὸ ἐθνικὸν, βούνιος, ὡς ἀρτεμίδωρος ἐν πρώτῃ γεωγραφουμένων.

B ουπράσιον, πόλις, καὶ ποταμὸς, καὶ χώρα τῆς ἤλιδος. οἳ δ' ἄρα βουπράσιόν τε καὶ ἤλιδα δῖαν ἔναιον. ἦν γὰρ κατοικία τῆς ἤλιδος ἀξιόλογος, ἥτις νῦν οὐκ ἔστι. τὸ ἐθνικὸν, βουπρασιεὺς, καὶ βουπράσιος, ἀπὸ βουπρασίου τοῦ ἄρξαντος αὐτῶν. καὶ βουπρασία τὸ θηλυκόν. καὶ βουπρασίων, ὡς καδμείων.

B οῦρα, πόλις ἀχαΐας. τὸ ἐθνικὸν, βουραῖος. λυκόφρων, Δύμη τε βουραίοισιν ἡγεμὼν στόλου. ἐκ ταύτης ἦν πυθέας ζωγράφος, οὗ ἐστιν ἔργον ὁ ἐν περγάμῳ ἐλέφας ἀπὸ τοιχογραφίας ὤν, ὡς φίλων. τὸ θηλυκὸν, βουραΐα. καὶ πόλις οὕτω. καὶ βουραϊκὸς κτητικόν. λέγεται καὶ βούρειος διὰ διφθόγγου. τὸ ῆ, διὰ τοῦ ι, ὡς νύσσα, νύσσιος, βοίβη, βοίβιος.

B ουραία, πόλις ἰταλίας, ἀπὸ βουραίου κτισθεῖσα. τὸ ἐθνικὸν, βουραῖος.

B ούρχανις, νῆσος ἐν τῇ κελτικῇ, ὡς στράβων. ζ.

B οῦσαι, ἔθνος μήδων. ἡρόδοτος πρώτῃ.

B ούσιρις, πόλις αἰγύπτου. ἐν ταύτῃ Ισιος μέγιστον ἱερόν. ἵδρυται δ' ἐν μέσῳ τοῦ αἰγύπτου ἐν τῷ. δ. ἶσις δ' ἐστὶ κατὰ τὴν τῶν ἑλλήνων γλῶσσαν, ἡ δημήτηρ. ὡς δ' ἄλλοι, ἐκεῖ λέγεται θάψαι τὸν βούσιριν ἶσις ἐμβαλοῦσα εἰς ξυλίνην βοῦν, ὥστε βούσιριν εἶναι τὴν πόλιν. οἱ δ' ὅτι τοπάρχης ἦν ὁ βούσιρις ὑπὸ ὀσίριδος κατασταθείς. ὁ πολίτης, βουσιρίτης.

B ούσμαδις, ἰσαυρικὴ πόλις. τὸ ἐθνικὸν, βουσμαδιώτης.

B ουτάδαι, δῆμος τῆς οἰνηΐδος φυλῆς. λέγονται γὰρ δῆμοι πατρωνυμικῶς, ὡς αἰθαλίδαι, κωθωκίδαι. ἔστι δὲ βούτου τοῦ πανδίονος. ὁ δημότης, βουτάδης.

B οῦτος, πόλις αἰγύπτου. ἡρωδιανὸς δὲ κώμην αὐτήν φησιν, ἧς τινος χρηστήριον ἦν. ἐκαλεῖτο δὲ βουτὼ, ἀφ' ἧς καὶ ἡ λητὼ βουτώ. ἔστι καὶ ἑτέρα γεδρωσίας. τὸ ἐθνικὸν, βουτία. τοῦ δὲ βουτοῦς, βουτοΐτης, καὶ βουτίτης, ὡς τῆς σαβοῦς, σαβοΐτης, καὶ σεβοΐτης.

B ούτριον, ὡς ῥήγιον, τῆς ἰταλίας πόλις. τὸ ἐθνικὸν, βουτρῖνος, ὡς ῥηγῖνος.

B ουφία, κώμη τῆς σικυωνίας. ἔφορος εἰκοστῷ τρίτῳ. τὸ ἐθνικὸν, βουφιεύς.

## Τὸ βῆτα μετὰ τοῦ ρῶ.

B ρουσοὶ, ἔθνος μακεδονίας. διονύσιος ἐν τρίτῃ βασσαρικῶν.

B ρασίαι, πόλις λακωνική. παυσανίας τρίτῳ. ὁ πολίτης, βρασιάτης.

B ραυρών, δῆμος τῆς ἀττικῆς, ἀπὸ βραύρωνος ἥρωος, ἀφ' οὗ καὶ βραυρωνία ἡ ἄρτεμις. τὰ τοπικὰ, βραυρωνόθεν, βραυρῶνάδε, βραυρῶνι, ὡς μαραθῶνι.

B ραχία, οὕτως ἡ ἀραβικὴ θάλασσα καλεῖται. ἐκλήθη δὲ διὰ τὸ ἐν αὐτῇ βράχη εἶναι πλεῖστα. ἔστιν οὖν παρὰ τὸ βράχος. τὸ τοπικὸν, βραχιάτης. οὐράνιος δὲ, βραχηνοὺς αὐτοὺς ἔφη.

B ραχμᾶνες, ἰνδικὸν ἔθνος σοφώτατον, οὓς καὶ βράχμας καλοῦσιν. ἱεροκλῆς δ' ἐν τοῖς φιλίστορσί φησι, μετὰ ταῦτα σπουδῆς ἄξιον ἐνομίσθη τὸ βραχμάνων ἰδεῖν φῦλον, ἀνδρῶν φιλοσόφων, καὶ θεοῖς φίλων, ἡλίῳ δὲ μάλιστα καθωσιωμένων. ἀπέχονται δὲ σαρκοφαγίας πάσης. καὶ ὑπαίθριοι τὸν ἀεὶ χρόνον βιοτεύουσι, καὶ ἀλήθειαν τιμῶσι. χρῶνται δὲ ἐσθῆτι λινῇ τῇ ἐκ πετρῶν λίθων. τὰ μηρύματα μαλακὰ, καὶ δέρματα, ὃ δὴ συνυφαίνουσιν. ἐξ ὧν ὑφάσματα γίνεται, μήτε πυρὶ καιόμενα, μήτε ὕδατι καθαιρόμενα, ἀλλ' ἐπειδὰν ῥύπου καὶ κηλίδος ἐμπλησθῇ, ἐμβληθέντα εἰς φλόγα, λευκὰ καὶ διαφανῆ γίνεται.

Β ραχύλη, πόλις κρητῶν. οὗτοι δὲ τοῖς ἴβηρσιν ὁμοροῦσι. τὸ ἐθνικὸν, βραχυλαῖος.

Β ρέα, πόλις, εἰς ἣν ἀποικίαν ἐστείλαντο ἀθηναῖοι. τὸ ἐθνικὸν, ἔδει βρεάτης. ἔστι δὲ βρεαῖος παρὰ θεοπόμπῳ εἰκοστῷ ζίτῳ.

Β ρένθη, πόλις ἀρκαδίας. καὶ ποταμὸς βρενθιάτης. καὶ τὸ ἐθνικὸν, βρενθαῖος, ἢ βρενθεὺς, ὡς εἰρήσεται παρὰ τοῦ ορ

Β ρεντήσιον, πόλις παρὰ τὸν ἀδρίαν, ἀπὸ βρέντου ἡρακλέους. ἢ ὡς εὐλίμενος οὔσης. ἐν τῷ στόματι λιμένες πολλοὶ συγκλείονται. ὡς ἐοικυῖα κρίνω κεφαλῇ ἐλάφου οὕτως ὠνόμασται. βρέντιον γὰρ παρὰ μεσσαπίοις ἡ τοῦ ἐλάφου κεφαλὴ, ὡς σέλευκος ἐν δευτέρῳ γλωσσῶν. τὸ ἐθνικὸν, βρεντησῖνος.

Β ρεττοτία, νῆσος ἐν τῷ ἀδρίᾳ, ποταμὸν ἔχουσα βρέττιον. ταύτην ἐλάφουσαν ἕλληνες. οἱ δὲ, βρεττανίδα καλοῦσι. τὸ ἐθνικὸν, ἔδει βρεττιανὸς, ὡς πολύβιος. τὸ θηλυκὸν, αὐτὴ βρεττιανὴ τόπων. νῦν δὲ βρέττιοι λέγονται. εἰσὶ καὶ βρεττανίδες νῆσοι ἐν τῷ ὠκεανῷ. ὧν τὸ ἐθνικὸν, βρεττανοί. διονύσιος ὑφελῶν τὸ ἓν τ. ἔφη, ὠκεανοῦ κέχυται ψυχρὸς ῥόος ἔνθα βρετανοί. καὶ ἄλλοι οὕτω διὰ τοῦ π. πρετανίδες νῆσοι, ὡς μαρκιανὸς, καὶ πτολεμαῖος.

Β ρέττος, πόλις τυρρηνῶν, ἀπὸ βρέττου τοῦ ἡρακλέους, καὶ βαλητίας τῆς βαλήτου. οἱ οἰκοῦντες, βρέττιοι. καὶ ἡ χώρα βρεττία, καὶ ἡ γλῶσσα. ἀριστοφάνης, μέλαινα δ' ἦν ἡ γλῶσσα βρεττία παρῆν. ἀντίοχος δὲ τὴν ἰταλίαν φησὶ κληθῆναι βρεττίαν, εἶτα οἰνωτρίαν.

Β ρίγες, ἔθνος θρακικόν. ἡρόδοτος ἑβδόμῃ. οἱ δὲ φρύγες, ὡς μακεδόνες λέγουσι, καλέονται βρίγες. καὶ βριγία ἡ ζωϊκὴ, τουτέστιν ἡ φρυγία, ἀπὸ βρίγου τοῦ κατοικήσαντος ἐν μακεδονίᾳ. ἡρωδιανὸς ἐν πρώτῃ κλίσεως ὀνομάτων βρίγαντας αὐτούς φησι. τὰ γὰρ εἰς ·γας· λήγοντα ὀνόματα, ἰσοσυλλάβως κλίνεται, ὅτε μόνον εἰσὶ κύρια. ἔστι δέ φημι διὰ τὸ βρίγας. ἔθνος δέ ἐστι βρεττανικὸν οἱ

Β ρικιννία, πόλις σικελίας. τὸ ἐθνικὸν, βρικιννιάτης.

Β ρίσα, ἄκρα λέσβου, ἐν ᾗ ἵδρυται διόνυσος βρισαῖος.

Β ροῦσις, μοῖρα μακεδονίας, ἀπὸ βρίσου ἠμαθίου παιδός. τὸ ἐθνικὸν, βροῦσοι, ὡς κόλχοι. τινὲς γράφουσι διὰ τοῦ ·ο·.

Β ρουτοβρία, πόλις μεταξὺ βαίτιος ποταμοῦ, καὶ τυριτανῶν. δηλοῖ δὲ βρουτύπολιν. τὸ γὰρ βρία τὴν πόλιν σημαίνει, ὡς πολτυμβρία, σηλυμβρία. ὅθεν τὸ ἐθνικὸν βρουτοβριανὸς, ὡς σηλυμβριανὸς, πολτυμβριανὸς, μεσημβριανός.

Β ρεττία, μοῖρα σικελίας. τὸ ἐθνικὸν, βρέττιοι.

Β ρυάνιον, πόλις θεσπρωτίας. τὸ ἐθνικὸν, βρυάνιος, ὡς βυζάντιος.

Β ρυγίας, πόλις μακεδονίας. τὸ ἐθνικὸν, βρύγιος.

Β ρύγιον, πόλις μακεδονίας. τὸ ἐθνικὸν, καὶ βρυγιεύς.

Β ρύκης, καὶ βρύκαι, ἔθνος θρᾴκης. λέγονται καὶ βρυκεῖς, καὶ βρυκήϊοι.

Β ρύλλιον, πόλις ἐν τῇ προποντίδι. ἔφορος δὲ ἐν πέμπτῃ κεῖον αὐτήν φησιν εἶναι. τὸ ἐθνικὸν, βρυλλιανός. καὶ τὸ θηλυκὸν βρυλλὶς ἡ χώρα, ἐν ᾗ δασκύλειόν ἐστι μικρὸν πολισμάτιον.

Β ρύξ, τὸ ἔθνος, καὶ βρυγοί. τοῦ βρὺξ τὸ θηλυκὸν, βρυγὶς, καὶ βρυγηῒς, ὡς καδμηῒς. εἰσὶ δὲ μακεδονικὸν ἔθνος προσεχὲς ἰλλυριοῖς.

Β ρυσάκιον, πόλις τῆς παρθένης. οἱ πολῖται, βρυσακοί.

Β ρυσιαὶ, πόλις ἤλιδος, ὡς αὐγειαί, διὰ τὸ πληθυντικῶς λέγεσθαι.

Β ρυστακία, πόλις οἰνώτρων. τὸ ἐθνικὸν, βρυστακιάτης.

Τὸ βῆτα μετὰ τοῦ ·υ· ψιλοῦ.

Β ύβη, πόλις κατὰ πευκετίους. τὸ ἐθνικὸν, βυβαῖος. εἰσὶ δ' ἔθνος θρακικόν. τὸ ἐθνικὸν, βύβαι, ὡς λοκροὶ, καὶ δελφοί.

Β ύβασσος, πόλις καρίας, ἀπὸ βυβάσσου νομέως, περισώσαντος ἀπὸ θαλάσσης καὶ χειμῶνος εἰς καρίαν ἐμπεσόντα ποδαλείριον. τὸ ἐθνικὸν, βυβάσσιος. ἔφορος δὲ βύβασσόν φησι, καὶ βυβάστιον.

Β ύβλος, πόλις φοινίκης ἀρχαιοτάτη πασῶν, κρόνου κτίσμα, ἀπὸ βίβλης τῆς μιλήτου θυγατρός. βύβλος δὲ προσηγορεύθη, ἐκ τοῦ πάσης ἀρχαίας βίβλου φυλακὴν ἀσινέα ἐν ταύτῃ γενέσθαι. οἱ δὲ, ὅτι ἐν αὐτῇ ἶσις κλαίουσα ὄσιριν, τὸ διάδημα ἔθηκε. τοῦτο δ' ἦν βιβλίον. βύβλου, τῆς φυλῆς τῆς αἰγυπτίας, ἣν ἀνέζαφε νεῖλος ἐν τοῖς ἕλεσι. τὸ ἐθνικὸν, βύβλιος, καὶ βυβλίας. εἰσὶ καὶ βίβλιοι σκυθικὸν ἔθνος. ἔστι καὶ βύβλος ἐν τῷ νείλῳ, πόλις ἀσφαλεστάτη. τὸ ἐθνικὸν, βύβλιος, ἢ βυβλίτης τῷ τύπῳ τῷ αἰγυπτιακῷ.

Β ύζαντες, λίβυες περὶ καρχηδόνα τῆς λιβύης ἔθνος, ἀφ' ἧς ἡ πόλις βυζάντιον. καὶ βυζάντιοι, οἱ ἐν λιβύῃ. παρ' ἡροδότῳ δὲ κακῶς διὰ τοῦ ·γ·, γύζαντες. πολύβιος δὲ βυσσάτιδα χώραν εἶναί φησι περὶ τὰς σύρτεις ἐν δυσκαιδεκασταδίοις μὲν οὖσαν τὴν περίμετρον, δύο δὲ τῷ σχήματι περιφερής. τὸ ἐθνικὸν, τῷ τύπῳ βυσσακίτης εἴη. νῦν δὲ βυσσακηνοὶ λέγονται τῷ δυτικῷ χαρακτῆρι. καὶ ἱμάτια δ' ἐκεῖθεν βυζακηνά. ἔστι δὲ διμορφὴς ἡ βυζακία, καρχηδόνος ἐνδοτέρω. καὶ δύο ἔθνη βυζακηνῶν, ὡς ἱστοροῦσι.

Β υζάντιον, τὸ ἐν θράκῃ βασίλειον, πόλις διασημοτάτη πρὸς τῇ προποντίδι, πρὸς τῷ μέρει τῆς εὐρώπης. χρησμὸς δ' ἐδόθη ἐρωτησάντων εἰς δελφοὺς μεγαρέων τοιοῦτος, ὄλβιοι, οἳ κείνην πόλιν ἱερὰν οἰκήσουσιν Ἀκτὴν θρηϊκίην στεινὸν παρ' ἄκρον στόμα πόντου. Ἔνθ' ἰχθῦς, ἔλαφός τε νομὸν βόσκουσι τὸν αὐτόν. στέλλεσθαι δ' ὡς ὤκιστα καὶ εἰς φρένα πάντα λαβόντα. καὶ οὕτως ἐκτίσθη ἀπὸ βύζαντος τοῦ κροέσσης τῆς ἰοῦς θυγατρὸς καὶ ποσειδῶνος. ἢ ὅτι τοῦ στόλου τῆς βύζης ἦν ἡγεμών. καὶ ὅτι οἱ ἐχῖνοι αἰσθητικώτατοι τῶν ἀνέμων ἐκεῖ. μετωνομάσθη δὲ καὶ κωνσταντινούπολις, καὶ νέα ῥώμη. τὸ ἐθνικὸν, κωνσταντινοπολίτης ἄνευ τοῦ .υ. τὸ ἐθνικὸν τοῦ βύζας, βυζάντιος διὰ τοῦ .ι. τὸ δὲ κτητικὸν, διὰ τῆς διφθόγγου. τὸ δὲ βυζάντιος ἐθνικὸν, ξιγενές. τὸ δὲ κτητικὸν, βυζαντιακός. λέγεται καὶ βυζαντιάς, καὶ βυζαντίς. ἔστι καὶ τῆς χώρας βυζάντεια διὰ τῆς διφθόγγου. ἀπὸ δὲ τοῦ βυζάντιος, βυζαντία. βυζαντιανὸς, καὶ βυζαντειανὸς διὰ διφθόγγου, ὡς ἡρακλειανός. ἔστι καὶ βυζάντιον ἕτερον ἐν τῇ ἰνδικῇ.

Β ύζηρες, ἔθνος ἐν τῷ πόντῳ. ἔστι καὶ βυζηρικὸς λιμήν.

Β ύλλις, πόλις ἰλλυρίδος παραθαλασσία, τῶν μετὰ νεοπτολέμου μυρμιδόνων κτίσμα. τὸ ἐθνικὸν, βυλλιδεύς.

Β ύμαζος, πόλις παιόνων. ἔφορος κζ.

Β υσναῖοι, ἔθνος βεβρύκων, ἀπὸ βύσνου βασιλέως αὐτῶν, ὑπὸ ἴλου φονευθέντος.

Β υσσὸς, ἔθνος. καὶ ὀξυτόνως, ὡς ἡρωδιανός. λέγεται καὶ ὁ βυθός. τὸ μέντοι βύσσος, βαρύνεται, ἀφ' οὗ καὶ βύσσινον.

Τὸ βῆτα μετὰ τοῦ .ω. μεγάλου.

Β ωδώνη, πόλις περραιβική, ὡς ἀπολλόδωρος. οἱ δ' ὀρθῶς, θετταλίας, ἀπὸ βωδώνου ἥρωος. ὁ πολίτης, βωδωναῖος.

Β ῶλα, ὡς νῶλα, πόλις ἰταλίας. τὸ ἐθνικὸν, βωλανοὶ, ὡς νωλανοί.

Β ώλιγγαι, ἔθνος ἰνδικόν. διονύσιος .ιη. τῶν βασσαρικῶν, καὶ τότε δὴ βωλίγγῃσι μετ' ἀνδράσι τέκταφος ὦρτο.

Β ωμοὶ, λόφοι αἰτωλίας. οἱ κατοικοῦντες, βωμιεῖς. θουκυδίδης τρίτῃ, βωμιῆς καὶ καλλιῆς ἐπεβοήθησαν. ἀλλ' ἔστιν ἀπὸ τοῦ βώμιος, ὡς ἀπὸ τοῦ χήσιος, τὸ χησιεύς. καὶ βώμιος, ὁ τόπος τῶν θυσιῶν ὁ πρὸς τὴν ἐσχάραν διάφορος. ὁ μὲν γὰρ, οἰκοδομητός. ἡ δὲ, σκαπτή. τὸ κτητικὸν, βώμιος. καὶ κατὰ παραγωγὴν, βωμιαῖος. σοφοκλῆς αἰχμαλώτισι, καὶ βωμιαῖον ἐσχάρας λαβών.

Β ῶγχις, πόλις αἰθιοπίας πρὸς τῷ τρίτῳ καταῤῥάκτῃ. τὸ ἐθνικὸν, βωγχίτης, ὡς μεμφίτης.

Β ωταχίδαι, δῆμος ἀρκαδίας, ἀπὸ βωτάχου. νικόλαος .ε. ἰοκρίτου γὰρ τοῦ λυκούργου βώταχος. ἀφ' οὗ ὁ τόπος βωταχίδαι ἐν τῇ τεγέᾳ ἐκλήθη.

## ΑΡΧΗ ΤΟΥ ΓΑΜΜΑ ΣΤΟΙΧΕΙΟΥ·

### Τὸ γάμμα μετὰ τοῦ ἄλφα.

γ Αβα, πόλις γαλιλαίας. ἰώσηπος πέμπτῳ ἰουδαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν, γαβηνὸς, ὡς αὐτὸς ἰώσηπος.

Γ αβάθη, πόλις γαλιλαίας, ὡς ἰώσηπος ἕκτῳ ἰουδαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν γαβαθηνὸς, τῷ τύπῳ τῆς χώρας.

Γ άβαλλα, πόλις φοινίκης, ἣν ἑκαταῖος θηλυκῶς φησιν. ὁ δὲ στράβων συρίας, πλησίον λαοδικείας. ὁ οἰκήτωρ, γαβαλίτης. καὶ θηλυκὸν, ἡ γαβαλῖτις. ἀλλὰ καὶ γαβαλεύς, ὡς μεγαρεύς. ἔστι καὶ χώρα ἀραβίας, καὶ λέγεται ἡ πρώτη συλλαβὴ διὰ τοῦ .ε, γέβαλα. καὶ τὸ ἐθνικὸν, γεβαληνὸς, ὡς σαβηνὸς, ἀδρηνὸς, τῷ τύπῳ τῶν ἐγχωρίων.

Γ αβαούπολις, πόλις τῆς γαλιλαίας. τὸ ἐθνικὸν, γαβαουπολίτης. ἰώσηπος ἕκτῳ ἰουδαϊκῆς ἀρχαιολογίας, σαῦλος δὲ εἰς γαβαούπολιν ἔχων ἧκε.

Γ άββα, πόλις συρίας, ἧς τὸ ἐθνικὸν γαββηνὸς, ὡς παυσανίας φησί.

Γ άβιοι, πόλις λατίνων. τὸ ἐθνικὸν, γαβῖται. δύναται καὶ γαβίους, ὡς διονύσιος ἐν τετάρτῳ ῥωμαϊκῆς ἀρχαιολογίας ἀμφότερα.

Γ άγαι, πόλις λυκίας, ἣν καὶ παλαιὸν τεῖχος καὶ χώραν φησὶν ἀλέξανδρος ἐν πρώτῃ λυκιακῶν. τὸ ἐθνικὸν, γαγαῖος.

Γ άγγρα, πόλις θηλυκῶς, ἣν ἀλέξανδρος ἐν τῷ περὶ παφλαγονίας ἀναγράφει λέγων οὕτως, ὅτι νικόστρατός φησιν αἰπόλον νέμειν περὶ τοὺς τόπους αἶγας. μίαν δὲ χωριζομένην, ἀπορῶν ὁ αἰπόλος ὅτι ἐν μὲν τῷ οἴκῳ ἐνδεᾶ ηὕρισκεν, ὑπὸ δὲ τῆς νομῆς ἐπλήρη, ὡμολόγησε τῷ δεσπότῃ. ὁ δ' ἔφη ἐπιτηρῆσαι τὴν χωριζομένην. ἐπιτηρήσας οὖν, εἶδεν ἐπί τινα ὑψηλὸν ὄχθον ἀναβαίνουσαν, καὶ πρός τινα πρόσβατον πορευομένην. καὶ κάτωθεν ἐρίφων βληχὴν ἤκουσεν. ἐκεῖ συμβέβηκεν ἐντετοκέναι τὴν αἶγα. ἰδὼν οὖν ἐπιτήδειον τόπον, πόλιν ἔκτισε, καὶ γάγγραν ὠνόμασεν, ὅτι τοῦτο ἦν ὄνομα τῇ αἰγί. ἐρατοσθένης δὲ οὐδετέρως τὰ γάγγρα φησί. καὶ ἀθηναῖος ἐν δειπνοσοφιστῶν τρίτῃ οὕτω. τὸ ἐθνικὸν, γαγγρηνὸς, ὡς βοστρηνός. ἔστι καὶ ἀραβίας τῆς εὐδαίμονος γάγγρα. τὸ ἐθνικὸν δεῖ γαγγραῖοι, ὡς σεβαῖοι. δύναται δὲ καὶ ἀμφοτέρων ἀμφότερα, ὡς ἔδεσσα, ἐδεσσαῖος, καὶ ἐδεσσηνὸς, τῷ τῆς χώρας, καὶ τῆς τέχνης.

Γ άδαρα, πόλις κοίλης συρίας, ἥτις καὶ ἀντιόχεια, καὶ σελεύκεια ἐκλήθη. τὸ ἐθνικὸν,

γαδειρεύς· καὶ γαδειρὶς καὶ ἡ γυνὴ, καὶ ἡ
χώρα· ἐντεῦθεν ἦν μένιππος ὁ σπουδογέ-
λοιος· ἔστι καὶ γαύδειρα κώμη μακεδονίας·

Γ ἄδδα, χωρίον ἀραβίας· γλαῦκος τε-
τάρτῃ· καὶ θηλυκῶς, καὶ οὐδετέρως· τὸ ἐ-
θνικὸν, γαδδηνός·

Γ άδειρα, πόλις καὶ νῆσος ἐν τῷ ὠκεανῷ, στε-
νὴ καὶ περιμήκης οὖσα ταινία τῆς γῆς δει
ρά· ἐρατοσθένης δὲ ἡ γάδειρα φησὶ θηλυκῶς·
ὁ πολίτης, γαδειρεύς· οὕτω γὰρ τὰ πέντε βι
βλία ἐπιγέγραπται τῶν πυθαγορικῶν σχολῶν
μοδεράτου γαδειρέως· λέγεται καὶ γαδειρείτης, ὡς
ἀλέξανδρος ὁ πολυΐστωρ· λέγεται καὶ γαδειραῖ
ος, ὡς ἀπὸ τοῦ γάδειρα θηλυκοῦ· καὶ γαδειρανοί·
καὶ κτητικὸν, γαδειρικός· εὔπολις ἐν μαρικᾷ,
πότερ᾽ ἦν τὸ τάριχος φρύγιον, ἢ γαδειρικόν·

Γ άδαρα, πόλις παλαιστίνης· πορφύριος
γ´ τῷ φιλοσόφου ἱστορίας· τὸ ἐθνικὸν, γαδα
ρηνὸς, ὡς βόστρα, βοστρηνὸς, καὶ γαγγρηνός·

Γ άζα, πόλις φοινίκης· νῦν δὲ παλαιστίνης,
πρὸ τῆς αἰγύπτου· ἐκλήθη καὶ ἄζα· καὶ μέ
χρι νῦν σύροι ἄζαν αὐτὴν καλοῦσιν, ἀπὸ ἀ
ζονος τοῦ παιδὸς ἡρακλέους· μυθολογοῦσι
δέ τινες ἀπὸ διὸς κτισθῆναι, καὶ ἐν αὐτῇ ἀ
πολιπεῖν τὴν ἰδίαν γάζαν, οὕτω τῶν περ
σῶν τὰ χρήματα καλούντων· ἐκλήθη δὲ
καὶ ἰώνη, ἐκ τῆς ἰοῦς προσπλευσάσης, καὶ με
νάσης αὐτῆς ἐκεῖ· ἐκλήθη δὲ καὶ μινώα, ὅτι
μίνως σὺν τοῖς ἀδελφοῖς αἰακῷ καὶ ῥαδα
μάνθει ἰὼν, ἐξ αὐτοῦ ταύτην ἐκάλεσεν·
ἔνθεν καὶ τὸ τοῦ κρηταίου διὸς παρ᾽ αὐ-
τοῖς ἐστίν· ὃ καὶ καθ᾽ ἡμᾶς ἐκάλουν μαρνᾶν,
ἑρμηνευόμενον κρηταγενῆ· τὰς παρθένους
γὰρ οὕτω κρῆτες προσαγορεύουσι, μαρνάν·
ὁ πολίτης, γαζαῖος· λέγονται καὶ γαζηνοὶ
παραλόγως, ὡς παυσανίας· λέγονται καὶ
γαζῖται παρὰ τοῖς ἐγχωρίοις· καὶ οἱ κέρα
μοι λέγονται γαζῖται· καὶ ἔστιν ὅμοιον τῷ
αἰγινῆται· καὶ γαζαῖοι· οἱ δὲ κέραμοι, γαζῖ-
ται, καὶ αἰγιναῖοι εἰσὶ καὶ διὰ τοῦ η· ἔθνος
γαλατῶν χρυσοφορούντων, ὡς εὐφορίων· λέ-
γονται καὶ διὰ τοῦ α· γαζάται, ὡς πολυΐ-
στωρ· ἔστι καὶ γάζα τείχισμα θρᾴκης·

Γ άζακα, πόλις μεγίστη τῆς μηδίας, ὡς κοδρά
δρατος ἐν ὀγδόῳ παρθικῶν· ἀρριανὸς δὲ κώ
μην μεγάλην αὐτήν φησιν ἐν παρθικῶν
τετάρτῳ· καὶ ἐνικῶς τῆς γαζάκου λέγων τὸ
ἐθνικὸν γαζακηνὸς, ὡς τοῦ μάζακα, μαζα-
κηνός·

Γ άζος, πόλις ἰνδικὴ κατὰ διονύσου πολεμή
σασα μετὰ δηριάδου, λινοῦν ἔχουσα τεῖχος,
καθὰ ἐν γ´ τῇ βασσαρικῶν, γη-
ρειαί τε, ῥοδόην τε, καὶ οἳ τείχεα
γάζον· τοῖόν μιν κλωστοῖο λινοῦ πέρι τεῖ
χος ἔβριθεν, ἀσύφηλον δηΐοισι, καὶ εἰ πάγχαλ
κεον ἦεν· ὡς μὲν μάλα δή τι διαμπερὲς ὀργυ
ιῇσι μέζητον πισύρεσσιν· αὐτὰρ μῆκός τε καὶ
ἰθὺν ὅσσον ἀνὴρ δυοῖσιν ἐν ἠελίοισιν ἀνύσ-
σας, ἠῶθεν κνέφας ἄκρον ἐπειγόμενος ποσὶν
οἷσι· τὸ ἐθνικὸν, γάζιος·

Γ άζωρος, πόλις μακεδονίας· τὸ ἐθνικὸν, γα
ζώριος· ἡ γοῦν ἄρτεμις αὐτόθι γαζωρία τι
μᾶται·

Γ αθέαι, πόλις ἀρκαδίας· ἧς οἱ πολῖται,
γαθεᾶται· παυσανίας ὀγδόῳ, γαθεᾶται
τῆς κρωμίτιδος χώρας·

Γ αιτοῦλοι, ἔθνος λιβύης· ἀρτεμίδωρος γαι-
τουλίους αὐτούς φησιν· ἡ χώρα, γαιτουλία,
ἐν ᾗ μεγάλοι ἀσπάραγοι, πάχος μὲν κυπείρου
καλάμου, μῆκος δὲ πηχῶν δυοκαίδεκα, ὡς
ἀθήναιος ἐν δευτέρῳ δειπνοσοφιστῶν·

Γ άλαδα, χώρα ἀραβίας· καὶ γαλαδηνή· ἰώ
σηπος ἐν τετάρτῳ ἰουδαϊκῆς ἀρχαιολογί
ας γαλαδῖτιν φησι.

Γ αλάδραι, πόλις μακεδονίας ἐν πιερίᾳ·
λυκόφρων, σιναὶ γαλάδρος τὸν στρατηλά
την λύκον· ἔστι καὶ ὄρος γάλαδρος, ἀπὸ γα-
λάδρου τοῦ ἠμαθίου παιδός· οἱ δὲ, ὅτι γαλά
δρας ἔκτισε τὴν πόλιν· ὁ πολίτης, γαλα
δραῖος· λυκόφρων, καὶ γαλαδραῖον πέδον·
τὸ κτητικὸν ἔδει γαλαδραϊκὸν, πολύβιος
δὲ ἐν γ´ τῷ γαλαδραικόν φησι.

Γ αλαρίνα, πόλις σικελίας, κτίσμα μόργου
σικελοῦ· λέγεται καὶ γαλαρία χώρα· ὁ πο-
λίτης, γαλαρῖνος, καὶ γαλαρίνη, καὶ γα-
λαριναῖος·

Γ αλάται, πρὸς νότον τοῖς παφλαγόσιν, ἀπὸ
τῶν ἐν τῇ κελτικῇ γαλατῶν· οἳ πλανηθέν
τες πολὺν χρόνον, καὶ καταλαβόντες τὴν
χώραν, οὕτως ὠνόμασαν· παρῆχθη δὲ τὸ γα
λάτης ἐκ τοῦ γάλλος, ὑφέσει τοῦ ἑνὸς · λ·
καὶ γαλατία ἡ χώρα·

Γ αλεῶται, ἔθνος ἐν σικελίᾳ, ἢ ἐν τῇ ἀττικῇ,
ἀπὸ γαλεοῦ τοῦ υἱοῦ ἀπόλλωνος, καὶ θεμι
στοῦς τῆς θυγατρὸς ζαβίου τοῦ βασιλέως τῶν
ὑπερβορέων, ὡς εἰρήσεται ἐν τῷ περὶ τελ
μισσοῦ· τινὲς δὲ, ὅτι γαλεῶται μάντεων
εἶδος σικελῶν· γαλεὸς δὲ ὁ ἀσκαλαβώτης·
φύλλιος αἰγεῖ, ὁ πάππος ἦν μοι γαλεὸς ἀ
στερίας· ἴσως διαπεποίκιλται παίζων· καὶ
ἀρχίππος ἰχθῦσι, τί λέγεις σὺ μάντις,
εἰσὶ γὰρ θαλάσσιοι γαλεοί γε πάντων μάντε
ων σοφώτατοι· φασὶ δὲ τὸν πρῶτον ἐξ ὑ-
περβορέων τελμισσὸν, οἷς ἔχρησεν ὁ θεὸς
ἐν δωδώνῃ, τὸν μὲν, ἐπὶ ἀνατολὰς, τὸν δὲ,
ἐπὶ δυσμὰς πλεῖν, ὅπου τε ἂν αὐτῶν θυ
ομένων ἀετὸς ἁρπάσῃ τὰ μηρία, βωμὸν ἐν
ταῦθα ἱδρύσαι· γαλεώτης οὖν ἐν σικελίᾳ,
καὶ τελμισσὸς ἐν καρίᾳ ἦλθεν, ἔνθα ἀπόλ
λωνος τελμισσίου ἱερόν·

FREIE UNIVERSITÄT BERLIN UNIVERSITÄTSBIBLIOTHEK

Γ αλήψος, πόλις θρᾴκης, καὶ παιόνων· ἑκαταῖος εὐρώπῃ. θουκυδίδης τετάρτῃ ἑτέραν λέγει, καὶ γαληψὸς οὐ πολλῷ ὕστερον, καὶ ἡ σύμη. τὰ δ' ἐς ·ψος· ὑπὲρ δισύλλαβα, ὀξύνεται. σκινδαψὸς, ὀργάνου ὄνομα, καὶ κύριον. τίθεται καὶ κατ' οὐδενὸς, ὡς τὸ ζαγέλαφος. χηραψός. λυκαψός. ὁ πολίτης, γαλήψιος.

Γ αλλία, ἐντὸς ἄλπεων χώρα. οἱ οἰκήτορες, γάλλοι.

Γ αλλήσιον, πόλις ἐφέσου. παρθένιος ἐν ἐπικηδείῳ τῷ εἰς αὐξίθεμιν. τὸ ἐθνικὸν, γαλλήσιος.

Γ αλιλαῖοι, ἔθνος τῆς ἰουδαίας.

Γ άλλος, ποταμὸς φρυγίας· οἱ περίοικοι πρὸς μαθίδαν ποταμογαλληνοὶ, οὓς παρατίθεται ὁ πολυΐστωρ ἐν τῷ περὶ φρυγίας τρίτῳ. καὶ ὅτι τὸν γάλλον καὶ τὸν ἄττιν ἀποκόψαι τὰ αἰδοῖα. καὶ τὸν μὲν γάλλον ἐλθεῖν ἐπὶ τὸν τηρίαν ποταμὸν, καὶ οἰκῆσαι, καὶ τὸν ποταμὸν γάλλον καλέσαι. ἀπ' ἐκείνου γὰρ τοὺς τεμνομένους τὰ αἰδοῖα γάλλους καλοῦσι.

Γ άμαλα, κατοικία συρίας. ὁ οἰκήτωρ, γαμαλεύς. ἰώσηπος ἐν τετάρτῳ τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Γ αμβρεῖον, πόλις ἰωνίας. τὸ ἐθνικὸν, γαμβρειεὺς, ὡς σιγειεὺς. γράφεται δὲ διὰ διφθόγγου, ὡς δηλοῖ τὸ γαμβρήϊον.

Γ άνδαρα, ἰνδῶν ἔθνος. ἑκαταῖος ἀσίᾳ. λέγονται καὶ γανδάριοι παρ' αὐτῷ, καὶ γανδαρικὴ ἡ χώρα.

Γ άνδροι, ἔθνος πάρθων ἀντιταχθὲν διονύσῳ, ὡς διονύσιος βασσαρικῶν τετάρτῳ. ἑκαταῖος δὲ γανδάρας αὐτοὺς καλεῖ.

Γ αράμαντες, ἔθνος λιβύης. ἡρόδοτος τετάρτῃ. οἳ πάντα ἄνθρωπον φεύγουσι, καὶ παντὸς ὁμιλίαν.

Γ άργαρα, πόλις τῆς τρωάδος ἐπὶ τῇ ἄκρᾳ τῆς ἴδης, πάλαι γάργαρος καλουμένη. τὴν αἰολικὴν ὀνομάζει στράβων, καὶ ἑκαταῖος. ἀλκμὰν δὲ θηλυκῶς τὴν γαργαρόν φησιν, ἣν κατῴκουν λέλεγες. ὠνομάσθη δ' ἀπὸ γαργάρου τοῦ διὸς τοῦ ἐκ τῆς θεσσαλίας ἐν λαρίσσῃ. ἐκεῖ καὶ διότιμος ὁ ἀδραμυττηνὸς ἐδίδασκε γράμματα, εἰς ὃν ἄρατος εἶπεν, αἰάζω ὅτι μουσῶς ἐνὶ πέτρῃσι κάθηται, παισὶ γαργαρέων βῆτα καὶ ἄλφα λέγων. καὶ γάργαρα ἄκρα. ἐπαφρόδιτος δέ φησιν, ὅτι ἡ μὲν πόλις θηλυκῶς λέγεται, τὸ δ' ἀκρωτήριον, οὐδετέρως. ἑλλάνικος δὲ γάργασον ἔφη τὴν πόλιν διὰ τοῦ ·σ· ἀλλ' οἴομαι σφάλμα εἶναι. ἔστι καὶ λαμψάκου πολισμάτιον γάργαρον. ἔστι καὶ ἑτέρα τῆς ἰταλίας, καὶ τῆς ἠπείρου ἄλλη. τὸ ἐθνικὸν, γαργαρεύς. καὶ θηλυκῶς, γαργαρίς.

Γ αργαρεῖς, ἔθνος, ὃ μίγνυται ταῖς ἀμαζόσιν, ὡς στράβων παρὰ ῥεσκαιδεκάτῃ. τὸ θηλυκὸν, γαργαρεὶς κατὰ τέχνην, ὡς μεγαρίς. κατὰ δὲ τὸ ἐπιχώριον, γαργαριώνη.

Γ άργη, πόλις λιβύης, ὡς πολυΐστωρ ἐν τρίτῃ λιβυκῶν. τὸ ἐθνικὸν, γαργαῖος, ὡς βοργαῖος. τῷ τύπῳ δὲ, γαργίτης.

Γ αργηττὸς, πόλις καὶ δῆμος τῆς αἰγηΐδος φυλῆς. ὁ δημότης, γαργήττιος. ἐπίκουρος νεοκλέους, γαργήττιος. τὸ ἐκ τόπου, γαργηττόθεν. καὶ τἄλλα ἀκολούθως, γαργηττόν δὲ, γαργηττοῖ. ὀξύνεται δὲ τὸ γαργηττὸς, ὡς ὑμηττός. λυκαβηττός. ἐνταῦθά φασι τὸ τοῦ εὐρυσθέως κεῖσθαι σῶμα.

Γ αστρωνία, χώρα μακεδονίας. θεόπομπος εἰκοστῇ τετάρτῃ.

Γ αυγάμηλα, τόπος περσίδος. ἀπολλόδωρος ἐν τῷ περὶ γῆς δευτέρῳ.

Γ αῦλος, νῆσος πρὸς τῇ καρχηδόνι. ἑκαταῖος περιηγήσει. ὁ νησιώτης, γαυλίτης.

Τὸ γάμμα μετὰ τοῦ ε ψιλοῦ.

Γ έα, πόλις πλησίον πετρῶν ἐν ἀραβίᾳ, ὡς γλαῦκος ἐν ἀραβικῇ ἀρχαιολογίᾳ. τὸ ἐθνικὸν, γεῖος. ἐν πέτραις δ' ἐπιχωριάζει κύριον ὄνομα τὸ γέσιος. ὅθεν ἦν ὁ περιφανὴς τῶν ἰατρῶν σοφιστὴς, ἴσως ἐντεῦθεν κεκλημένος. κατὰ ἀναλογίαν δ' ἔδει γεάτης, ὡς τεγεάτης. ἔοικε δὲ γεήσιος προϋπάρχειν, ὡς τὸ ἰθακήσιος. καὶ κατὰ συγκοπὴν, γέσιος.

Γ έβαλα, τρίτη μοῖρα τῆς παλαιστίνης. ἰώσηπος. τὸ ἐθνικὸν, γεβαληνὸς, ὡς βαρηνός. γεβαλήνη τε καὶ αἰμανῖτις ἡ τῶν ἰδουμαίων χώρα μετωνομάσθη.

Γ εβεωνῖται, ἔθνος πλησίον ἱεροσολύμων, ὡς ἰώσηπος.

Γ εδρωσία, χώρα. καὶ γεδρώσιοι, ἔθνος ἰνδικόν. διονύσιος περιηγητὴς, τῶν δὲ πρὸς ἀνατολίην γεδρωσῶν ἕλκεται αἶα. οὐκ οἶδα ὅθεν κλίνας. ἐν δὲ τοῖς τοῦ πολυΐστορος, διὰ τοῦ ·κ· εὑρέθη ἡ πρώτη συλλαβή. ἀλλ' ἦν ἀδιόρθωτον τὸ βιβλίον.

Γ έλα, πόλις σικελίας. ἡ γενικὴ, γέλας. τὸ δὲ γέλης, ἰωνικόν. καλεῖται δὲ ἀπὸ ποταμοῦ γέλα. ὁ δὲ ποταμὸς, ὅτι πολλὴν πάχνην γεννᾷ. ταύτην γὰρ τῇ ὀπικῶν φωνῇ, καὶ σικελῶν, γέλαν λέγεσθαι. πρόξενος δ' ἐν πρώτῃ τῶν περὶ πόρων σικελικῶν, καὶ ἑλλάνικος, ἀπὸ γέλωνος τοῦ αἴτνης, καὶ ὑμάρου. ἀρισταίνετος δ' ἐν πρώτῃ τῶν περὶ φασήλιδα, ὅτι λάκιος καὶ ἀντίφημος ἀδελφοὶ, ἐλθόντες εἰς δελφοὺς μαντεύσασθαι, τὴν δὲ πυθίαν οὐδ' ἂν περὶ ἐκείνων λέγουσαν, προστάσσει τὸν λάκιον πρὸς ἀνατολὰς ἡλίου

πλεῖν

πλεῖν · τοῦ δ' Ἀντιφήμου γελάσαντος, τὴν Πυθίαν εἰπεῖν πάλιν, ἀφ' ἡλίου δυσμῶν, καὶ τὴν αὖ πόλιν οἰκήσῃ. τὸ ἐθνικὸν, γελαῖος, οὐ γελῷος, ὡς ἄβρων, καὶ ἡ συνήθεια. καὶ ἴσως ἀπὸ τοῦ γέλως τὸ γελῷος.

Γ ελωνὸν, πόλις Σαρματίας τῆς Εὐρώπης, ἀπὸ Γελώνου τοῦ Ἡρακλέους, τοῦ Ἀγαθύρσου ἀδελφοῦ. ὁ οἰκήτωρ, ὁμοφώνως. ὀξύνεται δέ. ἔστι δὲ ἡ πόλις ξυλίνη, κειμένη ἐν Βουδίνοις, ἔθνει μεγάλῳ, ὡς Ἡρόδοτος. παρὰ τούτοις ζῶον θαυμάσιον, ὃ ὀνομάζεται τάρανδος, καὶ μεταβάλλει τὰς χρόας τῶν τριχῶν καθ' ὃν ἂν τόπον ᾖ. ἔστι δὲ δυσθήρατον διὰ τὴν μεταβολήν. οἵοις γὰρ ἂν ᾖ τόποις, τοιοῦτος γίγνεται τὴν τρίχα. καὶ θαῦμα. ὁ γὰρ χαμαιλέων, καὶ ὁ πολύπους τὴν χρόαν μεταβάλλει. τὸ μέγεθος βοὸς, τοῦ προσώπου τὸν τύπον ἐλάφῳ, ὡς Ἀριστοτέλης πέμπτῳ θαυμασίων ἀκουσμάτων.

Γ ενεὰ, κώμη Κορίνθου. ὁ οἰκήτωρ, γενεάτης. ἀφ' οὗ παροιμία, Εὐδαίμων ὁ Κορίνθιος, ἐγὼ δ' εἴην γενεάτης. τινὲς τὰς ἀπὸ ταύτης καλοῦσι γενειάδας, ὡς Παρθένιος. τινὲς δὲ τενεὰ γράφουσι.

Γ ενέση, πόλις Λακωνικῆς. τὸ ἐθνικὸν, γενεσαῖος. ἄμεινον δὲ διὰ τὴν χώραν γενεσάτης.

Γ ενήτης, λιμὴν, καὶ ποταμός. Ἀπολλώνιος ἄκραν γενηταίαν φησί. Σοφοκλῆς ποταμὸς γενήτα φησίν. ἔστιν οὖν ἐκ τῆς γένητος γενικῆς, γενηταῖος, καὶ γενηταία ἄκρα. καὶ τὸ γενήτης, ἐκ τῆς γένητος, ὡς τῆς οἰδίποδος, οἰδιπόδης, καὶ τρίποδος, τριπόδης. Ἡρωδιανὸς δὲ, ὡς τὸ σεληναία, ἀμαξαία φησί.

Γ ενόα, πόλις τῶν Λιγύρων, Σαλία καλουμένη νῦν, ὡς Ἀρτεμίδωρος. τὸ ἐθνικὸν, γενοάτης.

Γ ενοαῖοι, ἔθνος Μολοσσίας, ἀπὸ Γενόου ἄρχοντος αὐτῶν. Ῥιανὸς τετάρτῃ Θεσσαλικῶν.

Γ έντα, πόλις Ἰνδικὴ τῆς ἐκτὸς Γάγγου. τὸ ἐθνικὸν, γενταῖος.

Γ εντῖνος, πόλις Τρωάδος, κτίσμα τινὸς τῶν Αἰνείου παίδων. οἱ οἰκοῦντες, γεντίνιοι.

Γ εραιστὸς, κώμη, ἐν ᾗ ἱερὸν Ποσειδῶνος, ἀπὸ Γεραίστου τοῦ υἱοῦ τοῦ Διός. καὶ οἱ ἄνθρωποι γεραίστιοι. καὶ γεραιστία τὸ θηλυκὸν, καὶ γεραιστίς. καὶ γεραίστιον οὐδέτερον.

Γ εράνεια, πόλις Φρυγίας. ἔστι καὶ ὄρος μεταξὺ Μεγάρων, καὶ Κορίνθου. ἀφ' οὗ ἥλατο Ἰνὼ φεύγουσα τὸν Ἀθάμαντα. τὸ πρωτότυπον, γεράνη. ἐξ ἧς γεράνεια. τὸ ἐθνικὸν, γερανεὺς, ἢ γερανειάτης τῷ τύπῳ τῆς χώρας.

Γ ερανθαὶ, πόλις Λακωνικῆς. Παυσανίας τρίτῳ. ὁ πολίτης γερανθράτης, ὡς αὐτὸς Παυσανίας.

Γ έρασα, πόλις τῆς κοίλης Συρίας τῆς τεσσαρεσκαιδεκαπόλεως. ἐξ αὐτῆς Ἀρίστων ῥήτωρ ἀστεῖος, ὡς Φίλων, καὶ Κήρυκος σοφιστής, καὶ Πλάτων νομικὸς ῥήτωρ, πᾶσαν παίδευσιν ὡς μίαν ἀποσοματίζων, καὶ ἐν συνηγορίαις, καὶ παρέδροις, καὶ θρόνοις τὴν ὀρθότητα τῶν νόμων ἐπιτηδεύων. τὸ ἐθνικὸν, γερασηνὸς, ὡς Μήδαβα, Μηδαβηνός.

Γ έργις, πόλις Τρωάδος. καὶ κλίνεται γέργιθος. λέγεται καὶ ἡ γέργιθος εὐθεῖα ἀπὸ γενικῆς, ὡς Τροίζηνος. ὁ πολίτης, γεργίθιος. τὸ θηλυκὸν, γεργιθία. ἀφ' οὗ Γεργιθία ἡ χρησμολόγος Σίβυλλα, ἥτις καὶ τετύπωτο ἐν τῷ νομίσματι τῶν Γεργιθίων αὐτή τε καὶ ἡ σφὶγξ, ὡς Φλέγων ἐν Ὀλυμπιάδων πρώτῃ. ἐν δὲ τῷ ἱερῷ τοῦ Γεργιθίου Ἀπόλλωνος Σιβύλλης φασὶν εἶναι τάφον. ἔστι καὶ ἄλλο γεργίτης. καὶ θηλυκῶς, γεργῖτις. ἔστι καὶ γεργιθεύς.

Γ έρην, πόλις, ἢ κώμη Λέσβου, ἀπὸ Γέρηνος τοῦ Ποσειδῶνος. καὶ θηλυκῶς, γερηνίς.

Γ ερηνία, πόλις τῆς Μεσσηνίας, ἔνθα Νέστωρ ὁ Πύλιος ἐτράφη, ἢ φυγὰς ἤχθη. Ἡσίοδος καταλόγων, κτεῖναι Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς ἕνδεκα. δωδέκατος δὲ Γερήνιος ἱππότα Νέστωρ, ξεῖνος ἐὼν, ἐτύχησε παρ' ἱπποδάμοισι Γερηνοῖσι. ἀπὸ εὐθείας τῆς Γέρηνος. καὶ αὖθις, Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ. ἐξ ἧς εὐθείας τῆς ἡ Γέρηνος, τὸ γερηνεὺς, ὡς ἅλιος, ἁλιεύς. καὶ ἐξ αὐτῆς γερηνία, καὶ γερήνιος.

Γ ερμανίκεια, πόλις Εὐφρατησίας. Κουάδρατος ἐν τρίτῃ Παρθικῶν χωρίον αὐτήν φησιν. ὁ πολίτης, γερμανικεύς.

Γ έρμαρα, Κελτικῆς ἔθνος, ὃ τὴν ἡμέραν οὐ βλέπει, ὡς Ἀριστοτέλης περὶ θαυμασίων. τοὺς δὲ Λωτοφάγους καθεύδειν ἑξάμηνον.

Γ έρμη, πόλις Ἑλλησποντία, πλησίον Κυζίκου, ἣν Ἡρωδιανὸς Ἀσίας φησίν. ὁ πολίτης, γερμηνὸς, καὶ γερμηνή.

Γ ερούνιον, πόλις Ἰταλίας. Κουάδρατος δὲ Γερηνίαν ταύτην καλεῖ. τὸ ἐθνικὸν, γερουνῖνος.

Γ έῤῥα, πόλις Χαλδαίων. ὁ πολίτης, γεῤῥαῖος. καὶ θηλυκὸν γεῤῥαία, καὶ γεραῖς, ὡς θηβαΐς.

Γ έῤῥος, τόπος, καὶ ποταμὸς προσεχὴς τῷ Βορυσθένει. ὁ πολίτης, γέῤῥιος.

Γ ετία, ἡ χώρα τῶν Γετῶν. γέτης γὰρ τὸ ἐθνικὸν, οὐ τὸ κύριον. ἔστι δὲ Θρακικὸν ἔθνος. ἔστι καὶ θηλυκῶς γέτης. οὕτω γοῦν ἐκαλεῖτο ἡ γυνὴ τοῦ Φιλίππου τοῦ Ἀμύντου. καὶ κτητικῶς λέγεται γετικὸς, ἀφ' οὗ Κρίτωνος γετικά. καὶ θηλυκὸν, γετική. νόμοι δὲ γετῶν

FREIE UNIVERSITÄT BERLIN UNIVERSITÄTSBIBLIOTHEK

τὸ ἐπισφάζειν τὴν γυναῖκα τῷ ἀνδρὶ, καὶ ὅταν ἐπικηρυκεύονται, κιθαρίζειν. ἀῤῥιανὸς δὲ γετηνοὺς αὐτούς φησι.

Γ ἔφυρα, πόλις βοιωτίας. τοὺς αὐτοὺς δέ φασι καὶ ταναγραίους, ὡς στράβων, καὶ ἑκαταῖος. ἀφ' οὗ καὶ γεφυραῖα ἡ δηώ.

Γ εφυρώτη, πόλις λιβύης. τὸ ἐθνικὸν, γεφυρωταῖος, ἢ γεφυρωτίτης, διὰ τὸν τύπον.

Τὸ γάμμα μετὰ τοῦ ἦτα.

Γ ῆ, ἀπὸ τοῦ γέα κραθέν. ἀφ' οὗ τὸ γέϊος κτητικὸν πλεονασμῷ τοῦ γ. ἢ παρὰ τὸ γῆ, γέγειος. ἀφ' οὗ καὶ γηΐτης ὁ αὐτόχθων, καὶ γῆν οἰκῶν. καὶ γήϊνος μετουσιαστικόν. λέγεται καὶ γήπεδον τὸ πρὸς τοῖς οἴκοις ἐν πόλει κηπίον, ὅπερ οἱ ἀττικοὶ διὰ τοῦ α. φασὶ δωρίζοντες. διαφορὰ δὲ γήπεδον οἰκοπέδου. οἰκόπεδον γὰρ οἰκίας ἐστὶ κατεῤῥιμμένης ἔδαφος. γήπεδον δὲ, τὸ ἐν ταῖς πόλεσι προσκείμενον ταῖς οἰκίαις κηπίον. ἀπὸ τοῦ γῆ, γαῖα. ὁ οἰκήτωρ, γαιάτης. καὶ γαιήϊος κτητικόν. καὶ θηλυκὸν, γαιηϊάς. καὶ τοῦ γαῖα, καὶ τοῦ γραῖα βραχὺ τὸ α, ὅτι δισύλλαβα, ὡς μαῖα, φαῖα.

Γ ήθουσα, πόλις λιβύης. τὸ ἐθνικὸν, γηθουσσαῖος, ὡς σκοτουσσαῖος. ἢ γηθούσιος, ὡς σιτυούσιος. ἢ γηθουσίτης διὰ τὸ ἐπιχώριον.

Γ ηλὺς, ἔθνος, οὗ μέμνηται ἀσίννιος. κουάδρατος ἐν πρώτῳ παρθικῶν. ὀξύνεται δέ.

Γ ήρεια, πόλις ἰνδική, τελοῦσα ὑπὸ Βηριάδῃ τῷ βασιλεῖ τῶν ἰνδῶν, πρὸς διόνυσον πολεμοῦντι. τὸ ἐθνικὸν, γηρειάτης.

Τὸ γάμμα μετὰ τοῦ ἰῶτα.

Γ ιγγλυμώτη, φοινίκης πόλις, ὡς ἑκαταῖος.

Γ ίγωνος, πόλις θρᾴκης προσεχὴς τῇ παλλήνῃ. ὁ πολίτης, γιγώνιος, ἀπὸ Γίγωνος τοῦ αἰθιόπων βασιλέως, ὃς διονύσῳ ἡττήθη. ἀρτεμίδωρος ὁ ἐφέσιος γιγωνίδα ταύτην φησί.

Γ ίλδα, πόλις λιβύης. τὸ ἐθνικὸν, γιλδίτης, ὡς ἀλέξανδρος ἐν τρίτῳ λιβυκῶν.

Γ ιλιγάμμαι, ἔθνος λιβύης. ἡρόδοτος δ.

Γ ινδάνες, ἔθνος λιβυκὸν λωτοφάγον, οἳ τὸν καρπὸν μόνον τοῦ λωτοῦ ἐσθίοντες, ζῶσι.

Γ ίνδαρα, κώμη πρὸς τῇ ἀντιοχείᾳ. τὸ ἐθνικὸν, γινδαρεύς. κουάδρατος δὲ γινδάρους ἔφη.

Γ ίττα, πόλις παλαιστίνης. πολύβιος ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν, γιτταῖος.

Τὸ γάμμα μετὰ τοῦ λάμβδα.

Γ λαῦις, ποταμὸς κύμης, ὡς λυκόφρων, Γλαῦις δὲ ῥείθροισι δέξεται τέγγων χθόνα. καὶ ἀπ' αὐτοῦ ἰχθὺς γλαῦις, ὁ καλούμενος γλαῦιος. ἔστι καὶ ἰβηρίας ποταμός. ἔστι καὶ ἰταλίας τρίτος ποταμὸς περὶ τὸν τίβριν ποταμόν.

Γ λαυκία, πολίχνιον ἰωνίας. τὸ ἐθνικὸν, γλαυκιεὺς, καὶ γλαυκιώτης. βέλτιον δὲ γλαύκιος, ὡς τῆς πλακίας, πλάκιος.

Γ λαύκου δῆμος, ἐν λυκίᾳ, ὡς ἀλέξανδρός φησιν, ἀπὸ Γλαύκου τοῦ ἥρωος. ὁ δημότης, γλαυκοδήμος.

Γ λαφυραὶ, πόλις θετταλίας. ὅμηρος, βοίβην, καὶ γλαφυράς. ἀπὸ Γλαφύρα υἱοῦ μάγνητος κτίσαντος. τὸ ἐθνικὸν, γλαφυρεύς. ἔστι καὶ κώμη κιλικίας, ἀπέχουσα ταρσοῦ τριάκοντα στάδια πρὸς δύσιν.

Γ λῆτες, ἔθνος ἰβηρικὸν μετὰ τοὺς κυνήτας. ἡρόδωρος δεκάτῳ.

Γ λισᾶς, πόλις βοιωτίας. ἢ ἀπὸ Γλίσωνος, ἢ ἀπὸ Γλίσαντος. τὸ ἐθνικὸν, γλισάντιος.

Τὸ γάμμα μετὰ τοῦ νῦ.

Γ νῆς, ἔθνος οἰκῆσαν τὴν ῥόδον. ἔνθεν καὶ γνῆτες οἱ ἰθαγενεῖς. λέγεται δὲ καὶ μετὰ τοῦ ι. ἴγνητες.

Τὸ γάμμα μετὰ τοῦ ο μικροῦ.

Γ οαρήνη, χώρα ἀραβίας, πλησίον δαμασκοῦ. λέγεται καὶ γοαρέια.

Γ ολγοὶ, πόλις κύπρου, ἀπὸ Γόλγου τοῦ ἡγησαμένου τῆς σικυωνίων ἀποικίας. λέγεται καὶ γόλγον οὐδετέρως, ἀφ' οὗ γολγία ἡ ἀφροδίτη. τὸ ἐθνικὸν, γόλγιος, καὶ γολγία, καὶ γολγηΐς.

Γ ομολίται, ἔθνος τῆς ἰδουμαίας. ἢ ἀπὸ Μαλίκου, ἀμαληκίτης ἐκλήθη.

Γ όμφοι, πόλις θετταλίας. τὸ ἐθνικὸν ὅμοιον. εὕρηται δὲ γομφεύς.

Γ όνδραι, θρᾴκιον ἔθνος. λέγεται δὲ παρ' ἡροδότῳ κίνδρα, καὶ ῥόνδα.

Γ ονεῖς, πόλις θρᾴκης. οἱ κατοικοῦντες ὁμοίως. οὓς ἀδριανουπολίτας τούτους ἐκάλεσαν.

Γ όννοι, πόλις περραιβίας, ἀπὸ Γουνέως κληθεῖσα τοῦ ἀπογόνου κύφου, ὡς φησιν ὅμηρος. ὁ πολίτης, γόννιος. καὶ γοννία, ἡ γυνὴ, καὶ ἡ χώρα. γράφεται δὲ καὶ μετὰ τοῦ υ. τοὺς δὲ, περραιβοὺς καλοῦντας ἑαυτούς. καὶ γόννον διὰ δύο ν τὴν πόλιν. γόνα γὰρ οἱ αἰολεῖς τὰ γόνατα. τὸ ἐθνικὸν, καὶ γονατὰς, ὃ καὶ παράλογον διὰ τὸν τόνον, καὶ γόννιος.

Γ ονοῦσσα, πόλις περραιβίας. τὸ ἐθνικὸν, γονουσσαῖος.

Γ όραμα, χώρα τῶν σκηνιτῶν ἀράβων. οἱ οἰκήτορες, γοραμηνοί.

Γ οργίππια, πόλις ἰνδικῆς. τὸ ἐθνικὸν, γοργιππιεύς.

Γ όργυα, τόπος ἐν σάμῳ, ὡς ἱστορεῖ δοῦρις. ἐν ᾧ διόνυσος γοργυεὺς τιμᾶται.

Γ ορδίειον, πόλις τῆς μεγάλης φρυγίας πρὸς τῇ καππαδοκίᾳ, ἀπὸ Γορδίου τοῦ πατρὸς μίδου. τὸ ἐθνικὸν γορδιεύς, ὡς κωπάειον, κωπαιεύς, δρυάλειον, δρυαλεύς. ἐχρῆν δ' ἰσοσύλλαβα. ἀλλὰ τὰ παρὰ τοῖς φρυξὶ σημειώδη.

Γ ορδίου τεῖχος, πόλις μίδου, κτισθεῖσα ἀπὸ τοῦ παιδὸς γορδίου. ὁ πολίτης, γορδιτειχίτης.

Γορδυαῖα,

Γορδυαῖα, χώρα περσική, ἀπὸ Γόρδυος Τριπτολέμου παιδὸς, τοῦ κατὰ ζήτησιν Ἰοῦς ἐξ Ἄργους ἐλθόντος εἰς Συρίαν. ἔστι δὲ ἡ πόλις παρὰ τὰς ἐκβολὰς τοῦ Τίγρηδος. τὸ ἐθνικὸν, Γορδυαῖος. καὶ Γορδυαῖα ἡ χώρα, καὶ ἡ γυνή. καὶ οὐδετέρως Γορδυαῖα ὄρη. εὕρηται καὶ Γορδύας. καὶ Γορδύχους αὐτούς φασι, καὶ Γόρδυς.

Γορδυνία, πόλις Μακεδονίας. τὸ ἐθνικὸν, Γορδυνιάτης.

Γόρτυν, πόλις Κρήτης. οὕτω δὲ διὰ τοῦ ν. ἀπὸ ἥρωος Γόρτυος. ἐκαλεῖτο δὲ καὶ Λάρισσα. εἶτα, Κρήμνια. καὶ ὕστερον Γόρτυς. φασὶ δὲ τὴν αἰτιατικὴν οἱ μὲν, δισυλλάβως Γόρτυν, οἱ δὲ, τρισυλλάβως. Γόρτυνά τε τειχιόεσσαν. οἱ δὲ, Γόρτυναν, ὡς ἄμυναν.

Γόλθοι, ἔθνος πάλαι οἰκοῦντες ἐντὸς τῆς Μαιώτιδος. ὕστερον δὲ εἰς τὴν ἐντὸς Θρᾴκης μετανέστησαν, ὡς εἴρηταί μοι ἐν τοῖς Βυζαντινοῖς. μέμνηται τούτων ὁ Φωκαεὺς Παρθένιος.

Γοῦνας, κατοικία Συρίας, βαθύγειος, καὶ εὔκαρπος. ὅθεν καὶ τοὔνομα διὰ τὸ γόνιμον. τὸ ἐθνικὸν, Γουναΐτης.

Τὸ γάμμα μετὰ τοῦ ρῶ.

Γραῖα, πόλις ὀρεξίας. ὁ πολίτης, Γραῖος. ἀφαίρεσις γέγονε τῆς ἀρχῆς, ὡς δειχθήσεται ἐν τῷ Ταναγραία.

Γραικὸς, ὁ Ἕλλην ὀξυτόνως, ὁ Θεσσαλοῦ υἱός. ἀφ' οὗ Γραικοὶ οἱ Ἕλληνες. Κεφάλων δὲ καὶ τὸν Γραικὸν ποταμὸν ἐντεῦθεν κληθῆναι. τὸ δὲ Γραῖκος τὸ κύριον, βαρύνεται. τὸ δὲ ἐθνικὸν, ὀξύνεται. λέγεται καὶ Γραικίτης, καὶ Γραικὶς τὸ θηλυκόν. Γραῖκες δὲ παρὰ Ἀλκμᾶνι αἱ τῶν Ἑλλήνων μητέρες, καὶ παρὰ Σοφοκλεῖ ἐν Ποιμέσιν. ἔστι δὲ ὁ μεταπλασμὸς, ἢ τῆς γραῒξ εὐθείας κλίσις ἐστίν. εἰσὶ δὲ καὶ Γραῖκες Αἰολέων, οἱ τὸ Πάριον οἰκοῦντες.

Γράμμιον, πόλις ἐν Κρήτῃ. οἱ πολῖται, Γραμμῖται, καὶ Γραμμίτιοι. εἰσὶ δὲ Γραμμῖται πρὸς τῇ Κελτικῇ ἔθνος.

Γράστιλλος, ἀρσενικῶς, πόλις Μακεδονίας, ὃ καὶ διὰ τοῦ π γράφεται κατὰ τὴν πρώτην συλλαβὴν, Πράστιλλος, ὡς εὔπολις.

Γρησῖνος, πόλις Χερρονήσου. τὸ ἐθνικὸν, Γρησίνιος, ὡς Ἀνδροτίων ἕκτῳ Ἀτθίδος.

Γρηστωνία, χώρα Θρᾴκης πρὸς τῇ Μακεδονίᾳ. Θουκυδίδης δευτέρᾳ. ἀπὸ Γράστου τινός. τὸ ἐθνικὸν, Γραστῶνες.

Γρύνοι, πολίχνιον Μυριναίων, οὗ καὶ ἱερὸν Ἀπόλλωνος, καὶ μαντεῖον ἀρχαῖον, καὶ ναὸς πολυτελὴς λευκοῦ λίθου, ἐν ᾧ τιμᾶται. Ἑκαταῖος δὲ τὴν πόλιν Γρύνειαν καλεῖ. τὸ ἐθνικὸν, Γρυνεύς. καὶ Γρυνὶς τὸ θηλυκόν. λέγεται καὶ Γρύνειος Ἀπόλλων, ὡς Παρθένιος δηλῶ. καὶ Γρυνήϊος, καὶ Γρυνικὸς κτητικόν. καὶ οὐδετέρως, τὰ Γρύνεια.

Γρώνεια, πόλις Φωκίδος. τὸ ἐθνικὸν Γρωνεύς, ὡς τῆς Γρωνείας τὸ Γρωνεύς. ἡ γὰρ διὰ τοῦ υ, τῆς τετράδος ἐστί.

Τὸ γάμμα μετὰ τοῦ υ ψιλοῦ.

Γύαρος, νῆσος μία τῶν Σποράδων. θηλυκῶς λέγεται. Ἀντίγονος δ' ὁ Καρύστιός φησιν, ὅτι ἐν ταύτῃ οἱ μύες διαβρώσκουσι τὸν σίδηρον, καὶ ὅτι ἡ ἄχερδος ἐκεῖ θανάσιμόν ἐστι, καὶ κἂν εἰς ἄλλο δένδρον πήξῃ, ἀπομαραίνει. ποιεῖ δὲ τοῦτο καὶ τῆς θαλαττίας τρυγόνος τὸ κέντρον. καὶ τοὺς ὀδόντας κατασήπει προσαπτόμενον. τὸ ἐθνικὸν, Γυαρεύς.

Γύζαντες, ἔθνος Λιβυκὸν, ὡς καὶ Ἡρόδοτος ἐν τετάρτῃ, καὶ Ἡρωδιανός.

Γύθειον, πόλις Λακωνική. Λυκόφρων, Δισσὰς Σαλμυδησσίας, κἀπὶ Γυθείους πλάκας. τινές φασιν ὅτι Πύθιον ἐκαλεῖτο, κακῶς. ὁ πολίτης, Γυθεάτης. καὶ ἐκ τόπου, Γυθείηθεν ἐθνικόν.

Γυλάκεια, οὕτως ἐκαλεῖτο ἡ τῆς Ἰλλυρίας Ἀπολλωνία, ἀπὸ Γύλακος Κορινθίου. τὸ ἐθνικὸν, Γυλακεύς.

Γυμνησίαι, δύο νῆσοι περὶ τὴν Τυρσηνίδα, οὐχ ὥς τινες μία. Λυκόφρων, οἱ δ' ἀμφικλύστους χοιράδας Γυμνησίας σισυρνοδῦται καρκίνοι πεπλωκότες, ἄχλαινον ἀμπρεύσουσι νήλιπον βίον. καὶ ἀρσενικῶς. ἐθνικὸν, Γυμνήσιος, Γυμνασία. καὶ Γυμνησὶς, ἀπὸ τῆς γύμνητος γενικῆς, τροπῇ τοῦ τ εἰς σ. ἐκλήθη δὲ τὸ ἔθνος, ὅτι τῷ θέρει γυμνοὶ μένουσιν. ἐκλήθησαν δὲ καὶ Βαλιαρίδες, ἀφ' οὗ Βαλιαρεὺς τὸ ἐθνικὸν, ὅ ἐστι σφενδονίτης.

Γυναικόσπολις, πόλις Φοινίκων. ὁ πολίτης, Γυναικοπολίτης. ἔστι καὶ ἄλλη Αἰγύπτου. Ἀρισταγόρας δὲ οὐ πολλῷ νεώτερος Πλάτωνός φησιν ὅτι οὕτως ὠνομάσθη διὰ τρεῖς αἰτίας, ἢ ὅτι πολεμίων ἐπιπεσόντων, καὶ τῶν ἀνδρῶν ἐν γεωργίαις ἀπόντων, τὰς γυναῖκας κρατῆσαι τοῦ πολέμου, ἢ ὅτι γυνή τις Νομάρχου, πειρωμένων τῶν παίδων αὐτῆς ὑπὸ τοῦ βασιλέως, ἅμα τοῖς παισὶν ὁπλισαμένη, κατεδίωξε τὸν βασιλέα, καὶ νικῆσαι, ἢ ὅτι τῶν Ναυκρατιτῶν ἀναπλεόντων κατὰ τὸν ποταμὸν, καὶ κωλυομένων ὑπὸ τῶν λοιπῶν Αἰγυπτίων ἀποβαίνειν, οὗτοι καταπλαγέντες ὑπὸ ἀνανδρίας οὐ διεκώλυσαν. ταῦτα καὶ Ἀρτεμίδωρός φησιν. ἔστι καὶ Γυναικῶν λιμὴν περὶ τὴν λεγομένην Φεδάλειαν, τὴν μεταξὺ Ἀνάπλου, καὶ τοῦ Λεωσθενείου. ἔνθα φασὶ τὴν γυναῖκα Βύζαντος Φιδάλειαν διώξασαν ἅμα ταῖς γυναιξὶ τοὺς μετὰ Στροίβου τοῦ ἀδελφοῦ Βύζαντος τῇ πόλει ἐπιθεμένους τῶν πολιτῶν μὴ παρόντων νικῆσαι, διώξασαν μέχρι τοῦ λιμένος, καὶ οὕτως ὀνομάσαι. ἐθνικὸν τοῦ λιμένος, Γυναικολιμενίτης.

Γύρτων, πόλις τῆς Θετταλίας, καὶ Περραι-

βίας, ἣν ὅμηρος γυρτώνην καλεῖ, ὡς ἰτώνην, καὶ ἴτωνα, ἀπὸ Γύρτωνος τοῦ φλεγύου ἀδελφοῦ, ὃς ταύτην ἔκτισεν. ὁ πολίτης, γυρτώνιος.

Γ υψηΐς, νῆσος αἰθιοπίας, ὡς μαρκιανὸς ἐν περίπλῳ πρώτῃ. τὸ ἐθνικὸν, γυψηΐτης.

Τὸ γάμμα μετὰ τοῦ ω μεγάλου.

Γ ωγαρηνὴ, χωρίον μεταξὺ κόλχων, καὶ ἰβήρων τῶν ἀνατολικῶν. τὸ ἐθνικὸν, γωγαρηνός.

## ΑΡΧΗ ΤΟΥ ΔΕΛΤΑ ΣΤΟΙΧΕΙΟΥ.

Τὸ δέλτα μετὰ τοῦ ἄλφα.

Δ Δαι, σκυθικὸν ἔθνος. εἰσὶ δὲ νομάδες. λέγονται καὶ δάσαι μετὰ τοῦ σ.

Δ αδίκαι, ἔθνος περσικόν. ἡρόδοτος ἑβδόμῃ.

Δ αδόκερτα, φρούριον μέγα τῆς ἀρμενίας, μεταξὺ μηδίας. τὸ ἐθνικὸν, δαδοκερτηνὸς τῷ ἐπιχωρίῳ τύπῳ.

Δ αίδαλα, πόλις τῆς ῥόδου, ἢ χωρίον. στράβων ιδ. ἔστι καὶ ὄρος τῆς λυκίας τὰ δαίδαλα. ἡ δὲ πόλις, ἀπὸ Δαιδάλου τοῦ ἰκάρου, ὃ ἐν λυκίᾳ. διά τινος γὰρ ἕλους ἐπορεύετο διὰ τοῦ νίνου ποταμοῦ. καὶ ὑπὸ χερσύδρου δηχθέντα, τελευτῆσαι, καὶ ἐκεῖ ταφῆναι, καὶ κτισθῆναι πόλιν φησὶν ἀλέξανδρος ἐν λυκιακοῖς. ἔστι καὶ ἰνδικὴ, καὶ κρήτης ἄλλη. ὁ πολίτης, δαιδαλεύς, ὡς σαμόσατα, σαμοσατεύς. καὶ δαιδαλὶς τὸ θηλυκόν.

Δ αιδάλεια, πόλις ἰταλίας, Δαιδάλου κτίσμα, ἥτις ἰσλίαν νῦν καλεῖται, ῥωμαίων ἀρχόντων κληρουχήσαντος. τὸ ἐθνικὸν, δαιδαλεύς.

Δ αιδαλίδαι, δῆμος τῆς κεκροπίδος φυλῆς. ὁ δημότης, δαιδαλίδης. τὰ τοπικὰ, ἐκ δαιδαλιδῶν.

Δ ακία, χώρα πλησίον βορυσθένους. οἱ (δάκοι) δάκοι, οὓς καλοῦμεν δάους. γέτας γὰρ τοὺς πρὸς τὸν πόντον κεκλιμένους, καὶ τὴν ἕω. δάους δὲ, τοὺς πρὸς τὰναντία πρὸς γερμανίαν, καὶ τὰς τοῦ ἴστρου πηγάς. καὶ παρ᾽ ἀττικοῖς δὲ, τὰ τῶν οἰκετῶν ὀνόματα, δάοι, καὶ γέται.

Δ άλμιον, πόλις δαλματίας, μεταξὺ ἰλλυρίας, καὶ ἰταλίας. τὸ ἐθνικὸν ὅμοιον, ἢ δαλμιεύς. ἴδιον δὲ τῶν δαλματέων τὸ διὰ ὀκταετηρίδος τῆς χώρας ἀναδασμὸν ποιεῖσθαι. Ἀππιανὸς δὲ τὴν πόλιν δελμίνιον καλεῖ. κουάδρατος δὲ, δάλμιον. φασὶ δὲ αὐτοὺς καὶ δαλμάτας.

Δ αμαῖοι, ἔθνος παρὰ τοῖς ἰχθυοφάγοις, ὡς ἀπολλόδωρος.

Δ αμασκὸς, πόλις συρίας, μεσόγειος, ὑπέρθεν φοινίκης, περὶ τὸν βαρδίνην ποταμόν. ὠνομάσθη δὲ, ὅτι εἷς τῶν γιγάντων Ἀσκὸς ὄνομα, ἅμα λυκούργῳ δήσας τὸν διόνυσον, ἔῤῥιψεν εἰς τὸν ποταμόν. ὃν λύσας ἑρμῆς, τὸν ἀσκὸν τοῦ δέρματος ἐγύμνωσεν. ὅθεν πρὸς οἶνον ἐπιτήδειον τὸ δέρμα. οἱ δὲ, ὅτι Δαμασκὸς ἑρμοῦ παῖς, καὶ νύμφης Ἀλιμήδης ἐξ ἀρκαδίας εἰς συρίαν ἦλθε, καὶ πόλιν ὁμώνυμον ἔκτισεν. ἄλλοι δὲ, ὅτι δαμασκὸς ἐφαντάζετο ἀνὴρ, διονύσου δὲ τὴν συρίαν ἀμπελόφυτον ποιήσαντος, πελέκει ταῦτα ἔκοπτε. διόνυσος δὲ ὀργισθεὶς, ἐδίωξε, καὶ ἐξέδειρε.

ἐπράχθη δαμασκὸς

καὶ οὕτω δαμασκὸς κατὰ παραφθοράν. ὁ πολίτης, δαμασκηνός. καὶ ἡ χώρα, καὶ ἡ πόλις, δαμασκηνή.

Δ ανδάριοι, ἔθνος περὶ τὸν καύκασον, ὡς ἑκαταῖος εὐρώπῃ.

Δ ανθαλῆται, ἔθνος θρακικόν. θεόπομπος μη.

Δ ανούβιον, πόλις περὶ τὴν ῥώμην. τὸ ἐθνικὸν, δανούβιος, ἢ δανουβιεύς.

Δ άνουβις, ἢ δάνουσις, ἴστρος ὁ ποταμὸς, πάλαι ματόας καλούμενος. συμφορᾶς δὲ τοῖς σκύθαις ἐπιπεσούσης, οὕτως ἐκλήθη. ματόας γὰρ λέγεται ἐς τὴν ἑλληνίδα γλῶσσαν ἄσιος, ὅτι πολλάκις περαιούμενοι, οὐδὲν ἐπεπόνθεισαν. ὁ δὲ, δάνουσις ἑρμηνεύεται, ὥσπερ τοῦ ἁμαρτεῖν ἔχων τὴν αἰτίαν.

Δ άονδε, ἔθνος, ἀπὸ Δάονος, ἀπὸ τῆς ἰνδικῆς.

Δ άραψα, πόλις βακτρίων, ὡς στράβων. τὸ ἐθνικὸν, δαραψηνὸς, καὶ δαραψιανός.

Δ άρδαι, ἰνδικὸν ἔθνος, ὑπὸ δηριάδη πολεμήσαν διονύσῳ, ὡς διονύσιος ἐν γ. βασσαρικῶν.

Δ άρδανος, πόλις τρωάδος, ἡ πρότερον τευκρίς. Μνασέας δέ φησιν ὅτι δάρδανος ἐκ σι ἐκ τοῦ νεὼ τῆς ἀθηνᾶς τὸ παλλάδιον ἀράμενος, ἀφίκετο εἰς σαμοθρᾴκην μετὰ Ἁρμονίας, καὶ Ἰάσονος, τῶν ἀδελφῶν. κἀκεῖ διάγοντα, κάδμος ὁ Ἀγήνορος ἐφιλοποιήσατο. καὶ ἀποθανούσης Τηλεφάσσης, γαμεῖ τὴν ἁρμονίαν ὁ κάδμος, καὶ ἀποστέλλει τὸν δάρδανον εἰς τὴν ἀσίαν μετὰ τῶν ἑταίρων πρὸς τεῦκρον τὸν τρῶα. ὁ δὲ τρῶς ἀναγνωρίσας τὸν δάρδανον, δίδωσιν αὐτῷ τὴν θυγατέρα Βάτειαν. καὶ ἀποθνήσκων, τὴν βασιλείαν. καὶ πόλιν ᾤκισε δάρδανος. καὶ δαρδανίαν τὴν χώραν ὠνόμασεν, ἣ τευκρὶς πρότερον ἐκαλεῖτο. αὕτη καὶ δαρδανία, καὶ δαρδανική. καὶ δαρδάνιοι, καὶ δαρδανίδαι.

Δ αρίδνα, πόλις παφλαγονίας, ὡς ἀλέξανδρος ἐν τῷ περὶ αὐτῆς. τὸ ἐθνικὸν, δαριδναῖος, ὡς πύδνα, πυδναῖος.

Δ αραὶ, ὃν ερας φασὶ, φρούριον ἀναστασίου πόλεως, λεγόμενον ὀχυρώτατον. ὁ πολίτης, δαρηνὸς, ὡς σοῦσαρ, σουσαρηνός. δύναται καὶ δαῤῥαῖος. εἰσὶ δὲ δαῤῥαὶ δὲ δύο. ρρ. ἔθνος πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ.

Δ αριστάνη, πόλις περσική. ἔστι δὲ καὶ ἔθνος δαριτῶν.

Δ αρεῖον, πόλις τῆς φρυγίας. τὸ ἐθνικὸν (ταυτῷ λόγῳ τῶν φρυγίων παρὰ μίαν συλλαβὴν, δαρφεύς, ὡς κοτιάειον, κοτιαεύς. τῷ λόγῳ τοῦ ῥοίτειον, καὶ σίγειον, δαρειεύς.

Δ αρσανία, πόλις ἰνδική, ἐν ἧ αὐθημερὸν ἱμάτιον

ἱμάτιον ἱστουργοῦσι γυναικεῖα, ὡς Διονύσιος
βασσαρικῶν ιζ´. οἳ οἱ Δαρσανίην ναῖον πό-
λιν εὐρυάγυιαν, ἔνθα τε πέπλα γυναικεῖα
ἀθηναίης ἰότητι αὐταὶ μάρ κροκόωσιν ἀφυ-
στοπόδων τανύουσαι· αὐταὶ μάρ δ' ἐτάμοντο
ἐρύσαντο. τὸ ἐθνικὸν, Δαρσάνιοι, ὡς
καρμάνιοι, ὑρκάνιοι. μάνιοι.
Δ αρσιοι, ἔθνος θρᾴκιον. ἑκαταῖος εὐρώπῃ.
Δ ασέαι, πόλις ἀρκαδική. παυσανίας ὀγδόῳ.
τὸ ἐθνικὸν, Δασεάτης, ὡς καφυάτης.
Δ ασκύλιον, πόλις καρίας, ἐπὶ τοῖς ὅροις τῆς
ἐφεσίας, ἀπὸ Δασκύλου τοῦ ὑοῦ Περιαύδου.
ἔστι καὶ ἑτέρα πόλις μετὰ τὰ τρωϊκὰ κτισθεῖ-
σα. τρίτη, πόλις ἰωνίας, τὸ μέγα λεγόμενον,
ὡς μεῖζον τῶν ἄλλων. τετάρτη, περὶ βιθυ-
νίαν. πέμπτη, τῆς αἰολίδος, καὶ φρυγίας.
τὸ ἐθνικὸν, Δασκυλίτης, ὡς κύπρος, κυπρί-
της. ἔστι δὲ καὶ Δασκυλῖτις λίμνη, ἢ Δασκυ-
λία. ὥστε καὶ Δασκύλιος ὁ πολίτης. εὔ-
δαιμος δὲ καὶ ἀρκάδιος διὰ τῆς ει διφθόγ-
γου γράφουσι τὴν λι συλλαβήν. λέγεται
καὶ Δασκυλὶς θηλυκόν.
Δ ασκων, σικελίας χωρίον. φίλιστος ἐκλήθη σι-
κελῶν, εἰς τὸν πλημμύριον, καὶ Δάσκωνα.
τὸ ἐθνικὸν, Δασκώνιος, ἢ Δασκωνίτης.
Δ ασσαρῆται, ἔθνος ἰλλυρίας. πολύβιος ὀγδόῳ.
καὶ τὸ θηλυκὸν Δασσαρῆτις. λέγονται καὶ Δασ-
σαρηνοὶ, καὶ Δασσαρῆτιοι, καὶ Δασσαρατῖνος.
Δ ᾶτον, πόλις θρᾴκης. ἡρόδοτος πέμπτῃ.
δὲ ἀγαθῶν φασιν. οἱ οἰκοῦντες, Δατήνιοι.
τὸ ἐθνικὸν, Δατηνός.
Δ ατύλεπτοι, ἔθνος θρᾴκης. ἑκαταῖος εὐρώπῃ.
Δ αύη, βαρυτόνως, πόλις ἀραβίας. τὸ ἐθνι-
κὸν, Δαυαῖος, ἢ Δαυηνὸς, ᾧ τύπῳ καλοῦ-
σιν ἄραβες. δύναται καὶ Δαυίτης.
Δ αυλίδα, πόλις φωκίδος, ἐν ᾗ τὰ κατὰ πρό-
κνην, καὶ φιλομήλην. ὅμηρος, Δαυλίδα, καὶ
πανοπῆα. Δαῦλον δὲ τὸ δασύ. δασεῖα γὰρ ἡ
πόλις. οἱ δ' ὕστερον, Δαυλίαν φασί. παυσανίας δὲ
δεκάτῳ, ἀπὸ νύμφης Δαυλίδος. διὸ λέγε-
ται καὶ Δαυλίς. ὁ πολίτης, Δαυλιεύς. Δαυ-
λιεῦσι δὲ ἱερὸν ἀθηνᾶς, καὶ ἄγαλμα ἀρχαῖ-
ον. τὸ θηλυκὸν, Δαυλιάς. λέγεται καὶ Δαύ-
λιος. ἀπὸ δὲ τοῦ Δαυλὶς, τὸ ἐθνικὸν, Δαυλί-
δος. ὀξυντέον τὸ Δαυλίς. τὸ δ' αὖλος, αἰολικῶς.
Δ αύνιον, πόλις ἰταλίας. λυκό βαρύνεται.
φρων, ὑπὲρ λακίνου, Δαυνίου τ' ᾠκισμένη.
τὸ ἐθνικὸν, Δαύνιοι. καὶ Δαυνία τὸ θηλυκὸν,
καὶ Δαυνικὴ κατὰ συγκοπὴν, ἀπὸ τοῦ Δαυ-
νιάτου. καὶ Δαυνιατικός. ἔστι καὶ Δαύνιον
τεῖχος θρᾴκης. ὁ πολίτης, Δαυνιοτειχίτης.
Δ αύσαρα, πόλις περὶ ἔδεσσαν. ὁ πολίτης, Δαυ-
σαρηνός, ὡς ἀναρηνὸς, ἀδαρηνός.
Δ άφνη, προάστειον ἐπισημότατον τῆς ἕω ἀντι-
οχείας μητροπόλεως. τὸ ἐθνικὸν, Δαφνίτης.
καὶ Δαφνῖτις κτητικόν. ἔστι καὶ ἄλλη Δάφνη
λυκίας χωρίον. ἔστι καὶ ἄλλη πλησίον πηλουσίου,
ὅτι παρὰ τὸ ἐκεῖ πολλῶν φυομένων δαφνῶν.
οἱ οἰκοῦντες, Δαφναῖοι. ἔστι καὶ λιμὴν Δά-
φνη φαινομένη ἐπὶ τῷ στόματι τοῦ πόντου, ἐν
δεξιᾷ ἀναπλέοντι. ἔστι καὶ προάστειον Δά-
φνη ἐν τῷ στόματι τοῦ πόντου, ἐν ἀριστερᾷ, ἐπὶ
τοὺς ἀνάπλουν ἀνιοῦσιν, ὃ λέγεται σέργιον.
Δ αφνοῦς, φωκικὴ πόλις, ἀρσενικῶς λεγομέ-
νη. ὁ πολίτης, Δαφνούντιος, ἢ Δαφνούσιος.
καὶ θηλυκῶς Δαφνουσίς. Δαφνοῦντα δὲ αὐτὴν
φησιν εὐφορίων. τὸ ἐθνικὸν, Δαφνουσαῖος, ἢ Δα-
φνούσιος. ἔστι δὲ καὶ Δαφνουσὶς λίμνη πλησίον τοῦ
ὀλύμπου τοῦ βιθυνοῦ. ἔστι καὶ δῆμος πλησίον τοῦ
κῶ, ὁ Δαφνοῦς λεγόμενος. καὶ δημότης Δα-
φνούσιος. ἔστι καὶ Δαφνούδιον πρὸς τῷ ῥηγίῳ,
πλησίον τῆς θρᾳκῶν γῆς. ἔστι καὶ αἰγύπτου
Δ αχαρηνοὶ, ἔθνος ἀραβίας, ἀπὸ να κώμη.
βάτου προσαγορευθὲν ναβαταῖον. σημαί-
νει δὲ τὸ Δαχαρηνοὶ ἀρσενικῶς.

Τὸ δέλτα μετὰ τοῦ ε ψιλοῦ.

Δ έδμασα, ὡς πήγασα, πόλις καρίας. ὁ πολί-
της, Δεδμασεύς, ὡς πηγασεύς.
Δ εσιλοὶ, ἔθνος θρᾳκικόν. ἑκαταῖος εὐρώπῃ.
Δ ειπνιὰς, κώμη θεσσαλίας περὶ λάρισσαν,
ὅπου φασὶ τὸν ἀπόλλωνα δειπνῆσαι πρῶ-
τον, ὅτε ἐκ τῶν τέμπεων καθαρθεὶς, ὑπέστρε-
ψε. καὶ τῷ παιδὶ τῷ διακομιστῇ τῆς δάφνης
ἔθος εἰς τήνδε παραγενομένῳ δειπνεῖν. καλ-
λίμαχος τετάρτῃ, Δειπνιὰς ἔνθεν μιν δε-
δέχαται. τὸ ἐθνικὸν, Δειπνιεύς, ὡς ἀφροδι-
σιεὺς, καὶ ὀρθωσιεύς.
Δ ειράδες, δῆμος τῆς λεοντίδος φυλῆς, ἀπὸ
Δειράδου τινός. ὁ δημότης, Δειραδιώτης.
Δ ειρὴ, ἄκρα καὶ πόλις ὁμώνυμος πρὸς τῇ αἰ-
θιοπίᾳ. στράβων ιε. ἔστι καὶ πόλις ἀθηναί-
ων συμμαχική. τὸ ἐθνικὸν, Δειραῖος.
Δ εκέλεια, δῆμος τῆς ἱπποθοωντίδος φυλῆς.
ἀπὸ τοῦ ἡγησαμένου τοῖς διοσκούροις εἰς ἀ-
φίδνας, ὡς ἡρόδοτος ἐννάτῳ. ὁ δημότης, Δε-
κελειεύς. τὸ τοπικὸν, Δεκελειᾶθεν. τὰ γὰρ
ἀπὸ ὀξυτόνων εἰς α, ἢ εἰς η, γινόμενα διὰ τοῦ
θεν, ἢ αθεν, προπερισπᾶται. παρὰ δὲ
καλλιμάχῳ, Δεκελειόθεν. Δεκελειάζε. Δεκε-
Δ εκέντιοι, ἔθνος παννονίας, ἀπὸ Δε λάσσι-
κεντίου τοῦ μάγνου παιδὸς, μαγνεντίου δ'
ἀδελφοῦ. τὸ θηλυκὸν, Δεκεντιὰς, ὡς παρ-
θένιος ὁ φωκαεύς.
Δ εκῖντον, πόλις ἰταλίας. τὸ ἐθνικὸν Δεκῖ-
νται, ὡς ἀρτεμίδωρος ἐν α γεωγραφουμέ-
Δ ελματία, ἰταλίας χώρα. οἱ οἰκήτο νων.
ρες, Δαλματεῖς, καὶ Δαλμάται.
Δ έλτα, πόλις πρὸς τῇ συρίᾳ, καὶ νῆσος αἰ-
γύπτου, ὡς ἔφορος, κατ' αἰγυπτίους κα-
λουμένη πτίμυρις, ἀπὸ τῆς τοῦ γράμματος
ὁμοιότητος. ἐθνικὸν τῆς νήσου, Δελτίτης.
τῆς δὲ πόλεως, Δελτηνὸς τῷ ἐγχωρίῳ τύ-

τῳ· οὗ γοῦν ἐνετύχομεν.
Δελφοί, πόλις ὑπὸ τοῦ Παρνασσοῦ, πρὸς τῇ
Φωκίδι, ἔνθα τὸ ἄδυτον ἐκ πέντε κατεσκεύα-
σται λίθων, ἔργον Ἀγαμήδους, καὶ Τροφωνίου.
ἔστι καὶ Δελφοῦσα τοῦ τόπου κρήνη. τὸ ἐθνικὸν,
ὁμωνύμως τῇ πόλει. τὸ θηλυκὸν, Δελφίς.
καὶ κτητικὸν, Δελφικός. ἐκλήθησαν δὲ Δελφοὶ, ὅ-
τι Ἀπόλλων συνέπλευσε δελφῖνι εἰκασθείς. καὶ
ἵδρυται Ἀπόλλωνι ἱερόν. ἔστι καὶ Δελφουσία
πόλις Ἀρκαδίας, ὡς Ἀνδροτίων ἐν β. Ἀτθίδος.
ἐθνικὸν, Δελφουσιάτης τῷ τύπῳ τῆς χώρας.
Δελφίνιον, φρούριον Χίων, ὡς Θουκυδίδης
ὀγδόῃ. τὸ ἐθνικὸν, Δελφίνιος, προκατελεί-
φθη γὰρ ὁ τύπος τοῦ ἐθνικοῦ, ἢ Δελφινιεύς.
Δελθάνιοι, πόλις μία τῶν περιμαχήτων Μεσ-
σηνίων, καὶ Λακεδαιμονίων. τὸ ἐθνικὸν, ὅμοιον.
Δεξαμεναί, μέρος τῆς Ἀμβρακίας, ἀπὸ Δεξα-
μενοῦ τοῦ Μεσόλου παιδὸς, καὶ Ἀμβρακίας
τῆς θυγατρὸς Φόρβαντος τοῦ Ἡλίου. τὸ ἐθνι-
κὸν, Δεξαμεναῖος, ὡς Ἀριστοτέλης φησὶν ἐν τῇ
Ἀμβρακιωτῶν πολιτείᾳ.
Δεξαροί, ἔθνος Χαόνων, τοῖς Ἐγχελέαις προσεχεῖς.
Ἑκαταῖος Εὐρώπῃ, ὑπὸ Ἀμύρον ὄρος οἰκοῦν.
Δέῤῥα, τόπος Λακωνικῆς. τὸ ἐθνικὸν, Δεῤῥαῖ-
ος, ἢ Δεῤῥεάτης. ἀφ' οὗ Δερεάτιδος Ἀρτέμι-
δος ἱερόν. καὶ τὸν δῆμον δὲ Δειράδες φασί. καὶ
τοὺς δημότας Δειρατιώτας, ἀπό τινος ἥρωος.
Δέρβη, φρούριον Ἰσαυρίας, καὶ λιμήν. ὁ κάτοικος,
Δερβήτης, ὡς Σιδήτης, Πυλήτης. λέγεται
δ' ἴσως καὶ Δέρβεια. καὶ τὸ ἐθνικὸν, Δερβείτης.
Καπίτων δὲ Δέρβην φησί. τινὲς δὲ Δέλβειαν,
ὅ ἐστι τῇ τῶν Λυκαόνων φωνῇ ἄρκευθος. καὶ
Ἀρκευθηνὴ πόλις.
Δελβίκκαι, ἔθνος πλησίον τῶν Ὑρκανῶν. Ἀ-
πολλώνιος δὲ διὰ τὸ κκ. γράφει. Κτησίας
δὲ Δερβίους αὐτούς φησιν, ἢ Τερβιασούς.
Δέρεα, πόλις Ἀρκαδίας. τὸ ἐθνικὸν, Δερεεύς,
ὡς Ἡραιεύς. Ἀρκαδίας γὰρ ἀμφότεραι.
Δεῤῥαῖοι, θρᾴκιον ἔθνος. Ἡρόδοτος Δερσαίους
αὐτούς φησι.
Δέρτων, πόλις Λιγύρων. Ἀρτεμίδωρος ἐν ἐ-
πιτομῇ τῶν ια. τὴν καλουμένην Δέρτου-
ναν πόλιν. τὸ ἐθνικὸν, Δερτώνιος, ὡς Αὐσώ-
(νιος.

Τὸ δέλτα μετὰ τοῦ ἦτα.

Δηλία, πόλις Καρίας. τὸ ἐθνικὸν, Δηλιεύς,
τῷ λόγῳ τῶν Καρικῶν.
Δήλιον, πολίχνιον Βοιωτίας ἐν Τανάγρᾳ, καὶ
ἱερὸν Ἀπόλλωνος. τὸ ἐθνικὸν, Δηλιεύς, ὡς
(Σουνιεύς.
Δῆλος, νῆσος μία τῶν Κυκλάδων.
Δῆλον ἐκύκλωσαν, καὶ οὔνομα Κυκλάδες
εἰσίν. ἢ παρὰ τὰς γονὰς, ἢ μαντείας. ἱερὸν
γὰρ Δῆλος τοῦ Ἀπόλλωνος τοῦ θεοῦ πρῶτον ἐν αὐ-
τῇ γενομένου. ἢ διὰ τὰς μαντείας δηλοῦσαν τὰ
δυσεύρετα. ἐκαλεῖτο δὲ Κύνθος, ἀπὸ Κύν-
θου τοῦ Ὠκεανοῦ. καὶ Ἀπόλλων Κύνθιος. καὶ Ἀστε-
ρία, καὶ Πελασγία, καὶ Χλαμυδία. τινὲς δὲ,
ὅτι Ζάκυνθος ἐκαλεῖτο, καὶ κῶς εἰδότες. κέ-
κληκαν δὲ αὐτὴν καὶ Σκυθιάδα Νικάνωρ φη-
σίν. ἐξ αὐτῆς Δήλιος, καὶ Δηλία, καὶ Δηλιάς. καὶ
Δηλίτης, ὁ εἰς Δῆλον ἐρχόμενος χορός. Καλ-
λίμαχος ζίτῳ. καὶ Δηλιακὸς τὸ κτητικόν.
Δημητριάς, πόλις Θετταλίας, ἀπὸ Δημητρίου βα-
σιλεύσαντος. καὶ τὰς ὑπὸ τὸ Πήλιον κειμένας πό-
λεις κατέσκαψε. κεῖται δὲ πρὸς Παγασητικῷ
κόλπῳ, ἐν μέσῳ Εὐβοίας, καὶ Φωκίδος. β, Μακε-
δονίας. γ, Περσίδος, πρὸς Ἀρβήλῳ. τὸ ἐθνικὸν,
Δημητριεύς, ὡς τὸ Ἀφροδισιεύς, Ὀρθωσιεύς.
Δημήτριον, τόπος περὶ Θετταλίαν, περὶ τὸ Κρο-
κωτὸν πεδίον, κείμενος περὶ τὸν Ἄμφρυσον.
ἔστι καὶ πόλις Αἰολίδος. ὁ πολίτης, Δημητριεύς.
Δημόνησος, περὶ Χαλκηδό- (ὡς Δουλιχιεύς.
να νῆσος, ἀπὸ Δημονήσου τινός. ἔχει δ' ὁ τό-
πος κυανοῦ μέταλλον, καὶ χρυσοκόλλου. καὶ
χρυσίον εὑρίσκεται τίμιον. ὀφθαλμῶν τε
φαρμακόν ἐστιν. ὁ νησιώτης, Δημονήσιος.
Δῆμος, παρ' Ἀθηναίοις, ἡ κώμη, καὶ ἡ τοῦ πλή-
θους συλλογή. καὶ τὸν ἕνα δημότην, οὐ μὲν ἔοικε
δῆμον ἐόντα. καὶ τὸν τόπον, Δήμῳ ἐνὶ ζώων.
καὶ τὸ κατὰ πόλιν πλῆθος ἐν τοῖς ἀρίστοις,
Εὐνήν τ' αἰδομένην πόσιος, δήμοιό τε φήμην.
καὶ τὸ Ἑλλήνων πλῆθος ἔξω τῆς ἰδίας χώ-
ρας, Θεὸς δ' ὥς τίετο δήμῳ. καὶ τὸ ὅλον ἔθνος.
καὶ τόπος ἐν Ἰθάκῃ, ὃς καὶ Κροκύλειον. καὶ τὸ
παν          ὡς ἐν Ἱππεῦσι, τὸν δῆμον ἡμῶν
βούλεται διισάνειν. ὁ οἰκήτωρ, δημότης. ἀφ'
οὗ δημόσιος. καὶ δημοτεύομαι, ἀντὶ τοῦ οἰκῶ.
καὶ δήμιος. καὶ δημότερος συγκριτικὸν, οὐκ
ἀποκοπῇ, ἀλλ' ἐκ τοῦ ἐπιθετικοῦ τοῦ, Δῆ-
μον ἐόντα παρεξαγορευέμεν. καὶ δημοτι-
κὸς, καὶ δημοτικώτερος. καὶ δημαγωγὸς, ὁ προ-
εστηκὼς δήμου. καὶ δημοποίητος, ὁ εἰς πε-
ποιημένος δημότης ἐξ ἑτέρου τινὸς, εὐερ-
γεσίας. καὶ σύνθετα, δημηλάτης. Αἰσχύλος
Ἱκέτισιν, Ἄτιμον εἶναι ξὺν φυγῇ δημηλάτου,
ὁ ἀπὸ τοῦ δήμου ἐλαθείς. καὶ δημιόπρατον Ἀ-
ριστοφάνης Ἱππεῦσιν, Ἐπὶ πᾶσα λέξας δη-
μιόπρατ' ὁ βάσκανος.
Δηρα, γῆς Ἰβηρίας, ἧς ὁ Σικανὸς ποταμός. οἱ
οἰκήτορες, Δηραῖοι.
Δηρουσιαῖοι, ἔθνος περσικόν. Ἡρόδοτος α. Πέρσαι
δ' οἱ μὲν, Πενθιάδαι. οἱ δὲ, Δηρούσιοι. οἱ δὲ, Καρμά-
(νιοι.

Τὸ δέλτα μετὰ τοῦ ἰῶτα.

Δία, πόλις Θετταλίας, Αἰακοῦ κτίσμα. β, Θρᾴκης,
κατὰ τὸν Ἄθω. γ, Εὐβοίας. δ, νῆσος καὶ πόλις Πε-
λοποννήσου περὶ τὸ Σκύλαιον. ε, Λυσιτανίας,
περὶ τὸν Ὠκεανόν. ς, Ἰταλίας, περὶ τὰς Ἄλπε-
σιν. ζ, Σκυθίας, περὶ τῷ Φάσιδι. η, Καρίας.
θ, Βιθυνίας, πρὸς τῷ πόντῳ. εἰσὶ καὶ δ. νη-
σίδιαι λεγόμεναι. α, ἡ Νάξος. β, ἡ πρὸς Μιλή-
τῳ. γ, ἡ πρὸς Σαρμοστῷ. δ, κατὰ Κνωσσὸν
Κρήτης. τὸ ἐθνικὸν, Διεύς. καὶ τὸ θηλυκὸν, Δι-
άς. ὅθεν καὶ Διάδες Ἀθῆναι.

Διαβῆται,

Δ ιαβῆται, νῆσοι περὶ σύμην. τὸ ἐθνικὸν, δια

Δ ιαβήτη, νῆσος δυσμικωτέρα (βαταῖος. σαρδοῦς, καὶ κύρνου. ἐθνικὸν, τὸ αὐτό.

Δ ιαδόχου, πόλις περσική, οὐ πόρρω κτησιφῶντος. τὸ ἐθνικὸν τῆς χώρας, διαδοχηνός.

Δ ιάκρεια, φυλὴ τῆς ἀττικῆς, ἣν ᾤκει Πάλλας ὁ Πανδίονος υἱός. οἱ δημόται, διακρεῖς.

Δ ιανεῖς, ἔθνος γαλατικόν. ἐρατοσθένης ἐν ·δ·.

Δ ιὰς, πόλις λυκίας, ἣν διάδης (γαλατικῶν. ἔκτισε. τὸ ἐθνικὸν, διαδεύς.

Δ ίγηροι, ἔθνος θρᾳκικόν. πολύβιος. ιγ.

Δ ίδυμα, οὐδετέρως, τόπος, καὶ μαντεῖον μιλήτου ἀφιδρωμένον διΐ, καὶ ἀπόλλωνι. εἰσὶ καὶ κρῆναι. εἰσὶ καὶ τῆς θετταλίας. εἰσὶ καὶ δύο νησίδια πρὸς τῇ σύρῳ. τὸ ἐθνικὸν, διδυμεύς, καὶ διδυμαῖος κτητικόν. εἰσὶ καὶ ὄρη λαοδικείας ἐγ

Δ ιδύμη, μία τῶν αἰόλου νήσων, ἀπὸ τοῦ σχήματος οὕτως ὀνομασθεῖσα. ἔστι καὶ πόλις λίβυσσα. ὁ πολίτης, διδυμαῖος. ἔστι καὶ κώμη κιλικίας διδυμαῖον, ὀξυτόνως. ἀρτεμίδωρος δὲ δύο νη

Δ ίδυμον τεῖχος, πόλις (σία δίδυμα φησί. καρίας. οἱ πολῖται, διδυμοτειχῖται.

Δ ίζηρος, πόλις ἰλλυρίδος. λυκόφρων, οἳ προβάτειαν νάσον διζήρου πόρου. ἴσως ἀπὸ τοῦ δίζεσθαι τὴν μήδειαν ὀνομασθείς. τὸ ἐθνικὸν, διζήριος, καὶ διζηρίτης, ὡς ἄλωρος, ἀλωρίτης.

Δ ικαία, πόλις θρᾴκης, ἀπὸ Δικαίου τοῦ ποσειδῶνος υἱοῦ. ἔστι καὶ ἑτέρα ἐν τῷ τυρρηνικῷ κόλπῳ, ἰώνων ἄποικος. τὸ ἐθνικὸν, δικαιοπολίτης. ἐν δὲ τῷ τύπῳ, δικαῖος, καὶ δικαιεύς. ἡ αὐτὴ δ' ἐκλήθη δικαιαρχεία, καὶ ποτίολοι.

Δ ικαιαρχεία, πόλις ἰταλίας. ταύτην δέ φασι κεκλῆσθαι ποτιόλους, ἐν ᾗ τὸ συμπόσιον ὁ ἡρωδιανὸς ἔγραψε. ποτίολα δὲ τὰ φρέατα καλοῦσι ῥωμαῖοι. ὀλέρε δὲ, τὸ ὄζειν. δυσώδη γὰρ τὰ φρέατα εἶχε. τὸ ἐθνικὸν, δικαιαρχεὺς ἔδει. ἔστι δὲ καὶ δικαιαρχείτης, ὡς ζελείτης.

Δ ίκτη, ὄρος κρήτης. καλλίμαχος, ἐ τὸ ἐθνικὸν, δικταῖος, καὶ δικταία.

Δ ινδρύμη, πόλις μακεδονίας. τὸ ἐθνικὸν, διν-

Δ ίνδυμα, ὄρη τῆς τρῳάδος, ἀφ' (δρυμαῖος. ὧν δινδυμήνη ἡ ῥέα. ὁ τοπίτης, δινδυμηναῖος. καὶ τὴν θεὸν δινδυμήνην. ὅτι καὶ δινδυμηνός, καὶ δινδυμηνή, καὶ δινδύμιος, καὶ δινδυμία. ἐκ τόπου, δινδυμόθεν.

Δ ιοβούλιον, πολίχνιον πλησίον τοῦ πόντου. τὸ ἐθνικὸν, διοβουλιεύς, ὡς τὰ τῶν φρυγίων πόλεων ἐθνικά.

Δ ιόμεια, οὐδετέρως, δῆμος τῆς αἰγηΐδος φυλῆς. ὁ δημότης, διομιεύς. ἡρακλῆς γὰρ ἐπιξενωθεὶς παρὰ κολύττῳ, ἠράσθη Διόμου τοῦ υἱοῦ αὐτοῦ. οὗ ἀπὸ θεῶ

Δ ιομήδεια, πόλις δαυνίων, κτίσμα Διομήδους. καὶ νῆσος ἡ διομήδεια, ἐν ᾗ οἱ ἐρωδιοὶ χειροήθεις προσπετόμενοι, καὶ εἰς τοὺς κόλπους δύοντες. οὕς φασιν ὅτι τοὺς ἑταίρους διομήδους ἐκεῖ εἰς ὄρνιθας μετασχηματισθῆναι. ἔστι καὶ διομήδεια, πλησίον ἄργους τὸ ἐθνικὸν, διομηδεύς. ἄμεινον δὲ διομήδειος.

Δ ῖον, πόλις εὐβοίας, περὶ τὸ κήναιον. ὅμηρος, Κήρινθόν τ' ἔφαλον, Δίου τ' αἰπὺ πτολίεθρον. ἔστι καὶ μακεδονίας, ἔνθα τὸν ὀλυμπιακὸν ἀγῶνα ἐτέλουν. τὸ ἐθνικὸν, διεύς. παυσανίας δὲ διαστάς φησι. μακεδόνων γὰρ ὁ τύπος. ὀρεσταί. λυγκισταί. γ, ἔσης, πρὸς τῷ ἄθῳ, ὡς θουκυδίδης. δ, θετταλίας. ε, πισιδίας. ς, ἰταλίας. ζ, κοίλης συρίας, κτίσμα ἀλεξάνδρου, καὶ Πέλλα. οὗ τὸ ὕδωρ νοσηρόν. καὶ τὸ ἐθνικὸν, διηνός, ὡς δηλοῖ τὸ ἐπίγραμμα, Νᾶμα τὸ διηνὸν, γλυκερὸν ποτόν. ἣν ἴδε πίῃς, Παύσῃ μὲν δίψης, εὐθὺ δὲ καὶ βιότου. τὸ κτητικὸν, διακός. καὶ τὸ θηλυκὸν, διάς, ὡς δηλοῦσιν αἵ γε πρὸ ταύτην ἦσαν διάδες, ἀθῆναι καλούμεναι. οἱ πολῖται, ἀθηναῖται.

Δ ιονύσια, πόλις ἰταλίας. ἔστι καὶ διονυσιάς. τὸ ἐθνικὸν, διονυσιεύς, ὡς δημητριάς, δημητριεύς.

Δ ιονύσου πόλις, ἐν τῷ πόντῳ, ἡ πρότερον κρουνοί, ἀπὸ τῆς τῶν ὑδάτων καταρροῆς. διονυσιακοῦ δὲ προσπεσόντος ὕστερον ἐκ τῆς θαλάττης τοῖς τόποις ἀγάλματος οὕτως ἐκλήθη. εἰσὶ δὲ καὶ κρουνοὶ χωρίον πρὸς δύσιν τῆς ἐχούσης τὸ βασίλεια πόλεως. β, φρυγίας, κτίσμα Ἀττάλου, καὶ Εὐμένους, ξόανον εὑρόντων διονύσου περὶ τοὺς τόπους. γ, τῆς ἰνδικῆς. δ, λιβύης. ε, θρᾴκης. τὸ ἐθνικὸν, διονυσοπολίτης.

Δ ιόπη, πόλις ἀρκαδίας, ὡς φερεκύδης. τὸ ἐθνικὸν, διοπεύς, ἢ διοπίτης, ὡς σινωπίτης.

Δ ιοσιερὸν, πολίχνιον ἰωνίας, μεταξὺ λεβέδου, καὶ κολοφῶνος. τὸ ἐθνικὸν, διοσιερίτης, ὡς φλέγων ἐν πρώτῃ ὀλυμπιάδι.

Δ ιοσκουρίας, μία τῶν ἐν λιβύῃ λευκῶν νήσων. ὁ νησιώτης, διοσκουρίτης. ἔστι καὶ ἑτέρα περὶ τὸν πόντον, ἥτις σεβαστόπολις καλεῖται. καὶ πρότερον δὲ αἷα ἐκικλήσκετο, ὡς νικάνωρ. ὁ πολίτης, διοσκουριεύς. ἔστι καὶ ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ νῆσος διοσκουρίδου.

Δ ιοσκούρων, κώμη λιβύης, ἐν ᾗ τὸν πάριν ἐπιδιώξαντες, ἥρπασαν τὴν ἑλένην. ἣν ᾤκησαν. ὁ κωμήτης, διοσκουροκωμήτης, ὡς μεγαλοκωμήτης. ἐκ δύο συν παράγωγον.

Δ ιὸς πόλις, ἡ μεγάλη πόλις τῆς αἰγύπτου θηβαΐδος, ἡ λεγομένη ἑκατόμπολις, κτίσμα ὀσίριδος, καὶ Ἴσιδος. ταύτην δὲ ὑπὸ περσῶν ἀφανισθῆναί φησι Κάτων, ὅτι μυριάδας τρισχιλίας κώμας εἶχε, καὶ τριάκοντα. ἀνθρώπων δὲ μυριάδας ἑπτακοσίας. ἀρουρῶν δὲ τὸ π μεμετρημένον τρισχιλίων καὶ ἑπτακοσίων. ἑκατὸν δὲ πύλαι διακεκοσμημέναι, τετρακόσια στάδια τὸ μῆκος. εἰσὶ δὲ καὶ ἄλλαι μικραὶ ἐν αἰγύπτῳ τέσσαρες, ὧν ἐν τῇ μιᾷ πιθασσεύουσι τοὺς κροκοδείλους, ἐν ἄλσοις, καὶ φρέασι σέβοντες, μὴ δὲ τοῦ ποταμοῦ γενό-

μένοι. μὴ δ᾽ εἰ σφόδρα λέγοιντο. ς, λυδίας. ξ, παλαιστίνης. ὁ πολίτης, διοπολίτης.

Δ ιοχίτης, κώμη αἰγύπτου, ἐν ᾗ τέθαπται Ὄσιρις. ἐθνικὸν τὸ αὐτὸ, διοχίτης.

Δ ίπαια, πόλις ἀρκαδίας. τὸ ἐθνικὸν, διπαιεύς. ἀλλὰ καὶ ἡ πόλις οὕτω.

Δ ίρφυς, ὄρος εὐβοίας, ὡς εὐφορίων. τὸ ἐθνικὸν, δίρφυος. καὶ διρφύα ἡ Ἥρα τιμᾶται.

Δ ισοραὶ, ἔθνος θρᾴκιον. ἑκαταῖος εὐρώπῃ.

Δ ίφροι, πόλις φοινίκων. τὸ ἐθνικὸν, ὁμώνυμον.

Δ ιωνία, πόλις, ἣν κατὰ λέγει ταῖς κυπρίαις πόλεσι θεόπομπος πεντεκαιδεκάτῃ Φιλιππικῶν. τὸ ἐθνικὸν, διωνιάτης, ὡς κυδωνιάτης.

Τὸ δέλτα μετὰ τοῦ ο μικροῦ.

Δ όβηρος, πόλις παιωνίας. οἱ πολῖται, δόβηρες.

Δ οίαντος, πεδίον φρυγίας. Ἄκμονα γὰρ καὶ Δοίαντά φασιν ἀδελφούς. ἀφ᾽ ὧν τὸ δοιάντιον, καὶ ἀκμώνιον, ἄλση.

Δ οκίμιον, πόλις φρυγίας, ὡς Εὐδαίμων. τὸ ἐθνικὸν, δοκιμεὺς κατὰ τέχνην. κατὰ δὲ τὴν συνήθειαν, δοκιμηνός. ἀφ᾽ οὗ τὰ μάρμαρα οὕ(τω φασί.

Δ όλβα, πόλις τῆς ἀβιαδηνῆς. ἀρριανὸς ιγ. παρθικῶν. τὸ ἐθνικὸν, δολβαῖος, καὶ δολβηνός.

Δ ολίονες, οἱ τὴν κύζικον οἰκοῦντες, οὓς δολιέας εἶπεν ἑκαταῖος. λέγονται καὶ δολιόνιοι. καὶ θηλυκῶς, δολονία.

Δ ολίχη, νῆσος πρὸς τῇ λυκίᾳ, ὡς καλλίμαχος. ἀλέξανδρος ἐν τῷ λυκιακῷ περίπλῳ δολιχίστην αὐτήν φησιν. ἔστι δὲ καὶ δολιχηνὴ πόλις τῆς κομμαγηνῆς. ἐθνικὸν, δολιχαῖος. ζεύς. οἱ δ᾽ ἐπιχώριοι, δολιχηνοὶ λέγονται. τῆς δὲ λυκιακῆς δολίχης, δολιχεύς. ὁ γὰρ τύπος, συνήθης τοῖς λυκίοις. τῆς δὲ δολιχίστης, (δολιχιστεύς.

Δ όλογκοι, ἔθνος θρᾴκης, ἀπὸ Δολόγκου τοῦ ἀδελφοῦ Βιθυνοῦ. τὸ ἐθνικὸν, δολόγκιος, καὶ δολογκιὰς, καὶ δολογκιάδης.

Δ όλοπες, ἔθνος θετταλῶν ἔγγιστα, ἀπὸ Δόλοπος. ἡ χώρα, δολοπία, καὶ δολοπηΐς.

Δ ομεζούπολις, ἰσαυρίας πόλις. ὁ πολίτης, δομετιοπολίτης.

Δ ονουσία, νῆσος μικρὰ ῥόδου, εἰς ἣν διόνυσος ἐκ νάξου τὴν Ἀριάδνην μετεκόμισε, τοῦ πατρὸς Μίνω διώκοντος αὐτήν. ἔοικεν οὕτω διονυσίαν εἶναι. καὶ κατὰ παραφθορὰν, δονουσία. τὸ ἐθνικὸν, δονούσιος.

Δ ορίειον, φρυγίας πόλις. τὸ ἐθνικὸν, δοριειεύς, ὡς γορδιεύς.

Δ ορίσκος, πόλις θρᾴκης, καὶ πεδίον. τὸ ἐθνικὸν, δορίσκιος, ὡς δορμίσκιος.

Δ οροκόττορος, πόλις γαλατῶν τῶν προσβόρων. ὁ οἰκῶν, δοροκοττόριος.

Δ ορυλάειον, πόλις φρυγίας, ὃ καὶ δορύλαιον δημοσθένης φησί. τὸ ἐθνικὸν, δορυλαεύς.

Δ ουλίχιον, μία τῶν ἐχινάδων νήσων, ἡ καὶ δόλιχα καλουμένη, καὶ ὀξεῖαι. ἣν Θόας ὁ ποιητὴς εἶπεν, ἀπὸ Δουλιχίου τοῦ Τριπτολέμου. ὁ πολίτης, δολιχιεύς, καὶ δουλιχιώτης, ἀπὸ τοῦ δολιχίν. κατὰ τοπὴν, δουλιχιήτης. καὶ δουλιχιεῖς ἐλέγοντο καὶ οἱ ἐν τῷ δουλιχίῳ ἠπειροὶ, ὡς ἐπαφρόδιτος παρατιθεὶς τὸν Ἀρίσταρχον ἐνδεχόμενον οὕτω.

Δ ούλων πόλις, πόλις λιβύης. ἑκαταῖος ἐν περιηγήσει. καὶ ἐὰν δοῦλος εἰς τὴν πόλιν ταύτην λίθον προσενέγκῃ, ἐλεύθερος γίνεται, καὶ ξένος ἦν. ἔστι καὶ ἑτέρα ἱεροδούλων, ἐν ᾗ εἷς μόνος ἐλεύθερός ἐστι. φασὶ καὶ κατὰ κρήτην δουλόπολιν εἶναι χιλίανδρον. σημειωτέον δ᾽ ὅτι κρατῖνος ἐν σεριφίοις πόλιν δούλων φησὶν, ἀπολλωνίου φήσαντος μὴ δεῖν ταύτας τὰς παραθέσεις ἐναλλάσσειν δίχα ποιητικῆς ἀνάγκης, ὥς φησι κρατῖνος. Εἶτα σάκας ἀφικνῇ, καὶ σιδωνίους, καὶ βρεμβοὺς, ἔς τε πόλιν ἀνδρῶν νεοπλούτων πονήρων. ἔστι καὶ χωρίον ἐν αἰγύπτῳ δουλόπολις, ὥς φησιν Ὀλυμπιανός. τὸ ἐθνικὸν, δουλοπολίτης.

Δ ούμαθα, πόλις ἀραβίας. ὁ πολίτης, δουμαθηνός, ὡς Γλαῦκος ἐν β. ἀραβικῆς ἀρχαιολο(γίας.

Δ οῦρα, πόλις μεσοποταμίας, ὡς πολύβιος πέμπτῃ. τὸ ἐθνικὸν, δουρηνός.

Δ ουρίοπος, πόλις μακεδονίας. στράβων ἑβδόμῃ. οὕτω καὶ ἡ χώρα.

Δ ουσαρὴ, σκόπελος, καὶ κορυφὴ ὑψηλοτάτη ἀραβίας. εἴρηται δὲ ἀπὸ τοῦ Δουσάρου. θεὸς δὲ οὗτος παρὰ ἄραψι, καὶ δαχαρηνοῖς τιμώμενος. οἱ οἰκοῦντες, δουσαρηνοὶ, ὡς δα(χαρηνοί.

Τὸ δέλτα μετὰ τοῦ ρῶ.

Δ ραβῆσκος, θρᾴκης χωρίον. θουκυδίδης. τὸ δ᾽ ἐθνικὸν, δραβήσκιος.

Δ ράγγαι, ἔθνος περσικῆς. στράβων πεντεκαιδεκάτῃ. τὸ θηλυκὸν, δραγγηΐς. ἡ χώρα, δραγγανὴ, ὡς ἔθος. σωφηνοὶ γὰρ, καὶ ἀραξανοί.

Δ ραγμὸς, πόλις κρήτης, ὡς ξενίων ἐν τοῖς κρητικοῖς. τὸ ἐθνικὸν, δράγμιος, ἢ δραγμίτης, ὅπερ ἄμεινον.

Δ ράκονον, ὄρος νήσου τῆς ἰκαρίας λεγομένης, καὶ πόλις. στράβων ιδ. τὸ ἐθνικὸν, δρακόνιος, ὡς μυκώνιος, καὶ δρακονεύς.

Δ ράκοντος, νῆσος λιβύης, ὡς πολυΐστωρ ἐν τρίτῳ λιβυκῶν. ὁ νησιώτης, δρακοντονήσιος, ἢ δρακοντονησίτης.

Δ ρεπάνη, ἡ φαιακία. τὸ ἐθνικὸν, δρεπανεύς, ὡς χειμεύς. ἔστι καὶ πόλις λυκίας δρέπανα. ὁ πολίτης, ὁμοίως. καὶ δρέπανα οὐδετέρως, πόλις σικελίας. ἔστι καὶ δρέπανον πόλις λιβύης. εἰσὶ καὶ νησία δύο περὶ λέβινθον. ἔστι καὶ δρεπάνη βιθυνίας, πρὸς τῷ ἀστακηνῷ κόλπῳ. ἔστι καὶ ὄρος αἰθιοπίας. τὴν δὲ βιθυνίας φασὶν ὠνομάσθαι, ὅτι δρεπάνην κλείουσιν ἀπὸ κρονίδαο σιδήρου. τὸ ἐθνικὸν, δρεπανεύς. καὶ θηλυκὸν, (δρεπανηΐς.

Δ ρεσία, πόλις φρυγίας. διονύσιος ἐν μεσαρικῶν

ἐν μεσσηνιακῶν · γ, βουδίαν, δρεσίνην τε, καὶ οἱ μηλώδεα γαῖαν. τὸ ἐθνικὸν, δρεσιεύς.

Δ ρυλαὶ, συνοικία τῆς ποντικῆς τραπεζοῦντος, οὐ πόρρω, ὡς ξενοφῶν ἐν ἀναβάσεως πέμπτῳ.

Δ ριλώνιος, πόλις μεγάλη, ἐσχάτη τῆς κελτικῆς. τὸ ἐθνικὸν, δριλώνιος, ὡς θεόπομπος. μϛ.

Δ ρόγγιλον, χωρίον θετταλίας. θεόπομπος φιλιππικῶν · θ · τὸ ἐθνικὸν, δρογγίλιος.

Δ ρύαινα, πόλις κιλικίας, κτίσμα δρυαίνου, ἡ μετονομασθεῖσα χρυσόπολις. τὸ ἐθνικὸν, δρυαινίτης.

Δ ρυΐδαι, ἔθνος γαλατικὸν, φιλόσοφον. διογένης λαέρτιος ἐν φιλοσόφῳ ἱστορίᾳ.

Δ ρύμη, πόλις λιβύης. στράβων. ιϛ. ὁ πολίτης, δρυμαῖος, ὡς βαρκαῖος, κυρηναῖος.

Δ ρυμία, πόλις φωκίδος. παυσανίας. ι. δήμητρος δὲ θεσμοφόρου δρυμίοις ἱερόν ἐστιν ἀρχαῖον. τὸ ἐθνικὸν, δρυμιεύς, ἐκ τοῦ θηλυκοῦ, καὶ

Δ ρυμοῦσα, νῆσος ἰωνίας. θουκυδί (ὅδε τὸ ῥξ. δης ὀγδόῃ. τὸ ἐθνικὸν, δρυμουσσαῖος.

Δ ρυόπη, πόλις περὶ τὴν ἑρμιόνα. γράφεται καὶ δρυόπαι. ὁ πολίτης, δρυοπαῖος, ὡς ἡρόδωρος, ὃν παρατίθησιν ἐπαφρόδιτος. οἱ δὲ περὶ τὴν οἴτην δρύοπες, ἀπὸ δρυόπης τῆς εὐρυπύλου θυγατρός. ἔστι καὶ δρυοπία τῶν δρυόπων, περὶ τραχῖνα. λέγεται καὶ δρυοπὶς, καὶ δρυοπηΐς, καὶ δρυοπία.

Δ ρῦς, πόλις θράκης. ἑκαταῖος εὐρώπῃ. ἔστι καὶ πτωκωστῶν οἰνώτρων. ὁ πολίτης, δρυεὺς, καὶ δρυΐς. ἔστι καὶ κώμη λυκίας, περὶ τῷ ἀρῷ ποταμῷ.

Τὸ δέλτα μετὰ τοῦ · υ · ψιλοῦ.

Δ υμᾶνες, φῦλον δωριέων. ἦσαν δὲ τρεῖς, ὑλλεῖς, καὶ πάμφυλοι, καὶ δυμᾶνες, ἐξ ἡρακλέους. καὶ προσετέθη ἡ ὑρνηθία, ὡς ἔφορος · α · αἴγιμος γὰρ ἦν τῶν περὶ τὴν οἴτην δωριέων βασιλεύς. ἔσχε δὲ δύο παῖδας, πάμφυλον, καὶ δυμᾶνα. καὶ τὸν τοῦ ἡρακλέους ὕλλον ἐποιήσατο τρίτον, χάριν ἀποδιδοὺς, ἀνθ' ὧν ἡρακλῆς ἐκπεπτωκότα κατήγαγεν. οἱ οἰκοῦντες, δυμᾶνες. καὶ δυμανὶς τὸ θηλυκὸν, καὶ δύμαινα.

Δ ύμη, πόλις ἀχαΐας, ἐσχάτη πρὸς δύσιν. ὁ πολίτης, δυμαῖος, καὶ δυμαία. λέγεται καὶ δύμιος. ἀντίμαχος δὲ, καυκωνίδα ταύτην φησὶν, ἀπὸ καύκωνος ποταμοῦ.

Δ ύνδασον, πόλις καρίας. τὸ ἐθνικὸν, δυνδασεύς.

Δ υρβαῖοι, ἔθνος, καθῆκον εἰς βάκτρους, καὶ ἰνδικήν. κτησίας ἐν περσικῶν δεκάτῃ. χώρα δὲ πρὸς αὐτὸν πρόσκειται δυρβαῖοι, εὐδαίμονες ἄνδρες, καὶ πλούσιοι, καὶ δίκαιοι, οὔτε ἀδικοῦντες, οὔτε ἀποκτεννύοντες ἄνθρωπον. ἐὰν δὲ εὕρωσιν ἐν τῇ ὁδῷ ἢ χρυσὸν, ἢ ἄλλό τι.

Δ υῤῥάχιον, πόλις ἰλλυρικὴ, ἐπίδαμνος κληθεῖσα, ἀπὸ ἐπιδάμνου. τούτου θυγάτηρ μέλισσα, ἧς καὶ τοῦ ποσειδῶνος δυῤῥάχιον. σο ἀφ' ἧς τόπος μελισσώνιος, ἔνθα ποσειδῶν αὐτῇ συνῆλθεν. ἀλέξανδρος δὲ ἐν εὐρώπῃ δυσράχιον αὐτὸ καλεῖ μετὰ τοῦ · σ · δυσραχίου τοῦ ἐπιδάμνου ἐπ' αἰγιαλοῦ χθονὸς ἀκτῆς. ἔστι καὶ ἄλλη λακωνική, μία τῶν ἑκατόν. καὶ ἡ χώρα τῆς ἰλλυρίας, δυσραχία. ἧς τὸ ἀρσενικὸν, δυσράχιος. νῦν δὲ δυῤῥαχηνοὶ λέγονται, ὡς ἑρέννιος φίλων ἐν τοῖς ἰατρικοῖς. φιλωνίδης δὲ ὁ δυῤῥαχηνὸς, ἤκουσε μὲν ἀσκληπιάδου. ἰατρεύσας δὲ ἐν τῇ πατρίδι, ἐνδόξως συνετάξατο βιβλία · με.

Δ υσπόντιον, πόλις πισαίας, ἀπὸ δυσποντέως τοῦ πέλοπος. τὸ ἐθνικὸν, δυσποντεύς. ἔδει δὲ δυσποντιεύς.

Δ ύστος, πόλις εὐβοίας. θεόπομπος ἐν φιλιππικῶν εἰκοστῇ τετάρτῃ. τὸ ἐθνικὸν, δύστιος.

Τὸ δέλτα μετὰ τοῦ · ω · μεγάλου.

Δ ωδώνη, πόλις τῆς μολοσσίδος ἐν ἠπείρῳ, μεθ' ἣν δωδωναῖος ζεύς. καὶ δωδώνης μεδέων δυσχειμέρου. φιλόξενος δὲ δύο φησὶ, θεσπρωτικὴν, καὶ θετταλικὴν κακῶς. τὸν δὲ δωδωναῖον, ἔλεγον καιναῖον. ζηνόδοτος δὲ γράφει φηγωναῖε, ἐπεὶ ἐν δωδώνῃ πρῶτον φηγὸς ἐμαντεύετο. ἄλλοι δὲ γράφουσι βωδωναῖε. πόλιν γὰρ εἶναι βωδώνην, ὅπου τιμᾶται. εἴρηται ἀπὸ δωδώνης μιᾶς τῶν ὠκεανίδων νυμφῶν, ἢ ἀπὸ δωδώνου, τοῦ διὸς, καὶ εὐρώπης, ἢ ἀπὸ δώνος ποταμοῦ. λέγεται δὲ καὶ δωδών. ἧς τὸ ἐθνικὸν, οὐχ εὕρηται. σχηματίζεται δὲ δωδώνιος. τὸ δὲ θηλυκὸν, δωδωνίς. ἔστι δὲ καὶ παροιμία, δωδωναῖον χαλκεῖον, ἐπὶ τῶν πολλὰ λαλούντων. ἢ ὅτι τὸ χαλκεῖον πληττόμενον ἤχει ὑπὸ μάστιγος, ἢ ὅτι τῇ βίᾳ τῶν ἀνέμων ἤχει, ἀφ' οὗ ἡ παροιμία.

Δ ωνεττῖνοι, ἔθνος μολοσσικόν. ῥιανὸς τετάρτῃ θεσσαλικῶν. ἀτὰρ δωνεττῖνοι, ἠδ' ὀτρηροὶ κεβραῖνοι.

Δ ῶρα, νῆσος ἐν τῷ περσικῷ κόλπῳ. στράβων πεντεκαιδεκάτῃ. ὁ νησιώτης, δωρείτης. εἰ δὲ ἀπὸ τῆς χώρας τύπῳ, δωρηνὸς, ὡς ἀραξηνός.

Δ ώριον, πόλις μία τῶν τριῶν. ὅμηρος, καὶ πτελεὸν ἕλος, καὶ δώριον. δοσίθεος ἐν αὐτῇ τῇ πόλει φησὶν ὑπὸ θαμύρα εὑρεθῆναι τὴν δώριον ἁρμονίαν. τὸ ἐθνικὸν, δώριος, καὶ δωριεὺς, καὶ δωρίαν. καὶ θηλυκὸν, δωρίς.

Δ ῶρος, πόλις φοινίκης, ὡς καὶ ἰώσηππος, καὶ ἄλλοι. τὸ ἐθνικὸν, δωρείτης. παυσανίας δὲ δωριεῖς αὐτούς φησιν. ἔστι καὶ καρίας πόλις.

Δ ώτιον, πόλις θετταλίας, ὅπου μετῴκησαν οἱ κνίδιοι. ὧν ἡ χώρα κνιδία. ἀπὸ δωτίας τῆς ἐλάτου κληθεῖσα, ἢ ἀπὸ δώτιος, ἢ ἀπὸ δώτου. ὁ πολίτης, δωτιεύς. τὸ θηλυκὸν, δωτιηΐς, καὶ δωτιάς.

## ΑΡΧΗ ΤΟΥ·Ε·ΣΤΟΙΧΕΙΟΥ·

Τὸ·ε. μετὰ τοῦ ἄλφα·

Αρβοι, ἔθνος ἰνδικὸν τῶν μετὰ Δηρι-
ἔ ἀδου διονύσῳ πολεμησάντων·

Τὸ·ε·μετὰ τοῦ βῆτα·

E βορα, πόλις παρωκεανῖτις μετὰ
τὰ γάδειρα· τὸ ἐθνικὸν, ἐβορεύς·
E βραῖοι, οὕτως ἰουδαῖοι, ἀπὸ Αβράβωνος, ὥς
φησι χάραξ·
E βρων, πόλις ἐν χαναναίᾳ τῆς ἰουδαίας· τὸ ἐθνι
κὸν, ἐβρώνιος· Τὸ·ε·μετὰ τοῦ γάμμα·
E γγάδα, κώμη μεγάλη, πλησίον σοδόμων ἀ
ραβίας· τὸ ἐθνικὸν, ἐγγαδηνὸς, ὡς ζωαρη-
νός· καὶ θηλυκῶς, καὶ οὐδετέρως.
E γγελᾶνες, ἔθνος ἰλλυρικόν· οἱ αὐτοὶ τοῖς ἐγχε
λέαις, ὡς μνασέας ἐν γ· τῶν περιηγήσεων·
E γγύϊον, πόλις σικελίας· τὸ ἐθνικὸν, ἐγγυῖ
νος, ὡς ῥηγῖνος·
E γεστα, πόλις σικελίας, ἔνθα θερμὰ ὕδατα,
ὡς φίλων· ἀπὸ Εγέστου τοῦ τρωός· τὸ ἐθνικὸν,
ἐγεσταῖος· καὶ θηλυκῶς·
E γρα, πόλις ἀραβίας, πρὸς τῷ αἰλανίτῃ κόλ
πῳ· τὸ ἐθνικὸν, ἐγρηνὸς, ὡς βοστρηνός·
E γχελεῖς, ἔθνος ἰλλυρικόν· ἢ ἀπὸ τῆς ἐγχέλης,
ἢ ἀπὸ τοῦ ἐγχέλυος· λέγεται καὶ ἐγχελέαι,
ἀπὸ τοῦ ἐγχελέως, ἢ ἐγχελέας· λέγεται καὶ
ἐγχελὶς θηλυκῶς· οἱ οἰκοῦντες, ἐγχελεῖς.

Τὸ·ε. μετὰ τοῦ δέλτα·

E δέσσα, πόλις πρὸς τῷ εὐφράτῃ, κατοικία
φοινίκων, ἀπὸ Εδεσσηνοῦ ἡγεμόνος· τὸ ἐθνι-
κὸν, ἐδεσσηνὸς, καὶ ἐδεσσήνιος·
E δεσσα, πόλις συρίας, διὰ τὴν τῶν ὑδάτων ῥύμην
οὕτω κληθεῖσα ἀπὸ τῆς ἐν μακεδονίᾳ· κατὰ
μὲν τοὺς ἐγχωρίους, ἐδεσσηνός· παρὰ δὲ τοῖς
πλείοσι τῶν ἀρχαίων, ἐδεσσαῖος·
E δουμαῖοι, ἔθνος ἀράβιον, ὡς οὐράνιος ἐν ἀρα
βικῶν τετάρτῳ· τινὲς δὲ διὰ τοῦ·ι·γρά-
φουσιν, ὡς εἰρήσεταί μοι ἐν τῷ·ι·
E δρα, ἡ καθέδρα· οὕτω λέγονται ἕδραι βου
λῆς· ἀφ᾽ οὗ ἑδρίτης, ὁ οἰκέτης·

Τὸ·ε·μετὰ τοῦ θῆτα·

E θνέσται, ἔθνος θετταλίας, ἀπὸ Εθνέστου τοῦ Νεο-
πτολέμου παίδων ἑνὸς, ὡς ῥιανὸς·δ, καὶ·ε·

Τὸ·ε·μετὰ τοῦ ἰῶτα·

E ἰδομένη, πόλις μακεδονίας· θουκυδίδης·β·
τὸ ἐθνικὸν, εἰδομένιος, ὡς κλαζομένιος·
E ἰζηλὸς, φρούριον σικελίας· τὸ ἐθνικὸν, εἰζηλῖνος·
E ἰλέσιον· ὅμηρος, καὶ εἰλέσιον, ἠδ᾽ ἐρύθρας· τὸ
E ἰλειθυίας, πόλις αἰγυ (ἐθνικὸν, εἰλεσιεύς·
πτιακή· τὸ ἐθνικὸν, εἰλειθυιοπολίτης·
E ἴναχος, πόλις κρήτης, ὡς ξενίων φησί· τὸ ἐ-
θνικὸν, εἰνάχιος· τινὲς δὲ ὄρος, καὶ ποταμὸν,
ἐν ᾧ τιμᾶσθαι τὴν εἰλείθυιαν εἰνατίνην·
E ἰρεσίδαι, δῆμος τῆς ἀκαμαντίδος φυλῆς·
ὁ δημότης, εἰρεσίδης. τὰ τοπικὰ, ἐξ εἰρεσι-
δῶν. καὶ τὰ λοιπὰ οὕτω·

Τὸ·ε·μετὰ τοῦ κάππα·

E καδήμεια, ἢ ἀκαδήμεια, ἀπὸ Ακαδήμου· καὶ
ἀθήνῃσι τόπος ὁ κεραμικός· ὁ ἥρως δὲ, διὰ τοῦ·ε·
γράφεται· οἱ δὲ ὅτι Εχεμος ὁ ἀρκὰς συστρατεύ
σας τοῖς διοσκούροις, ὑποχείριον ἔχει τὴν ἀτ
τικήν· ἐξ οὗ ἐχεμήδειόν φασιν· ὁ δημότης, ἀ
καδημαϊκὸς, ζήτει καὶ τὸ τελευταῖον·ε·εἰς·κ·
E κάλη, δῆμος τῆς λεοντίδος φυλῆς· ὁ δημό
της, ἐκάλιος· τὰ τοπικὰ, ἐκάληθεν· ἐκα-
λῆνδε· ἐκαλῆσι· καὶ ἐκάλιος ζεύς·
E κατήσια, οὕτως ἡ ἰδρίας πόλις ἐκαλεῖτο
καρίας· ναὸν γὰρ τεύξαντες οἱ κᾶρες, τὴν θε
ὸν λαγινίτην ἐκάλεσαν, ἀπὸ τοῦ φυγόντος
ζῴου ἐκεῖ· καὶ τὰ ἑκατήσια τελοῦντες, ὠνόμα
σαν· ὁ πολίτης, ἑκατήσιος·
E κατόννησοι, οὕτω περὶ τὴν λέσβον νησία·κ·
ὡς στράβων περὶ τοῦ ἑκάτου τοῦ ἀπόλλωνα· τι
μᾶται γὰρ διαφόρως ἐν τοῖς τόποις, σμιν-
θεύς· κιλλαῖος· γρυνεύς· οἱ οἰκοῦντες, ἑκατόννη
E κατόμπυλος, πόλις παρθυαίων, ἀνὰ (σιοι·
λικωτέρα περσίδος· τὸ ἐθνικὸν, ἑκατομπύ-
E κβάτανα, ἡ μεγάλη μερὶς τῆς μηδίας. (λιος·
ἔστι καὶ συρίας πόλις· τὸ ἐθνικὸν, ἐκβατανηνὸς,
E λαία, πόλις τῆς ἀσίας, αἰολίς (ὡς ταβιηνός·
κὴ, περγαμηνῶν ἐπίνειον, ἣ κιδαινὶς ὠνομά
ζετο, Μενεσθέως κτίσμα· ἔστι καὶ ἑτέρα ἰταλίας
διὰ τοῦ·ε·ψιλοῦ ἐλέα, ἐξ ἧς ἐλεάται· τῆς δὲ
προτέρας, ἐλαῖται· ἔστι καὶ πόλις φοινίκης
ἐλαία, μεταξὺ τύρου, καὶ σιδῶνος, ὡς φί-
λων· καὶ ἐλαία βιθυνίας ἐπίνειον, πλησίον μυ
σίας· ἔστι καὶ λιμὴν αἰθιοπίας, καὶ νῆσοι τρεῖς·
E λαιοῦς, δῆμος τῆς ἱπποθοωντίδος φυλῆς,
ὡς διονύσιος· διόδωρος δὲ ἐλαιοῦς· ἀφ᾽ οὗ ὁ
δημότης, ἐλαιούσιος· τὰ τοπικὰ, ἐλαιουν-
τόθεν, καὶ ἐλαιοῦντάδε, καὶ ἐλαιοῦσι· λέ-
γεται καὶ ἐξ ἐλαιέως·
E λαίου τεῖχος, πόλις λυκίας· τὸ ἐθνικὸν, ἐλαι
E λαιοῦς, πόλις ἐν ἑλλησπόντῳ· (οτειχίτης·
τὸ ἐθνικὸν, ἐλαιούσιος· καὶ τὸ θηλυκὸν, ἐλαι
ουσία· ἔστι καὶ ἄργους ἐλαιοῦς·
E λαιοῦσσα, νῆσος κιλικίας μετὰ τὴν ἤπειρον, ἡ
νῦν σεβαστὴ, πρὸς τῷ κωρύκῳ· εἰσὶ δὲ καὶ ἄλ-
λαι νῆσοι ἑπτά· τὸ ἐθνικὸν, ἐλαιούσιος·
E λάτεια, πόλις μεγίστη φωκίδος, ἀπὸ Ελά-
του· ἔστι καὶ θετταλίας· τὸ ἐθνικὸν, ἐλατεύς·
ἔστι καὶ θεσπρωτίας, ἣν καὶ ἐλάτρειαν φασὶ διὰ
τοῦ·ρ·καὶ τὸ ἐθνικὸν, ἐλατρειεύς·
E λαύια, φρούριον σικελίας· φίλιστος·ϛ·τὸ ἐθνι
κὸν, ἐλαυιάτης, ὡς ἰαμνιάτης, καὶ ἰαμνίτης·
E λαφόνησος, μία τῶν σποράδων νήσων, ἔχουσα
πόλιν ὁμώνυμον· τὸ ἐθνικὸν, ἐλαφονήσιος·
E λβέστιοι, ἔθνος λιβύης· φίλιστος·η·περὶ δὲ τοὺς
λίβυας ἐκτὸς εὐρώπης ἐλβέστιοι, καὶ μαστιηνοί·
E λβονθις, πόλις μεταξὺ αἰγύπτου, καὶ κυρή
νης· τὸ ἐθνικὸν, ἐλβονθίτης, ὡς φλέγων.
E λβώ, νῆσος· ἡρόδοτος δευτέρᾳ· τὸ ἐθνικὸν,
ἐλβῶος, ὡς σαρδῷος·

Ε λγος, πόλισμα Λυδίας, ὡς Ξάνθος ἐν Λυδιακῶν
γ. τὸ ἐθνικὸν, ἔλγιος, καὶ ἐλγαῖος, ὡς σιγαῖος.
Ε λέα, πόλις Ἰταλίας, ὡς εἴρηται. ἐκαλεῖτο δὲ
βύλη. ὠνομάσθη δὲ ἐλέα, ἀπὸ τοῦ παραρρέον-
τος ποταμοῦ. ἡ νῦν Βελέα.
Ε λέγδα, χωρίον περὶ Εὐφράτην. Ἀρριανὸς ἐν
παρθικῶν η. τὸ ἐθνικὸν, ἐλεγδεύς, ὡς σελευκεύς.
Ε λένειος, τόπος περὶ τῷ Κανώβῳ. Ἑκαταῖος πε-
ριηγήσει Λιβυκῶν. τὸ ἐθνικὸν, ἐλενειεύς.
Ε λένη, νῆσος Ἀττικῆς. Ἑκαταῖος Εὐρώπῃ. ἐκεῖ
γὰρ ἀποβῆναί φασι τὴν Ἑλένην μετὰ τὴν ἅλω-
σιν Ἰλίου. ἐκαλεῖτο δὲ Μακρὶς, διὰ τὸ μῆκος. ἔστι
καὶ κρήνη Ἑλένη ἐν Χίῳ. ἐφ' ᾗ Ἑλένη ἐλούσατο. τὸ
ἐθνικὸν, ἐλεναῖος, ὡς Κισμεναῖος. ἢ ἑλενίτης.
Ε λευθέρα Κιλικία, μοῖρα αὐτῆς (ἢ ἐλεύθερος.
ἐν διαφόροις τόποις. οἱ οἰκήτορες, ἐλευθερο-
κίλικες. νῦν δὲ ἐλευθερῖται.
Ε λευθεραὶ, πόλις Βοιωτίας, ἀπὸ Ἐλευθῆρος τοῦ
Ἀπόλλωνος. ἔστι καὶ Κρήτης, ἀπὸ Ἐλευθῆρος νο-
στῶν Κουρήτων, ἥτις καὶ Σάωρος ἐκαλεῖτο, ἀπὸ
Σαώρης νύμφης. ἔστι καὶ ἄλλη περὶ τῷ Ἴστρῳ πο-
ταμῷ ἐν Πόντῳ, διὰ τὸ φυγόντας αὐτὴν τοὺς
περὶ Ἰάσονα ἐκεῖ τοῦ φόβου ἐλευθερωθῆναι. ἔστι
καὶ πόλις Λυκίας, ἀπό τινος νύμφης. ὁ πολίτης,
ἐλευθερεὺς, ἢ ἐλευθεραῖος, ὡς Ἡρακλείδος.
Ε λευθέριον, πολίχνιον Μυσίας. οἱ οἰκῆται, ἐ-
λευθεριεῖς, ὡς Προύσιον, Προυσιεῖς.
Ε λευθερὶς, πόλις Βοιωτίας ὑπὸ Ὠρωποῦ, πλησίον κό-
θου, καὶ Αἰκλέου. Θεόπομπος μς. καὶ ἐθνικὸν, ἐλευ
Ε λευθείσκος, πόλις Μακεδονίας. (θερίτ.
Θεαγένης Μακεδονικοῖς, ἐλευθεΐσκιος, ὡς Ζι
Ε λευθέρνα, πόλις Κρήτης, ἀφ' (ποδίσκος.
ἑνὸς τῶν Κουρήτων. οἱ πολῖται ἐλευθερναῖοι, καὶ ἐλευ
Ε λευσὶς, δῆμος τῆς Ἱπποθοωντί (θερνεύς.
δος φυλῆς. ὁ δημότης, ἐλευσίνιος. τὰ τοπι-
κὰ, ἐλευσινόθεν, ἐλευσίναδε, καὶ ἐλευσῖνι. λέ-
γεται καὶ ἐλευσινιακός. καὶ ἐλευσινιάς. ἔστι
καὶ Δήμητρος, καὶ Κόρης ἐλευσινίας ἱερόν.
Ε λεύτιοι, ἔθνος τῆς Ἰαπυγίας. Ἑκαταῖος Εὐρώπῃ.
Παρθένιος δὲ Ἐλεφαντίδα αὐτήν φησι. τὸ
ἐθνικὸν τῆς μὲν προτέρας, ἐλεφαντῖνος.
τῆς δὲ ἐλεφαντίδος, ἐλεφαντίτης.
Ε λιβύργη, πόλις Ταρτησσοῦ. Ἑκαταῖος Εὐ-
ρώπῃ. τὸ ἐθνικὸν, ἐλιβύργιος.
Ε λίκη, πόλις Πελοποννήσου. Ὅμηρος, οἳ δέ τ' εἰς
Ἑλίκην τε καὶ Αἰγάς. ἀπὸ Ἑλίκης τοῦ Λυκάο-
νος, ἢ Ἑλίκης, τῆς Ἴωνος μὲν γυναικός, Σελι-
νοῦντος δὲ τοῦ Ποσειδῶνος θυγατρός. ὁ πολί-
της, ἑλικώνιος, ἀπὸ κτίστου Ἑλικῶνος. καὶ
ἑλικωνία τὸ θηλυκόν. ἴσως δὲ τοῦτο ἀπὸ τοῦ
ὄρους γέγονεν. ἔστω οὖν ἑλικεύς, ἢ ἑλικωνί-
της. ἴσως ἀπὸ τοῦ ἑλικώνιος. ἢ ἑλικήσιοι.
Ε λίμεια, πόλις Μακεδονίας. Στράβων ἑβδό-
μῳ. ἀπὸ Ἐλύμου τοῦ ἥρωος, ἢ ἀπὸ Ἑλένου, ἢ
ἀπὸ Ἐλύμα τοῦ Τυρρηνῶν βασιλέως. τὸ ἐθνικὸν,
ἐλιμειώτης. Ἀλέξανδρος δὲ ἐν Εὐρώπῃ ἐλί-
μειόν φησι διὰ μακροῦ τὴν μίαν συλλαβήν. τὴν

δὲ ἐλίου, διὰ βραχέος τοῦ ι.
Ε λινοὶ, ἔθνος Θεσπρωτικόν. Ῥιανὸς δ. Θεσσα-
λικῶν. καὶ ἐλενία ἡ χώρα. ἔστι καὶ Σικελίας πό-
λις. τὸ ἐθνικὸν, ἐλενῖνος.
Ε λίξοια, νῆσος ὑπερβορέων, οὐκ ἐλάσσων Σι-
κελίας, ὑπὸ ποταμῷ Καραμβύκᾳ. οἱ νησιῶ-
ται, Καραμβύκαι, ὡς Ἑκαταῖος ὁ Ἀβδηρίτης.
Ε λίσυκοι, ἔθνος Λιγύων. Ἑκαταῖος Εὐρώπῃ.
Ε λα, χωρίον Ἀσίας, Ἀττάλου βασιλέως ἐμπόρι-
ον. Πολύβιος ις. τὸ ἐθνικὸν, ἐλαῖος.
Ε λλὰς, πόλις Θεσσαλίας. Πολλαὶ Ἀχαιΐδες εἰ-
σὶν ἀνὰ Ἑλλάδα, Φθίην τε. ἐκτίσθη ὑπὸ Ἕλλη-
νος, οὐ τοῦ Δευκαλίωνος, ἀλλὰ τοῦ Φθίου, καὶ Χρυ-
σίππης τῆς Ἴρου. ὁ δὲ Φθῖος, ἦν Ἀχαιοῦ. ἔστι καὶ ἄλ-
λη Ἑλλὰς Κοίλης Συρίας. τὸ ἐθνικὸν ἕλλην, ὁ-
μοίως τῷ πρωτοτύπῳ. καὶ ἑλληνὶς τὸ θηλυκόν.
καὶ ἑλλανικὸς, καὶ ἑλλαδικὸς, ἀπὸ τῆς ἑλλάδος.
Ε λληνόπολις, πόλις Βιθυνίας μετὰ τὸν οἰκισμὸν
Βιθάλβης. τὸ ἐθνικὸν, ἑλληνοπολίτης.
Ε λληνικὸν, καὶ Καρικὸν, τόποι ἐν Μέμφιδι. ἀφ'
ὧν ἑλληνομεμφῖται, καὶ καρικομεμφῖται.
Ε λλησπόντιος, ἡ χώρα, ἥτις (ὡς Ἀρισταγόρας.
παρακειμένη τῷ κόλπῳ, ἀπὸ Ἕλλης. οἱ οἰκήτορες,
ἑλλησπόντιοι. καὶ ἑλλησποντία, καὶ ἑλλησπον-
τίς. ἔστι δὲ ἀπὸ δύο παρηγμένον, ὡς παρὰ ὠ-
κεανὸν, παρωκεανῖτις. περὶ ποταμῷ, παρα-
Ε λλοπία, χωρίον Εὐβοίας. καὶ αὐτὴ (ποτάμιος.
ἡ νῆσος ἀπὸ Ἔλλοπος τοῦ Ἴωνος. τὸ ἐθνικὸν, ἐλ-
λοπιεύς. ἐλέγετο καὶ ἡ περὶ Δωδώνην χώρα ἐλ-
λοπία, ἧς οἱ οἰκήτορες ἑλλοὶ, καὶ σελλοί. Ὅμηρος,
ἀμφὶ δὲ σελλοί. ἔστι καὶ πόλις περὶ Δολοπίαν, καὶ
Ε λλόπιον, πόλις Αἰτω (χώρα περὶ Θεσπρωτίας.
λίας. Πολύβιος ια. τὸ ἐθνικὸν, ἐλλοπιεύς.
Ε λμαντική, πόλις Ἰβηρίας τῆς ἐντὸς Ἴβηρος πο-
ταμοῦ. Πολύβιος γ. τὸ ἐθνικὸν, ἐλμαντικός.
Ε λος, πόλις Λακωνική, καὶ πεδίον, καὶ ἕλος,
καὶ δώριον. περὶ τὸ ἐν ἕλει εἶναι. οἱ πολῖται εἵλω-
τες, τῇ ἐκτάσει, καὶ τῷ γένει, καὶ τῇ προσθέσει
τοῦ ι. διαφέρει. λέγονται καὶ εἱλῶται. καὶ
ἕλοι, καὶ ἐλεᾶται. καὶ ἡ χώρα, εἱλωτεία. καὶ
θηλυκὸν, εἱλωτίς. καὶ κτητικὸν, εἱλωτικός.
Ε λουροι, Σκυθικὸν ἔθνος. (ἔστι καὶ ἕλος Αἰγύπτου.
περὶ ὧν Δέξιππος ἐν Χρονικῶν ιβ.
Ε λοῦσα, πόλις τῆς νῦν μὲν Παλαιστίνης τρίτης,
πάλαι δὲ Ἀραβίας. τὸ ἐθνικὸν, ἐλουσηνός.
Ε λπία, πόλις ἐν Δαυνίοις, κτίσμα Ῥοδίων.
τὸ ἐθνικὸν, ἐλπιανοί.
Ε λύμαι, χώρα Ἀσσυρίων πρὸς τῇ Περσικῇ, τῆς
Σουσίδος ἐγγύς. οἱ οἰκοῦντες, ἐλυμαῖοι.
Ε λύμνιον, νῆσος Εὐβοίας, πόλιν ἔχουσα. λέ-
γεται καὶ ἐλυμνία. τὸ ἐθνικὸν, ἐλύμνιος, ἢ
ἐλεύς. τῆς δὲ ἐλυμνίας, ἐλυμνιάτης.
Ε λυρος, πόλις Κρήτης, ὡς Ξενίων ἐν Κρητικῇ.
ὁ πολίτης, ἐλύριος.
Ε λωρος, πόλις Σικελίας, ἀπὸ Ἐλώρου ποταμοῦ
τοῦ κατὰ Πάχυνον, ὃς λέγεται τιθασοὺς ἰ-
χθῦς ἔχειν, ἀπὸ χειρὸς ἐσθίοντας, ὡς Ἀπολ-

λόδωρος ἐν χρονικῶν πρώτῃ. ἔστι καὶ μακεδονίας ἄλλη. ὁ πολίτης, ἐλωρίτης. θουκυδίδης δὲ ἐν ἕκτῃ, καὶ ἐλωρινὴν ὁδόν φησι.

Τὸ. ε. μετὰ τοῦ μῦ.

E μβατον, τόπος τῆς ἐρυθραίας. θεόπομπος ἑλληνικῶν ὀγδόῃ.

E μισα, πόλις φοινίκης λιβανισίου, ὡς λάρισσα. καὶ ἐμισσαῖος τὸ ἐθνικὸν, ὡς λαρισσαῖος. διονύσιος ὁ ποιητὴς συνέστειλε τὸ. ι. φησὶ γάρ, τῆς δὲ πρὸς ἀντολίης ἐμίσων πόλιν. καὶ ἔοικε κλίνειν τὰ ἔμισα. ἡ χρῆσις δὲ θηλυκῶς. ἐν τισὶ δὲ ἔμεσα εὕρηται, ἀφ᾽ οὗ ἐμισηνός.

E μπόριον, πόλις κελτική, κτίσμα μασσαλιωτῶν. δευτέρα, μακεδονίας. τρίτη, σικελίας. δ, καμπανίας. ὁ πολίτης, ἐμπορείτης.

Τὸ. ε. μετὰ τοῦ νῦ.

E νετοί, ὅμηρος, ἐξ ἐνετῶν. ὅθεν ἡμιόνων γένος ἀγροτέρων. ᾤκουν δὲ παρὰ παφλαγονίαν. λέγονται καὶ ἐνετίδες ἵπποι. ἦν δὲ καὶ κτητικόν. ἔστι καὶ πόλις ἐνετὸς, ἀφ᾽ ἧς ἦν μύρμηξ ὁ διαλεκτικὸς φιλόσοφος, ὡς διογένης ἐν δευτέρῳ φιλοσόφου ἱστορίας.

E νίσπη, πόλις ἀρκαδίας. καὶ ἠνεμόεσσαν ἐνίσπην. νῦν δ᾽ οὐκ ἔστι. φασὶ δὲ ἢ τῆς κλητορίας εἶναι, ἢ τῆς φωκίδος. τὸ ἐθνικὸν, ἐνισπαῖος, ἢ ἐνισπίτης, ἢ ἐνισπεύς.

E ννα, πόλις σικελίας, κτίσμα συρακουσίων μετὰ. ο. ἔτη συρακούσης. ὁ πολίτης, ἐνναῖος, καὶ ἐνναία.

E νόπη, πόλις τῆς μεσηνίας. ὅμηρος, καρδαμύλην ἐνόπην. τὸ ἐθνικὸν, ἐνοπεύς, ὡς ῥοπεύς. μέμνηται αὐτῆς καὶ παυσανίας τρίτῳ.

E ντελλα, πόλις σικελίας. ἔφορος. ιϛ. ἦσαν δ᾽ οἱ οἰκοῦντες καμπανοὶ τὸ γένος, σύμμαχοι καρχηδονίων. τὸ ἐθνικὸν, ἐντελλῖνος.

E ντρίβαι, ἔθνος θρᾳκικόν. ἑκαταῖος εὐρώπῃ.

Τὸ. ε. μετὰ τοῦ ξῦ.

E ξγύϊος, πόλις σικελίας, γραφὴν ἀττικὴν ἔχουσα, διὰ τὸ ἐξκλινής. λέγεται δ᾽ οὕτω διὰ τὸ ἓξ γυῖα ἔχειν.

Τὸ. ε. μετὰ τοῦ. ο. μικροῦ.

E ορδαῖαι, δύο χῶραι μυγδονίας. εἰσὶ καὶ ἄλλαι δύο, ἡ μὲν, ἰβηρείας, ἡ δὲ, θρᾴκης, ἀπὸ εορδοῦ τινος. ὁ οἰκήτωρ, ἐορδαῖος. ὀξύνεται δὲ τὸ ἑορδὸς, ὡς ἡρωδιανὸς ἕκτῃ. ἐκλήθησαν καὶ ἐορδισαί, ἀπὸ τοῦ ἐορδίζω, ὡς λυδὸς, λυδίζω.

Τὸ. ε. μετὰ τοῦ πῖ.

E πάκρια, μία τῶν ὑπὸ κέκροπος συνοικισθεισῶν δυοκαίδεκα πόλεων, διὰ τὸ ληΐζεσθαι ὑπὸ καρῶν. τὸ ἐθνικὸν, ἐπακριεύς.

E παρεῖται, ἔθνος ἀρκαδίας. ἡ δὲ πόλις αὐτῶν ἔπαρις ἐστί, οὐχ εὕρηται δέ. περὶ δὲ τοῦ ἔθνους ξενοφῶν, καὶ ἔφορος, καὶ ἀνδροτίων φασίν.

E πειοί, οἱ ἠλεῖοι, ἀπὸ ἐπειοῦ βασιλέως. τὸ θηλυκὸν, ἐπειάς, καὶ ἐπεΐς. λέγονται καὶ πατρωνυμικῶς ἐνδυμιωνιάδαι.

E πίδαμνος, πόλις ἰλλυρίδος, ὑπὸ χερρονήσου τῆς καλουμένης δυρραχίου. ἔστι δ᾽ ἑτέρα ἐν τῷ ἰωνίῳ κόλπῳ. τὸ ἐθνικὸν, ἐπιδάμνιος, εὕρηται παρὰ παρθενίῳ καὶ διὰ διφθόγγου. τὸ θηλυκὸν, ἐπιδαμνιάς.

E πίδαυρος, πόλις πρὸς τῷ ἄργει, θηλυκῶς λεγομένη. τὸ γὰρ ἀμπελόεντ᾽ ἐπίδαυρον μετὰ ἀρσενικοῦ ἐπιθέτου, θηλυκόν ἐστιν, ὡς τὸ ψολόεντος ἐχίδνης παρὰ νικάνδρῳ. τινὲς δὲ λειμήρην αὐτήν φασι, τὴν λειμῶνας ἔχουσαν. ἐκαλεῖτο δὲ μελιασία, καὶ αἵμηρα, διὰ τὸ συνεχῶς αἱμάσσεσθαι τὸν βωμὸν τοῦ ἀσκληπιοῦ ὑπὸ τῶν θυσιῶν. εἶτα ἐπίταυρος, καὶ ἐπίδαυρος. τινὲς δὲ λειμηρὴν λακωνικὴν λέγουσι μίαν τῶν ἑκατὸν, διὰ τὸ πολλοὺς ἔχειν λιμένας. ὁ πολίτης, ἐπιδαύριος. τὸ θηλυκὸν, ἐπιδαυρία, καὶ ἐπιδαυρὶς, καὶ

E πιεικίδαι, δῆμος (ἐπιδαυριώτης φασίν. τῆς κεκροπίδος φυλῆς. ὁ δημότης, ἐπιεικίδης. τὰ τοπικὰ, ἐπιεικιδῶν. ἐν ἐπιεικιδῆσιν.

E πικηφισία, δῆμος τῆς οἰνηΐδος φυλῆς. ὁ δημότης, ἐπικηφίσιος. τὰ τοπικὰ, ἐπικηφισιᾶθεν.

E πιλευκάδιοι, πόλις μετὰ ἀκαρνανίαν. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, ἐπιλευκάδιος ὁμοίως.

E πιπολαί, χωρίον ἀπόκρημνον, προσεχὲς συρακούσαις. θουκυδίδης ἕκτῃ. τὸ ἐθνικὸν, ἐπιπολαῖος τῷ κοινῷ τύπῳ.

E πιτάλιον, πόλις τῆς τριφυλίας. πολύβιος τετάρτῃ. τὸ ἐθνικὸν, ἐπιταλιεύς.

E πιφάνεια, πόλις συρίας κατὰ ῥαφανέας, ἐν μεθορίοις ἀράδου. ἀφ᾽ ἧς εὐφράτης ὁ στωϊκὸς φιλόσοφος. δευτέρα, κιλικίας. τρίτη, βιθυνίας. δ, κατὰ τίγριν. ἐκλήθη δὲ καὶ ἀρτεσικέρατα, ὅ ἐστιν ἀρκεσίου κτίσμα. ὁ πολίτης, ἐπι

E πουΐα, πόλις ἡ νῦν ἀμβρακία, ἡ (φανεύς. πρότερον παραλία. καὶ οἱ οἰκοῦντες, παράλιοι.

E πιακωμῆται, βάρβαροι, τὸ σκυθικὸν οἰκοῦντες ὄρος. τινὲς δὲ τούτων ἐκαλοῦντο καὶ βύζηρες.

E πωπή, οὕτως ἡ ἀκροκόρινθος ἐκαλεῖτο, διὰ τὸ σίσυφον ἐκεῖ ἰδεῖν τὴν αἰγίνης ἁρπαγὴν ὑπὸ διός. τὸ ἐθνικὸν, ἐπωπεύς, ἐπωπίτης.

Τὸ. ε. μετὰ τοῦ ῥῶ.

E ρβησσος, σικελίας πόλις. τὸ ἐθνικὸν ἐρβησσῖνος.

E ρβιτα, πόλις (φίλιστος σικελικῶν. β. σικελίας. ἔφορος κη. τὸ ἐθνικὸν, ἐρβιταῖος.

E ργέτιον, πόλις σικελίας. φίλιστος σικελικῶν δευτέρᾳ. τὸ ἐθνικὸν, ἐργετῖνος.

E ρεβίδαι, μέρος λωτοφάγων. φίλιστος ὀγδόῳ.

E ρεμβοί, ἔθνος ἀράβων. ὅμηρος, καὶ σιδονίους καὶ ἐρεμβούς. τούτους δέ φησι τοὺς τρωγλοδύτας, ἀπὸ τοῦ εἰς τὴν ἔραν βαίνειν. λέγονται καὶ ἐρεμβαῖοι. καὶ θηλυκὸν ἐρεμβίς.

E ρεσος, πόλις ἐν λέσβῳ, ἀπὸ ἐρέσου τοῦ μάκαρος. ἐξ ἧς θεόφραστος ἀριστοτέλους γνώριμος, καὶ διάδοχος, ὁ ἐπιφανέστατος, ὃς τύρταμος ἐλέγετο. καὶ διὰ τὸ τῆς φράσεως θεσπέσιον, θεόφραστος ἐκλήθη. τὸ ἐθνικὸν, ἐρέσιος, ὡς ἐφέσιος. καὶ ἐρεσία, καὶ ἐρεσιεύς.

E ρετρία, πόλις εὐβοίας. ὅμηρος, χαλκίδα τ᾽ ἐρετρίαν τε. ἐκαλεῖτο δὲ μελανηΐς, ἀπὸ μελανέ-

ως τοῦ Εὐρύκου παιδὸς. οὕτω δ᾽ ἐκλήθη ἀπὸ Ερετριέως τοῦ Φαέθοντος υἱοῦ. ἄλλοι δὲ ἑνὸς τῶν τιτάνων. ἔστι καὶ θετταλίας. ὁ πολίτης, ἐρετριεύς. καὶ κλίνεται ἐρετριέως, καὶ ἐρετριῶς, ὡς πειριῶς. καὶ ἐρετρὶς θηλυκῶς, καὶ ἐρέτριος, καὶ ἐρετριακός.

Ε ρευάτις, πόλις λυκίας, ἀπὸ Ρευάστης, καὶ Ελευθερᾶς. τὸ ἐθνικὸν, ἐρευάτης.

Ε ρημος, καὶ νῆσός ἐστιν ἐρήμη. ἐρήμη δ᾽ ἐστὶ γῆ μεμονωμένη. ἀφ᾽ ἧς ἐρημαῖος, καὶ ἐρημαία.

Ε ρθα, πόλις παρθίας ἐγγὺς τῷ εὐφράτῃ. τὸ

Ε ρίκεια, δῆμος ἀθήνησιν (ἐθνικὸν, ἐριθιωός. αἰγηΐδος φυλῆς. ὁ δημότης, ἐρικειεύς. τὰ τοπικὰ, ἐρικείαθεν. ἐρικείανδε. ἐρικειᾶσιν.

Ε ρικοῦσα, μία τῶν αἰόλου νήσων, ἀπὸ φυτοῦ καλουμένη, ὡς τὸ Φοινικοῦσα. τὸ ἐθνικὸν, λιπαραῖοι δὲ ἐρικούσης. καὶ πάλιν λιπαραῖοι ἐκ Φοινικούσης. πάντες γὰρ οἱ οἰκοῦντες αἰόλου νήσους ἐκαλοῦντο κοινῶς μὲν, λιπαραῖοι. ἰδικῶς δὲ, ἐκ ἑκάστης τοπικῶς, ὡς καὶ ἐν ἑτέροις δείξομεν τοῦτο φυλαττόμενον.

Ε ρινον, πόλις οἰνώτρων ἐν μεσογείῳ, ὡς ἑκαταῖος.

Ε ρινεὸς, πόλις δωριέων ὑπὸ τῷ παρνασσῷ. λέγεται καὶ ἐρίνειος. ἔστι καὶ ἰταλίας ἄλλη, καὶ ἀχαΐας. ὁ πολίτης, ἐρινεάτης, καὶ ἐρινεεύς.

Ε ρινιάδαι, κώμη μεγαρίδος. παυσανίας δ᾽. ὁ οἰκήτωρ ἐρινιάτης, διὰ τὸ προκατειληφός.

Ε ρκύνιον, ὄρος ἰταλίας. ἀφ᾽ οὗ ἑρκυνὶς ἡ χώρα. καὶ ἑρκύνιος τὸ κτητικόν. ἀλέξανδρος εὐρώπῃ.

Ε ρμιον, καὶ ἑρμιόνη, ἀπὸ τῆς ἑρμιόνος γενικῆς, ὡς ἀπὸ τῆς κάλυκος, ἡ καλύκη, καὶ τῆς χιτῶνος, ἡ χιτώνη. καὶ ἡγεμόνος, ἡγεμόνη. ἐκαλεῖτο δὲ καὶ λακέρεια. ἕρμιον δὲ, ἀπὸ τοῦ τὸν δία καὶ τὴν ἥραν ἐνταῦθα ἀπὸ κρήτης ἀφικομένους ὁρμισθῆναι. καὶ τροπῇ τοῦ ι εἰς ε. ὅθεν καὶ ἱερὸν ἥρας παρθένου ἦν ἐν αὐτῇ. τὸ ἐθνικὸν, ἑρμιονεύς. καὶ ἑρμιονὶς τὸ θηλυκόν.

Ε ρμος, ὡς ἔρκος οὐδετέρως, δῆμος τῆς ἀκαμαντίδος φυλῆς. ὁ δημότης, ἕρμειος. τὸ εἰς τόπον, εἰς ἕρμους, ἢ ἑρμόσε. τὸ ἐν τόπῳ, ἐν ἑρ-

Ε ρμοτυμβιεῖς, μοῖρα τῶν μαχίμων ἐν αἰγύπτῳ, ὡς ἀρισταγόρας ἐν αἰγυπτιακῶν πρώτῃ. οἱ αὐτοὶ καὶ λαβαρεῖς.

Ε ρμοῦ πεδίον, χωρίος πλησίον κύμης. ἔφορος ὀκτωκαιδεκάτῃ. ὁ χωρίτης, ἑρμοπεδιεὺς, καὶ ἑρμοπεδιανός. καὶ ὅσα πεδίου ἐθνικά.

Ε ρμούπολις, αἰγύπτου πόλις. ἡρωδιανὸς δύο αὐτὰς λέγει, καὶ μεγάλην, καὶ μικράν. καὶ γ, κατ᾽ αἴγυπτον. καὶ δ, κατὰ ῥυμοῦϊν. καὶ ε, τὴν τοῦ ποταμοῦ. καὶ ς, ἐν κῶ τῇ νήσῳ. καὶ ζ, ἐν ἀρκαδίᾳ. ὁ πολίτης, ἑρμεοπολίτης.

Ε ρμώνασσα, νῆσος μικρὰ, πόλιν ἔχουσα ἐν τῷ κιμμερίῳ βοσπόρῳ, ἰώνων ἄποικον, ὡς ὁ περιηγητής. ταύτην ὁ Σκύμνος καὶ ἑρμώνειαν καλεῖ. στράβων ἑβδόμῃ Ερμώνακτος κώμην φησί. μένιππος δὲ χωρίον τραπεζοῦντος ἐν περίπλῳ τῶν δύο πόντων. ἑκαταῖος δὲ καὶ θεόπομπος πόλιν αὐτήν φασιν, ἀπὸ Ερμωνάσσης. τὸ ἐθνικὸν, ἑρμωνασσαῖος, ἢ ἑρμωνάσσιος, ὡς συρακούσιος.

Ε ρμωνθὶς, πόλις αἰγύπτου, ὡς μέμφις, μένουθις, τέρενουθις. ἀφ᾽ ἧς ζεὺς ἑρμωνθίτης, καὶ ἀπόλλων. στράβων ἑκκαιδεκάτῳ. ἀφ᾽ ἧς καὶ νόμος ἑρμωνθίτης. ἔστι δὲ ἐκεῖ καὶ Ισιδος ἱερόν.

Ε ρνικες, ἔθνος λατίνων. διονύσιος ὀγδόῳ τῆς ῥωμαϊκῆς ἀρχαιολογίας.

Ε ροιάδαι, δῆμος τῆς ἱπποθοωντίδος φυλῆς. ὁ δημότης, ἐροιάδης. τὰ τοπικὰ, ἐξ ἐροιάδων. εἰς ἐροιάδων. ἐν ἐροιάδων.

Ε ρύθεια, νῆσος γηρυόνου ἐν τῷ ὠκεανῷ, ἀπὸ Ερυθείας τῆς Γηρυόνου, καὶ ἑρμοῦ, ὡς παυσανίας. λέγεται δὲ καὶ ἐρύθη κατὰ συναλοιφὴν, ὡς τὸ ἀγάμμεια, ἀγάμμη, καὶ ζέλεια, ζέλη. μαντίνεια, μαντίνη. ὁ νησιώτης, ἐρυθεὺς, ὡς μαντινεύς. ἢ ἐρυθεῖται. ἢ κατὰ περίφρασιν, ὁ κατοικῶν τὴν ἐρύθειαν, ὡς ὅμηρος, Αἰθίοπες, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν.

Ε ρυθινοὶ, πόλις παφλαγονίας. λέγεται δὲ παρὰ τὸ ἐρυθρὸς. ἀπολλώνιος, Καὶ ὑψηλοὺς ἐρυθίνους. τὸ ἐθνικὸν, ὅμοιον.

Ε ρυθρὰ, ἡ θάλασσα, ἀπὸ Ερύθρου τοῦ ἥρωος. οὐράνιος δ᾽ ἐν ἀραβικῶν δευτέρᾳ, ἀπὸ τῶν παρακειμένων ὀρῶν, ἃ ἐρυθρὰ δεινῶς εἰσι, καὶ πορφυρᾶ. καὶ ἐπὴν βάλλῃ εἰς αὐτὰ ὁ ἥλιος τὴν αὐγὴν, κατὰ πέμπει εἰς τὴν θάλασσαν σκιὰν ἐρυθράν. καὶ ὄμβρῳ δὲ κατακλυσθέντων τῶν ὀρέων, κάτω συῤῥυέντων εἰς θάλασσαν, οὕτω γίνεται ἡ θάλασσα τὴν χρόαν. τὸ ἐθνικὸν, ἐρυθραῖος, καὶ ἐρυθραία, καὶ ἐρυθραῖον. καὶ ἔστιν ἄκρα ἐρυθρὰ τῆς λιβύης, ὡς ἀρτεμίδωρος ἑβδόμῃ γεωγραφουμένων.

Ε ρυθρὰ βῶλος, πόλις αἰγύπτου. ἡρόδοτος δευτέρᾳ. τὸ ἐθνικὸν, ἐρυθροβωλίτης.

Ε ρυθρὰ, πόλις ἰώνων. ἑκαταῖος ἀσίᾳ. ἐκαλεῖτο δὲ κνωποῦπολις, ἀπὸ Κνώπου. ἔστι καὶ λιβύης ἄλλη, καὶ ἄλλη λοκρίδος. ἔστι καὶ βοιωτίας. καὶ κύπρου ἄλλη, ἡ νῦν πάφος. ὁ πολίτης, ἐρυθραῖος. καὶ τοπικῶς, ἐρυθραῖθεν. ἐχρημάτιζε δὲ καὶ Ναυκράτης ἐρυθραῖος, ὁ ὅμηρον ὑπο

Ε ρύκη, σικελικὴ πόλις. φίλιστος σικελικῶν δευτέρᾳ. τὸ ἐθνικὸν, ἐρυκαῖος.

Ε ρύμανθος, ὄρος, καὶ ποταμός. Η κατὰ τὴν ὑγεῖαν περιμήκετον, ἢ ἐρύμανθον. ἐν τούτῳ τῷ ὄρει λέων οὐ γεννᾶται. ὅθεν ὅμηρος περὶ τῆς ἀρτέμιδός φησι, τερπομένη κάπροισι, καὶ ὠκείῃσιν ἐλάφοισι, καὶ οὐ λέουσι. τὸ ἐθνικὸν, ἐρυμάνθιος. καὶ θηλυκὸν, ἐρυμανθὶς, ὡς βοιωτὸς, βοιωτίς. ἔστι καὶ οὐδέτερον ἐρυμάνθιον.

Ε ρυμναὶ, πόλις λυκίας. ἀλέξανδρος ἐν πρώτῃ λυκιακῶν. τὸ ἐθνικὸν, ἐρυμναῖος.

Ε ρυξ, πόλις σικελίας ἀρσενικῶς, ἀπὸ Ερυκος τοῦ

ἀφροδίτης, καὶ βύζου. τὸ ἐθνικὸν, ἐρυκῖνος. καὶ ἐρυκίνη ἀφροδίτη ἐν ῥώμῃ, καὶ σικελία.

E ρύθεια, πόλις κύπρου, ἐν ᾗ ἀπόλλων τιμᾶται ὑλάτης. διονύσιος βασσαρικῶν ζ´ ἤ ι´,

οἵ τ᾽ ἔχον ὑλάταο θεοῦ ἕδος ἀπόλλωνος, τέμβρον, ἐρύθειαν τε, καὶ εἰναλίην ἀμαμασσόν.

E ρυσίχη, πόλις ἀκαρνανίας, ἥτις ὕστερον οἰνιάδαι ὠνομάσθη. καί τινες δὲ τὴν χώραν τῶν οἰνιαδῶν πᾶσαν ἐρυσίχην ὠνόμασαν, ἀπὸ Ερυσίχης τῆς Αχελώου θυγατρός. τὸ ἐθνικὸν, ἐρυσιχαῖος. περὶ οὗ πολὺς λόγος τοῖς ἀρχαίοις. ὁ τεχνικὸς γὰρ καὶ ἡρόδωρος φησὶν, ὅτι σεσημείωται τὸ ἐρυσιχαῖος προπαροξυνόμενον ἐν τοῖς ἐθνικοῖς. μήποτε οὖν τὸ χαιὸν ἔγκειται, ὅ ἐστιν ἡ βουκολικὴ ῥάβδος, καὶ τὸν ἐρύσω μέλλοντα. διχῶς οὖν ἔσται, ὡς ἔστι δῆλον παρὰ ἀλκμᾶνι ἐν ἀρχῇ τοῦ δευτέρου τῶν παρθενείων ᾀσμάτων. φησὶ γὰρ, οὐκ εἶς ἀνὴρ ἄγριος, οὐδὲ σκαιὸς, οὐδὲ παρὰ σοφοῖσιν, οὐδὲ θεσσαλὸς γένος, οὐδὲ ἐρυσιχαῖος. εἰ γοῦν τὸ θεσσαλὸς γένος συναπτέον, ἐθνικὸν δεῖ, καὶ προπερισπάσθω. ἡρωδιανὸς ἐν ταῖς καθόλου προσῳδίαις, καὶ Πτολεμαῖος ἔφη. εἰ δὲ τὸ οὐδὲ ποιμὴν συνάψειέ τις λέγων, ἢ ἐρυσιχαῖος. τὸ δὲ οὐδὲ ποιμὴν πρόδηλον ὡς προπαροξυνθήσεται, καὶ δηλοῖ τὸν βουκόλον, ἢ τὸν αἰπόλον, πρὸς ὃ τὸ ποιμὴν ἁρμόδιον ἐπαχθήσεται. ὁ πολίτης, ἐρυσιχαῖος. τὸ θηλυκὸν, ἐρυσιχίς. τὸ αὐτὸ καὶ ἐπὶ τῆς χώρας.

E ρεχθία, δῆμος τῆς ἀττικῆς τῆς αἰγηΐδος φυλῆς, ἀπὸ Ερεχθέως τοῦ ξενίζοντος δήμητραν. τέτρασυλλαβος δὲ οὐ ἐρεχθεῖ φασίν. ὁ δημότης, ἐρεχθιεύς. καὶ ἰσοκράτης ἐρεχθιεὺς ἦν. τὰ τοπικὰ, ἐρεχθιᾶθεν, ἐρεχθίαζε, καὶ ἐρεχθιᾶσιν.

E ἰδητες, ἔθνος ἰβηρικόν. ἑκαταῖος εὐρώπῃ.

τὸ ε μετὰ τοῦ σίγμα.

E σπερία, ἡ δύσις, καὶ τὸ δυτικὸν μέρος. τὸ ἐθνικὸν, ἑσπέριος, καὶ ἑσπεριώτης. καὶ ἑσπερίτης ὁ δυτικὸς, παρὰ τὴν ἑσπέραν, τὴν δύσιν.

E σπερὶς, πόλις λιβύης, ἡ νῦν βερονίκη. ὁ πολίτης, ἑσπερίτης καλλίμαχος ἐν τοῖς ἐπιγράμμασιν.

E στίαια, πόλις εὐβοίας. ὅμηρος, πολυστάφυλόν τε ἑστίαιαν. ἀπὸ τῆς περὶ τὸν ὄλυμπον ἑστιαίας. τὸ ἐθνικὸν, ἑστιαιεύς. λέγεται καὶ ζισυλλάβως. ἔστι καὶ ἄλλη ἀκαρνανίας. ὁ πολίτης, ἑστιαιώτης. ἡ θετταλικὴ μοῖρα, καὶ ἑστιαιεύς.

τὸ ε μετὰ τοῦ ταῦ.

E ταιεῖς, δῆμος διφθόγγου, ὡς διπεδιεῖς. ἔστι δὲ πόλις λακωνική. τὸ ἐθνικὸν ὁμοίως.

E τεωνεὺς, πόλις εὐβοίας. ὅμηρος, πολύκνημόν τ᾽ ἐτεωνόν. ἀπὸ Ετεωνέως. καλεῖται δὲ νῦν σκάρφη. κεῖται δὲ ἐπὶ λόφου. τὸ ἐθνικὸν, ἐτεώνιος, ὡς σικυώνιος. ἐκ τόπου, ἐτεωνόθεν.

τὸ ε μετὰ τοῦ υ ψιλοῦ.

E ὐα, πόλις ἀρκαδίας. θεόπομπος ἑκτῳ. τὸ ἐθνικὸν, εὐαῖος.

E ὐαίμων, πόλις ὀρχομενίων. θεόπομπος ἑκτῳ. τὸ ἐθνικὸν, εὐαιμόνιος.

E ὐαλῖνοι, ἔθνος, περὶ οὗ φησι Γλαῦκος ἐν δευτέρῳ περὶ ἀραβίας.

E ὐιοι, ἔθνος λιγυστικόν. εἴρηται ἐν τῷ περὶ τῶν ἀρταξαίων.

E ὔβοια, νῆσος μία τῶν ἑπτὰ, περιμήκης, ἣ καὶ μακρίς. ἀπὸ Εὐβοίας. ἡρόδωρος. ἔστι καὶ τόπος ἐν ἄργει. ἔστι καὶ πόλις ἐν μακεδονίᾳ, εἰς ἣν οἱ ἀπὸ τῆς νήσου εἰς ἰλλυριοὺς ἀπιόντες, ἀναβάντες ἐκλήθησαν. τὸ ἐθνικὸν τῆς νήσου, εὐβοιεύς. καὶ εὐβοῒς τὸ θηλυκόν. καὶ εὐβοεὺς χωρὶς τοῦ ι. καί τοι ἀπὸ τῶν εἰς α παραγόμενα εἰς ευς φυλάττει τὴν παραλήγουσαν. διὸ καὶ τὸ ἀλεξάνδρεια οὐ προϋπάρχει τοῦ ἀλεξανδρεὺς, ἀλλ᾽ ἀπὸ τοῦ ἀλέξανδρος, ὡς ταρσὸς, ταρσεύς. ἔστι καὶ εὐβοϊκὸς κτητικόν.

E ὐγεία, χωρίον ἀρκαδίας. θεόπομπος πεντηκοστῷ ἕκτῳ. τὸ ἐθνικὸν εὐγείτης, ὡς ζελείτης. καὶ εὐγεώτης, ὡς μαρεώτης.

E ὐδείπνη, νῆσος λιβύης φοινίκων. ἑκαταῖος περιηγήσει λιβύης. τὸ ἐθνικὸν, εὐδειπναῖος.

E ὐέλγεια, πόλις. ἑκαταῖος (ὡς λεβναῖος. περιηγήσει. ὁ πολίτης, εὐελγεύς.

E ὐεργέται, σκυθικὸν ἔθνος. στράβων. ὃ καὶ ἀριμασποὶ ἐλέγοντο. ἐκεῖ γὰρ τοὺς ἀργοναύτας χειμῶνος πνεύσαντος διασωθῆναι, καὶ οὕτω κληθῆναι.

E ὐεσπερίδες, πόλις λιβύης, καὶ ἑνικῶς λεγομένη. λέγεται καὶ χωρὶς τοῦ εὐ μορίου ἑσπερίς. τὸ ἐθνικὸν, εὐεσπερίτης.

E ὐθηναὶ, πόλις καρίας. τὸ ἐθνικὸν καθ᾽ ἡμᾶς, εὐθηναῖος. κατ᾽ ἐκείνους δὲ, εὐθηνεύς. Πολέμων δὲ καὶ εὐθηνίτας φησίν.

E ὐίππη, δῆμος καρίας. ὁ οἰκήτωρ, εὐιππεύς.

E ὐκαρπία, δῆμος τῆς σμικρᾶς φρυγίας. ἱστορεῖ Μητροφάνης τὸν βότρυν ἐκεῖ τοσοῦτον γίνεσθαι τὸ μέγεθος, ὅσον ἅμαξαν ἀπ᾽ αὐτοῦ σχισθῆναι κατὰ μέσον. καὶ οὕτως ἐκλήθη διὰ τὸ εὔφορον. περὶ αὐτῆς γοῦν οἱ βάρβαροι ἔλεγον, ὅτι δήμητρι καὶ διονύσῳ ζεὺς τὴν χώραν τὴν τῶν εὐκάρπων δοίη. ἔστι καὶ εὐκαρπία φρούριον σικελίας, ἐν τοῖς λεγομένοις τιμαίοις. καὶ γενέσθαι λαΐδα ἐν τούτῳ, τὴν ἐπὶ κάλλει διαβεβλημένην ἑταίραν, ἣν οἱ πολλοὶ κορινθίαν φασὶ. τὴν, οὐδὲ λαΐδα τινὲς λέγουσιν, ἀλλὰ ναΐδα, καὶ καρικὸν ἀνδράποδον, ὡς Συνέσιος ἐν ἐπιστολῇ. τὸ ἐθνικὸν, εὐκαρπεύς. δυνατὸν δὲ τὸ τῆς σικελίας εὐκαρπιακὸς, καὶ εὐκαρπιάτης, καὶ εὐκαρπίτης.

E ὐκρατίδα, πόλις βάκτρων, περὶ τὸν εὐκρατίδα. στράβων ἑνδεκάτῳ.

E ὐμένεια, πόλις φρυγίας, Αττάλου καλέσαντος, ἀπὸ Εὐμένους τοῦ φιλαδέλφου. ἢ Υλλας καλῶς μένας, ὠνόμασεν οὕτω. δευτέρα, καρίας. τρίτη, ἐπὶ ὑρκανίᾳ. ὁ πολίτης, εὐμενεύς. τὸ ἐθνικὸν, ἀπὸ εὐμενείας.

Εὐναί, πόλις Καρίας, ἐν ᾗ ποταμὸς Εὐναῖος. τὸ ἐθνικὸν, Εὐναῖος. ἔστι καὶ πόλις Ἀργοῦς Εὐναία, ἣν ᾤκουν Κυρούριοι. τὸ ἐθνικὸν ὅμοιον, ἢ καὶ Εὐναιάτης.

Εὐπαλία, πόλις Λοκρίδος, ἣν Εὐπάλιον Ἀρτεμίδωρός φησι. τὸ ἐθνικὸν, Εὐπαλιεύς.

Εὐπάγιον, πόλις Λυδίας. οἱ πολῖται, Εὐπαγίδαι. μᾶλλον δὲ Εὐπαγεῖς. Ξάνθος ἐν γ. Λυδικῶν.

Εὐπορία, πόλις Μακεδονίας, ἣν Ἀλέξανδρος ταχέως νικήσας ἔκτισε, καὶ ὠνόμασε διὰ τὸ εὔπορον. τὸ ἐθνικὸν, Εὐποριεύς.

Εὐπυρίδαι, δῆμος Λεοντίδος φυλῆς. ὁ δημότης, Εὐπυρίδης. Δικαίαρχος δὲ τούτους ἐκάλουν Εὐπυρίδας, Κεκροπίδας, Πήληκας. τὰ τοπικὰ, ἐξ Εὐπυριδῶν, εἰς Εὐπυριδῶν, καὶ ἐν Εὐπυριδῶν.

Εὐρύαμπος, πόλις Μαγνησίας. ὁ πολίτης, Εὐρυάμπιος. Λυκόφρων, Ἀμφρυσσίων σκηπτοῦχον Εὐρυάμπιον.

Εὐρύηλος, οὕτως ἡ Μακρόπολις τῶν Ἐπιπολῶν. πολίχνιον δὲ ἐστὶ Συρακουσῶν ἀπόκρημνον. τὸ ἐθνικὸν, Εὐρυήλιος.

Εὐρυμέδων, ποταμὸς Παμφυλίας, καὶ τόπος κατὰ Ταρσόν. τὸ ἐθνικὸν, Εὐρυμεδόντιος. ἀπὸ δὲ Εὐρυμήδους, Εὐρυμηδοντίος.

Εὐρυμεναί, πόλις Θετταλίας. Ἑκαταῖος Εὐρώπῃ. ὁ πολίτης Εὐρυμενίος, ὡς Κλαζομένιος.

Εὐρυτᾶνες, ἔθνος Ἰταλικόν. Λυκόφρων, μάντιν δὲ νεκρὸν Εὐρυτὰν στέψει λεώς. ὡς τὸ Αἰνιανόν.

Εὔρωμος, πόλις Καρίας, ἀπὸ Εὐρώμου τοῦ Ἰδριέως Καρός. τὸ ἐθνικὸν, Εὐρωμεύς. Ἀπολλώνιος ἑπτακαιδεκάτῳ Καρικῶν.

Εὐρώπη, ἡ χώρα, ἐκ τῆς Φοινίκης θυγατρὸς τοῦ Ἀγήνορος. λέγεται καὶ Εὐρώπεια. καὶ διὰ τοῦ ι. Εὐρωπία παρὰ Σοφοκλεῖ ἐν Αἰχμαλώτισι, καὶ νησιώτας, καὶ μακρὰς Εὐρωπίας. καὶ Εὐριπίδης ἐν Θησεῖ, σχεδὸν παρ' αὐτοῖς κρασπέδοις Εὐρωπίας. ὁ οἰκήτωρ, Εὐρωπαῖος. καὶ θηλυκὸν, καὶ οὐδέτερον. καὶ Εὐρωπίς.

Εὐρωπὸς, πόλις Μακεδονίας, ἀπὸ Εὐρώπου τοῦ Μακεδόνος Ὠρειθυίας τῆς Κέκροπος. ἔστι καὶ Συρίας ἄλλη. τὸ ἐθνικὸν, Εὐρωπαῖος. ἔστι καὶ ἄλλη Καρίας, ἣν Ἰδριάδα ἀπὸ Ἰδριέως τοῦ Χρυσάορος. τὸ ἐθνικὸν Εὐρώπιος, ὡς Ὠρώπιος.

Εὐταία, πόλις Ἀρκαδίας. Ξενοφῶν Ἑλληνικῶν ς. τὸ ἐθνικὸν Εὐταιεύς, ὡς Ἡραιεύς, Φωκαιεύς.

Εὔτρησις, κώμη. Ὅμηρος, Κώπας, Εὔτρησίν τε. κεῖται δὲ παρὰ τὴν ὁδὸν τὴν ἐκ Θεσπιῶν εἰς Πλαταιὰς ἀπάγουσαν, ἣν ἐτείχισε Ζῆθος καὶ Ἀμφίων. ἐκλήθη δὲ Εὔτρησις, διὰ τὸ πολλαῖς αὐτὴν πρότερον χρῆσθαι ῥύμαις, ὡς Ἐπαφρόδιτος. ὁ κωμήτης, Εὐτρησίτης. ἀφ' οὗ Ἀπόλλων Εὐτρησίτης. καὶ ἱερὸν αὐτοῦ, καὶ μαντεῖον ἐνδοξότατον. τὸ γὰρ Εὐτρήσιον, πόλις Ἀρκαδίας, καὶ οὐκ ἐθνικόν ἐστι δὲ καὶ εἰς τόπον ἐπιρρηματικῶς Εὔτρησινδε, ὡς Μενέλαος.

Εὐφράντα, πόλις Λιβυκή. Ἀλέξανδρος ἐν γ΄ Λιβυκῶν. τὸ ἐθνικὸν, Εὐφρανταῖος.

Εὐφράτης, ἡ Συρία, ἀπὸ τοῦ παρακειμένου ποταμοῦ ἐλέγετο. αὐτὸς καὶ Ἀράξης ἀδελφοὶ ῥέοντες ἐξ ὄρους Ἀρμενίας. τὸ ἐθνικὸν, Εὐφρατίτης, ὡς Προσωπίτης.

Εὐωνυμία, πόλις Καρίας. τὸ ἐθνικὸν, Εὐωνυμεύς. ἔστι καὶ δῆμος Ἀθηναίων, ἀπὸ Εὐωνύμου τοῦ Γῆς καὶ Οὐρανοῦ, ἢ Κηφισοῦ. ὁ δημότης, Εὐωνυμεύς. τὰ τοπικὰ, ἐξ Εὐωνυμέων. λέγεται καὶ ὁ δῆμος Εὐώνυμος.

Εὐωνυμῖται, ἔθνος Αἰγύπτιον πρὸς τῇ Αἰθιοπίᾳ. Ἀλέξανδρος Αἰγυπτιακῶν πρώτῳ.

Τὸ ε. μετὰ τοῦ φι.

Ἔφεσος, πόλις Ἰωνίας ἐπιφανεστάτη, καὶ λίμνη ἐν κόλπῳ. Ἡρόδοτος δὲ Λυδίας αὐτήν φησιν. ἐκαλεῖτο δὲ Σμύρνα, ἀπὸ Σμύρνης τῆς Ἀμαζόνος. ἐκαλεῖτο δὲ καὶ Σαμόρνα, καὶ Τραχία, καὶ Ὀρτυγία, καὶ Πτελέα. ὁ πολίτης, Πτελεαῖος. ἦν δὲ καὶ Ἀρτέμιδος ἱερὸν ἐκεῖ. καὶ Πτελεάτης ὁ πολίτης. τὸ ἐθνικὸν τῆς Σαμόρνα, Σαμορναῖος. ἐκλήθη δὲ ἀπὸ μιᾶς τῶν Ἀμαζόνων, ἣν καὶ βασίλισσαν, καὶ πρόσπολον Ἀρτέμιδος εἶναί φησιν. ἐσχηκέναι δὲ καὶ θυγατέρα Ἀμαζόνα, ἀφ' ἧς αἱ Ἀμαζόνες. ἡ δὲ πόλις ἐν κοίλῳ τόπῳ κατοικισθεῖσα, χειμῶνος κατεκλύσθη. καὶ μυρίων ἀποθανόντων, Λυσίμαχος τὴν πόλιν μετέθηκεν ἐν θατέρῳ. ἐκάλεσε δὲ Ἀρσινόην αὐτὴν, ἀπὸ τῆς γυναικὸς Ἀρσινόης. οὗ τελευτήσαντος, ἡ προτέρα κλῆσις ἀνελήφθη. φέρεται δὲ Δούριδος ἐπίγραμμα τῆς ἐλαίας εἰς τὸν κατακλυσμὸν οὕτως.

Ἠέριαι νεφέλαι πόθεν ὕδατα πικρὰ πιοῦσαι,
νυκτὶ σὺν ἀστεμφεῖ πάντα κατεκλύσατε,
οὐ Λιβύης, Ἐφέσου δὲ τὰ μυρία κεῖνα τάλαινα
αὔλια, καὶ μακάρων δεξ ἐτέων κτέανα.
Ποῦ δέ γε σωτῆρες δαίμονες ἔτραπον ὄμμα.
Αἲ αἲ τὴν Ἰάδων πολλῶν ἀοιδοτάτην.
Κεῖνα δὲ κύμασι πάντα κυλινδομένοισιν ὁμοῖα,
εἰς ἅλα σὺν ποταμοῖς ἔδραμε πεπτομένοις.

ἔστι καὶ Ἔφεσος νῆσος ἐν τῷ Νείλῳ. καὶ Χῖος, καὶ Λέσβος, καὶ Κύπρος, καὶ Σάμος, καὶ ἄλλαι, ὡς Ἑκαταῖος. τὸ ἐθνικὸν, Ἐφέσιος εὕρηται. καὶ Ἐφέσεια διὰ διφθόγγου. οὕτω γὰρ ἐν Ἀλεξ[ ] Σοφοκλῆς. λέγεται καὶ Ἐφεσίτης, ὡς Ἀβρι[ ] φησί, καὶ Ἐφεσεύς, ὡς Ταρσός, Ταρσεύς, Ἁλικαρνασσὸς, Ἁλικαρνασσεύς.

Ἐφύρα, πόλις Ἠπείρου, ἀπὸ Ἐφύρου τοῦ Ἀμαράκου τοῦ Θεσπρωτοῦ, τοῦ Πελασγοῦ, τοῦ Λυκάονος, τοῦ γηγενοῦς, τοῦ Ἀρκάδος. ἐκ ταύτης Ἀστυόχη ἡ μήτηρ Τληπολέμου, ὡς φησὶν Ὅμηρος. ἦν δὲ αὕτη μεταξὺ Πύλου καὶ Ἤλιδος, ὡς Παρμενίσκος φησίν. ἠγνόησε δὲ ὅτι μυχὸς ἡ Κόρινθος οὖσα, γλαυκῷ πρὸς ἀνατολὰς οἰκοῦντι, ὡς ἂν τῆς Εὐρώπης οὖσα δυτικωτάτη. κέκληται δὲ ἀπὸ Κορίνθου. Ὅμηρος οὖν

τὸ ἐφύρη περὶ τῆς κορίνθου ἔφη. ἔστι καὶ ἄλλη ἐφύρη, κραννοὺς λεγομένη, ὥς φησι Κινέας ὁ ῥήτωρ, καὶ ἐπαφρόδιτος. δευτέρα, περὶ θεσσαλίαν. τρίτη, οἰνόην. καὶ νῆσος οὐ μακρὰν ἀπέχουσα μήλου. ὁ πολίτης, ἐφυραῖος. ἔστι καὶ ἀρκαδίας ἄλλη. ἔστι καὶ θεσσαλίας, καὶ ἰταλίας κατὰ καμπανίαν. ἔστι καὶ κώμη αἰτωλίας ἔφυρα. τὸ ἐθνικὸν, ἔφυρος. τὸ κτητικὸν τῆς θεσπρωτίας, ἐφύρειος. καὶ ἐφύρηθεν ἀπὸ τόπου ἐπίρρημα.

Τὸ ε. μετὰ τοῦ χι.

Ε χελίδαι, δῆμος τῆς ἀττικῆς, ἀπὸ Εχέλου ἥρωος. οὗτος δ' ἀπὸ ἕλους τόπου μεταξὺ ὄντος τοῦ πειραιέως, καὶ τοῦ τετρακώμου ἡρακλείου, ἐν ᾧ τοὺς γυμνικοὺς ἀγῶνας ἐτίθεσαν τοῖς παναθηναίοις. ὁ δημότης, ἐχελίδης. τὰ τοπικὰ ἐκ τῆς γενικῆς τῶν πληθυντικῶν.

Ε χετία, πόλις ἰταλίας. ὁ πολίτης ἐχετιανὸς, ὡς καρδιανός.

Ε χέτλα, πόλις σικελίας. ὁ πολίτης, ἐχετλιάτης.

Ε χέτρα, πόλις ἰταλίας. διάφορος οὐολοισκοῖς. τὸ ἐθνικὸν, ἐχετρανός. διονύσιος δεκάτῳ τῆς ῥωμαϊκῆς ἀρχαιολογίας.

Ε χῖναι, νῆσοι περὶ τὴν αἰτωλίαν, αἷς ἀχελῶος ποταμὸς προσβάλλει ἰλύν. λέγονται καὶ ἐχινάδες, διὰ τὸ τραχὺ, καὶ ὀξὺ, παρὰ τὴν ἐχίνην. ἢ διὰ τὸ πλῆθος ἔχειν ἐχίνων. ἀπολλόδωρος δὲ ἀπὸ Εχίνου μάντεως. τὸ ἐθνικὸν τοῦ ἐχῖναι, ἐχιναῖος. τοῦ δ' ἐχινάδαι, ἐχιναδεὺς, ὡς ἀρκάδες, ἀρκαδεύς. ἢ ἐχινάδιος.

Ε χῖνος, πόλις ἀκαρνανίας, Εχίνου κτίσμα. ῥιανὸς ἔχιον ἄστυ ταύτην εἶπεν. ὁ πολίτης, ἐχιναῖος, ὡς χέρσος, χερσαῖος, καὶ ἄπειρος, ἀπειραῖος, κῦφος, κυφαῖος. καὶ ἀπὸ τοῦ ἐχιναῖος, ἐχιναιεύς, ὡς κριταῖος, κριταιεύς. τινὲς δὲ καὶ ἐχινοῦντα φασὶ τὴν αὐτήν.

## ΑΡΧΗ ΤΟΥ ΖΗΤΑ ΣΤΟΙΧΕΙΟΥ.

Τὸ ζῆτα μετὰ τοῦ ἄλφα.

Ζ Αβιδα, κώμη ἐν τῷ μεσογείῳ τῆς εὐδαίμονος ἀραβίας. οὐράνιος ἀραβικῶν τρίτῃ.

Ζ άβιοι, ἔθνος ἰνδικὸν, πολεμήσαν μετὰ δηριάδου διονύσῳ.

Ζ άγκλη, πόλις σικελίας. ἑκαταῖος εὐρώπῃ. οἱ μὲν, ἀπὸ Ζάγκλου τοῦ γηγενοῦς, ἢ ἀπὸ κρήνης ζάγκλης. οἱ δὲ, διὰ τὸ ἐκεῖ κρόνον τὸ δρέπανον ἀποκρύψαι, ᾧ τὰ τοῦ πατρὸς ἀπέκοψεν αἰδοῖα. Νίκανδρος ἐν τῷ δεκάτῳ σικελίας, Καίτοι καὶ ζάγκλης ἐδόκει δρεπανηΐδος ἄστυ. τὸ γὰρ δρέπανον οἱ σικελοὶ ζάγκλον καλοῦσι. τὸ ἐθνικὸν, ζαγκλαῖος. καὶ ζαγκλαϊκὸς τὸ κτητικόν.

Ζ άγυσις, χωρίον λιβύης. ἀλέξανδρος ἐν τρίτῳ λιβυκῶν. τὸ ἐθνικὸν, ζαγυσῖται.

Ζ αδράμη, βασίλειον τῶν κιναιδοκολπιτῶν, περὶ οὗ προοῦμεν ἐν τῷ κ. εἰσὶ δὲ ἔθνος τῆς εὐδαίμονος ἀραβίας. μαρκιανὸς ἐν περίπλῳ αὐτῆς, Ζαδραμιτῶν, καὶ κιναιδοκολπιτῶν. τὸ ἐθνικὸν, ζαδραμαῖος.

Ζ αὰ, πόλις βοιωτίας ἀρχαιοτάτη. τὸ ἐθνικὸν, ζαάτης, ὡς βοιάτης. ἡρωδιανὸς καὶ διὰ τοῦ ε, καὶ διὰ τῆς αι.

Ζ άκανθα, πόλις ἰβηρίας, ἣν εἷλεν Αννίβας, ὡς ἀπολλόδωρος ἐν χρονικῶν τρίτῳ. τὸ ἐθνικὸν, ζακανθαῖος.

Ζ άκυνθος, πόλις, ἀπὸ Ζακύνθου τοῦ δαρδάνου. ἀρσενικῶς ὅμηρος, καὶ θηλυκῶς. καὶ ὑλήεσσα ζάκυνθος, καὶ ὑλήεντα ζάκυνθον. δευτέρα, ἰβηρίας. τρίτη, λιβύης, ἣν καὶ ζακυνθίαν τινὲς ἀνέγραψαν. ὁ πολίτης τῆς ζακύνθου, ζακύνθιος, καὶ ζακυνθία. τῆς δὲ ζακυνθίας, ζακυνθιανὸς, ὡς ἀδριανός. ἢ ζακυνθιεὺς, ὡς ἀκανθιεὺς, οἰχαλιεύς.

Ζ άρηξ, πόλις λακωνικὴ πρὸς τῇ θαλάσσῃ, καὶ ἥρως ἀθηναῖος, ὡς παυσανίας ἐν πρώτῳ. ἔστι καὶ ἱπποθόωντος ἡρῷον, ἀφ' οὗ καὶ φυλὴν ὀνομάζουσι. τὸ ἐθνικὸν, ζαρήκιος ἀπὸ τῆς γενικῆς, ὡς θρᾴκιος.

Ζ άρητα, κρήνη ὑπὲρ τῆς καλχηδονίας θαλάσσης, μικροὺς τρέφουσα κροκοδείλους, οἳ καλοῦνται ζαρήτιοι.

Ζ αρίασπα, ἢ ζαριάσπη, πόλις βακτριανή. στράβων ἐν δεκάτῃ. ἣ ἐκαλεῖτο καὶ βάκτρα. χάραξ δὲ οὐδετέρως τὰ ζαρίασπα. οἱ οἰκοῦντες, ζαριασπηνοὶ ἐγχωρίως. ἀπὸ δὲ τοῦ ζαριάσπη, ζαριασπεύς.

Ζ αύηκες, ἔθνος λιβύης. ἡρόδοτος δ. ζαύηκες ἔθνος. ἑκαταῖος ἐν περιηγήσει ἀσίας.

Τὸ ζῆτα

Τὸ ζῆτα μετὰ τοῦ ε ψιλοῦ.

Ζ εβέκη, πόλις τῆς γαλιλαίας. ἰώσηπος ἰουδαϊκῆς ἀρχαιολογίας πέμπτῳ. τὸ ἐθνικὸν, ζεβεκηνὸς, ὡς αὐτός. σημαίνει δὲ τὸ ὄνομα κυρίως.

Ζ ειρινία, πόλις θρᾴκης. θεόπομπος φιλιππικῶν γ. τὸ ἐθνικὸν, ζειριάτης, ὡς κυδωνιάτης.

Ζ έλεια, πόλις τρῳάδος. οἱ δὲ, ζέλειαν ἔναιον. ὅμηρος. ἀπὸ ζελείου ἥρωος. οἱ δὲ, ζέλην αὐτήν φασι. τὸ ἐθνικὸν, ζελείτης. παρὰ ποσειδίππῳ δι' εὐριπίδου τοῦ ι. ἡρῳδιανὸς ζελειάτην φησιν. ἔστι τὸ ζελειάτης, καὶ ζελείτης. ἔστι καὶ ζέλεια φρούριον κυζίκου, ὡς διογένης ἐν πρώτῃ κυζίκου. τὸ ἐθνικὸν, ὅμοιον. ποσείδιππος δὲ πάνδαρος παρὰ τῷ σιμοῦντι τεθάφθαι φασιν. οὐ δὲ λυκίων δέξατό σε ζελείην, ἀλλὰ προχοῇσι σιμόεντος. διὰ τοῦτό σοι ἕκτωρ σῆμα καὶ ἀγχίμαχοι θέντο λυκαονίδαι.

Ζ εῦγμα, πόλις συρίας ἐπὶ τῷ εὐφράτῃ, ὃν ἀλέξανδρος ζεύξας ἁλύσει, διεβίβασε τὰ στρατόπεδα. τὸ ἐθνικὸν, οἱ μὲν ἐπιχώριοι, ζευγματεύς. δεῖ δὲ ζευγματίτης, ὡς σκαλωνίτης. ὡς καὶ πρωτέας ὁ γραμματικὸς ζευγματίτης.

Ζ εφύριον, ἡ ἁλικαρνασσὸς τῆς καρίας οὕτως ἐκαλεῖτο. καὶ πόλις κιλικίας. τὸ ἐθνικὸν, ζεφυριώτης. ἔστι καὶ σκυθίας χωρίον. ἔστι καὶ ἰταλίας ζεφύριον, ἀφ' οὗ λοκροὶ ἐπιζεφύριοι. ἔστι καὶ ἄκρα τῆς αἰγύπτου, ἀφ' ἧς ἡ ἀφροδίτη καὶ ἀρσινόη ζεφυρίτης, ὡς καλλίμαχος. τὸ οὖν ζεφυρίτης, ἀπὸ τοῦ ζεφυριώτης συγκοπῇ τοῦ ω, ὡς τὸ θρονίτης. ἀρκάδιος δὲ διὰ διφθόγγου γράφει.

Τὸ ζῆτα μετὰ τοῦ ἦτα.

Ζ ήβυττις, πόλις λιβύης. ἑκαταῖος ἀσίᾳ. ὁ πολίτης, ζηβυττίτης.

Ζ ῆλα, τόπος ἀρμενίας, ἡ* ἀρτέμιδι ζέκια λεγομένη. καὶ αὐτὴ οὐδετέρως. ἔστι καὶ ζίηλα πρὸς σουλλάβως πόλις καππαδοκίας, ἣν ἔκτισεν ὁ νικομήδους υἱὸς ζιήλας. ὁ πολίτης, ζιλήτης.

Ζ ῆλος, πόλις τῶν ἑσπερίων αἰθιόπων. στράβων ἑκκαιδεκάτῃ. ὁ πολίτης, ζηλίτης.

Ζ ηνοδότιον, πόλις ὀσροηνῆς, πλησίον νικηφορίου. ἀρριανὸς παρθικῶν δευτέρῳ. τὸ ἐθνικὸν, ζηνοδότιος, καὶ ζηνοδοτιεὺς, καὶ ζηνοδοτηνὸς ἐπιχωρίως.

Ζ ηραίνιοι, ἔθνος θρᾴκης. θεόπομπος εἰκοστῷ πέμπτῳ. καὶ ζηραινία, ἐπὶ τῆς χώρας. ἔφορος εἰκοστῷ ἑβδόμῳ.

Ζ ήρυνθος, πόλις καὶ ἄντρον ἑκάτης ἐν θρᾴκῃ. λυκόφρων, ζήρυνθος ἄντρον τῆς κυνὸς φησιν. ὁ πολίτης, ζηρύνθιος, καὶ ζηρυνθίας.

Τὸ ζῆτα μετὰ τοῦ ἰῶτα.

Ζ ιποίτιον, πόλις βιθυνίας, ἀπὸ ζιποίτου βασιλέως. τὸ ἐθνικὸν, ζιποίτιος.

Τὸ ζῆτα μετὰ τοῦ ο μικροῦ.

Ζ όαρα, πόλις περσική. οἱ οἰκοῦντες, ζοαρᾶται. διονύσιος καὶ ζοαρούς αὐτούς φησιν ἐν τρίτῳ βασσαρικῶν. ἔστι καὶ κώμη μεγάλη φρούριον ἐν παλαιστίνῃ, ἐπὶ τῇ ἀσφαλτίτιδι καλουμένῃ θαλάσσῃ ζόαρα οὐδετέρως. δηλοῖ δὲ τῇ ἑβραίων φωνῇ τὸ μικρὸν, ὅποι ὁ λὼτ ἔφυγε, καὶ ἐσώθη ἀπὸ τῆς σοδομιτικῆς ὀργῆς. οἱ πολῖται τοῦ χωρίου, ζοαρηνοὶ, διὰ τὸν ἐγχώριον τύπον, καὶ ζοαρᾶται. οἱ γὰρ δύο τύποι ἀράβιοι.

Ζ οίτειον, πόλις ἀρκαδίας. παυσανίας δι ακοσιοστῷ ὀγδόῳ. λέγεται καὶ ζείτειον, ἀπὸ ζείτεως. τὸ ἐθνικὸν παρὰ τὸ ζοίτειον, ζοιτειεύς. παρὰ δὲ τὴν ζοίτειαν, ζοιτεύς.

Ζ ομβὶς, πόλις τῆς μηδίας.

Ζ οῦχις, πόλις λιβύης, περὶ τὴν σύρτιν. στράβων ἑκκαιδεκάτῃ. ὁ πολίτης, ζουχίτης.

Τὸ ζῆτα μετὰ τοῦ υ ψιλοῦ.

Ζ ύγινα, νῆσος ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ. τὸ ἐθνικὸν, ζυγινίτης. καὶ κτητικὸν, ζυγινικός.

Ζ υγαντὶς, πόλις λιβύης. ἑκαταῖος ἀσίας περιηγήσει. οἱ πολῖται, ζυγάντες, οἳ τὰ ἄνθη συλλέγοντες, μέλι ποιοῦσιν, ὥς τε μὴ λείπεσθαι τοῦ ὑπὸ τῶν μελισσῶν γιγνομένου, ὡς εὔδοξος ὁ κνίδιος ἐν ἕκτῳ γῆς περιόδου.

Ζ υγοὶ, πρὸς τῷ τῆς ἀσίας βοσπόρῳ. στράβων ἑνδεκάτῃ. τούτων ἔοικε καὶ ἡ ζυγόπολις παρὰ τραπεζοῦντα. στράβων δυοκαιδεκάτῃ. τοῦ ζυγοὶ τὸ ἐθνικὸν, ζυγιανός.

Τὸ ζῆτα μετὰ τοῦ ω μεγάλου.

Ζ ωβίδαι, ἔθνος πλησίον καρμανίας. κουάδρατος ἐν παρθικῶν δευτέρῳ.

Ζ ώνη, πόλις κικόνων. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, ζωναῖος.

Ζ ωστὴρ, τῆς ἀττικῆς ἰσθμὸς, ὅπου φασὶ τὴν λητὼ λῦσαι τὴν ζώνην, καθεῖσαν ἐν τῇ λίμνῃ λούσασθαι. ἐνταῦθα θύουσιν ἁλιεῖς λητοῖ, καὶ ἀρτέμιδι, καὶ ἀπόλλωνι ζωστηρίῳ. ὁ τοπίτης, ζωστήριος. τιμᾶται καὶ ζωστηρία ἀθηνᾶ ἐν λοκροῖς τοῖς ἐπικνημιδίοις.

## ΑΡΧΗ ΤΟΥ ΗΤΑ ΣΤΟΙΧΕΙΟΥ.

Τὸ ἦτα μετὰ τοῦ δέλτα.

Η δοὶ, ἔθνος σκυθικόν. ἑκαταῖος εὐρώπῃ.

Η δύμη, πόλις καρίας. τὸ ἐθνικὸν, ἡδυμαῖος.

Η δωνοὶ, ἔθνος θρᾴκης, ἀπὸ ἠδωνοῦ, τοῦ μύγδονος ἀδελφοῦ. καὶ τὸ θηλυκὸν, ἠδωνὴ, καὶ ἠδωναί. λέγεται καὶ ἠδωνεὺς, καὶ ἠδωνιάτης.

Τὸ ἦτα μετὰ τοῦ ε ψιλοῦ.

Η ετιώνεια, οὕτως ἡ ἑτέρα τοῦ πειραιέως ἄκρα, ἀπὸ ἠετίωνος. τὸ ἐθνικὸν, ἠετιών.

Τὸ ἦτα μετὰ τοῦ ἰῶτα.

Η ϊὼν, πόλις ἐν χερρονήσῳ, ὡς θουκυδίδης.

τὸ ἐθνικὸν, ἠϊονεύς. ἔστι καὶ ἄλλη πρὸς τῇ θρᾳκίᾳ. τὸ ἐθνικὸν ταύτης, ἠϊονίτης.

τὸ ἦτα μετὰ τοῦ λάμβδα.

Η λακάταιον, ὄρος θετταλίας, ὅπου καὶ διὸς ἠλακαταίου ἱερόν. τὸ ἐθνικὸν, ἠλακαταιεύς. καὶ ζεὺς ἠλακαταιεύς.

Η λεκτρίδαι νῆσοι, ἐν αἷς εἰσι δύο ἀνδριάντες, δαιδάλου, καὶ ἰκάρου. ταύτας δὲ τὰς νήσους φασὶ καὶ τὸν ἠριδανὸν ποταμὸν προσκεχωρηκέναι. ἔστι δὲ καὶ λίμνη πλησίον τοῦ ποταμοῦ, ὕδωρ ἔχουσα θερμόν. ὀσμὴ δὲ ἀπ' αὐτῆς βαρεῖα καὶ χαλεπὴ ἀποπνεῖ. καὶ οὔτε ζῶον πίνει ἐξ αὐτῆς, οὔτε ὄρνεον ὑπερίπταται, ἀλλὰ πίπτει, καὶ ἀποθνήσκει. ἔστι δὲ ὁ κύκλος στάδια διακόσια τὸ εὖρος. καὶ μυθολογοῦσι φαέθοντα κεραυνωθέντα πεσεῖν ἐκεῖ. εἶναι δὲ ἐκεῖ καὶ αἰγείρους πολλὰς, ἐξ ὧν πίπτει τὸ καλούμενον ἤλεκτρον, ὅμοιον κομμιδίῳ, διὰ τὸ σκληροῦσθαι ὡς λίθον. οἱ κατοικοῦντες, ἠλεκτρῖται. πρὸς τὸν τύπον ἠλεκτρινοί, διὰ τὸ ἐπιχώριον.

Η λιαία, δικαστήριον ἀθηναίων. παρὰ τὸ ἅλις, δεύτερον παράγωγον, ἁλία, καὶ ἡλιαία. ἔστι δὲ τὸ μέγα δικαστήριον, τὸ ἐκ τῶν τεττάρων ἠλισμένον δικαστηρίων ἐκ πεντακοσίων καὶ πεντήκοντα, καὶ διακοσίων, καὶ ἑκατόν. οἱ δὲ ἐκφερόμενοι, ἐλέγοντο ἡλιασταί. ἐκ γὰρ τοῦ ἅλις, ἁλία γίνεται. καὶ ὡς βία, βιάζω, καὶ αἰτία, αἰτιάζω, οὕτως ἁλία, ἁλιάζω. καὶ ἁλιαστὴς, ὡς δικαστὴς, καὶ ἡλιαστής. καὶ κτητικὸν ἡλιαστικὸς, παρὰ τὸ ἡλιαστής.

Η λιούπολις, πόλις αἰγύπτου, ἣν ἔκτισεν Ἀκτὶς ὁ ἡλί[...]ρόδης. ἡρόδοτος δευτέρᾳ. ἔστι καὶ θρᾴκης. καὶ τῆς ἀρωματοφόρου, ἀπὸ τῆς αἰγυπτίας. καὶ δύο ἐν σάρδεσι. καὶ ἡ κόρινθος ἡλιούπολις ἐλέγετο. εἶτα, πάτρος. καὶ οὕτως ἐφύρη. ἔστι καὶ ἐν φοινίκῃ. ὁ πολίτης, ἡλιοπολίτης.

Η λις, πόλις πρὸς τῇ αἰγυπτίᾳ ὀλυμπίᾳ, ἀπὸ Ἠλείου τοῦ ταντάλου παιδός. ἔστι καὶ ἄλλη ἀρκαδίας. καὶ τρίτη, ἰασονίας. ὁ πολίτης ἀπὸ τῆς ἤλιδος γενικῆς, ἀναλόγως ἠλίδειος, ὡς ἀδωνίδειος, καὶ εὐπολίδειος. καὶ κτητικῷ τύπῳ καθ' ὕφεσιν τοῦ δ, ἠλίειος, καὶ ἠλεῖος. ἀφ' οὗ ἀλεῖος ὁ ζεύς. τρύφων δέ φησιν ὅτι ἠλιέος, καὶ ἠλιεῖος, καὶ ἠλεῖος. ὅμηρος δὲ ἐπειοὺς αὐτούς φησι. καὶ κτητικὸς λέγεται ἠλιακός. λέγεται καὶ πατρωνυμικῶς ἠλιάδαι. λέγεται καὶ ἠλιδία, ὡς ψωφιδία, καὶ ἀρκαδία, ἀπὸ γενικῆς. καὶ ἐπίρρημα, ἠλιδίαθεν. τὸ δὲ ἠλεῖος, καὶ θηλυκῶς φασιν.

Η λώνη, πόλις περραιβική. ὅμηρος, ὀρθὴν καὶ ἠλώνην τε. νῦν δὲ λειμώνη, διὰ τὸ ἐν αὐτῇ λειμῶνα. τὸ ἐθνικὸν, ἠλωναῖος.

τὸ ἦτα μετὰ τοῦ μυ.

Η μαθία, πόλις καὶ χωρίον, ἡ νῦν μακεδονία καὶ ἡ μαθὶς ἡ χώρα.

Η μεροσκοπεῖον, κελτιβήρων πόλις, φωκαιέων ἄποικος. ἀρτεμίδωρος δευτέρῳ λόγῳ γεωγραφουμένων.

Η μίκυνες, ἔθνος οὐ πόρρω μασσαγετῶν, καὶ ὑπερβορέων. ἐν ἀπολλωνίῳ, ἠμικύνων τ' ἐνόησε περιώσιον ἀνδρῶν, τοῖς ὤμοισ καθύπερθεν ἐϋστεφέων. κυνὸς κρατὰς τέτραφε γαμφηλῇσι περικρατέεσσιν ἐρυμνῶς. τῶν μὲν θ' ὥς τε κυνῶν ὑλακὴ πέλει. οὐδέ τι τοί γε ἄλλων ἀγνώσσουσι βροτῶν ὀνομάκλυτον αὐδήν. καὶ ἡσίοδος.

τὸ ἦτα μετὰ τοῦ νυ.

Η νιοχία, χώρα παρὰ τῷ καυκάσῳ. οἱ οἰκήτορες, ἡνίοχοι. στράβων ἑνδεκάτῃ.

τὸ ἦτα μετὰ τοῦ πι.

Η πειρος, ἡ γενικὴ χώρα. οἱ μὲν, γὰρ εἰς δύο τὴν γῆν, οἱ δὲ, εἰς γ, οἱ δὲ, εἰς τέσσαρα διεμέρισαν. ἐξ αὐτῆς ἠπειρώτης, καὶ ἠπειρωτικός.

Η πιον, πόλις τριφυλλίας, ἣν ἠλεῖοι προσελάβοντο. τὸ ἐθνικὸν, ἠπιεύς.

τὸ ἦτα μετὰ τοῦ ῥῶ.

Η ραία, ἄκρα οὕτω λεγομένη κατάντικρυ χαλκηδόνος. ταύτην δ' ἐν τῇ συνηθείᾳ ἡρέαν φασί τινες κακῶς. ἄλλοι δὲ ἥρειον μυθοποιοῦντες, ὡς ἐκεῖσε ὀρύξαντες τάφους, χύτρας εὗρον, καὶ ὀστᾶ. πιστέον δὲ μᾶλλον τῷ βιθυνῷ δημοσθένει ἐν τῷ ιδ. βιβλίῳ. ἔστι δὲ προπάροιθε κλυτῆς καρχηδόνος ἄκρη Ἡραία, τρηχοῦσα, πολυσπιλάς. ἔνδοθε δ' αὐτῆς, λαϊνεον περὶ τεῖχος ἰὼν κοιλαίνεται εἴσω κόλπος ἁλός. φαίνοιεν ἰδὼν βαθυδινέα πάντη ἔμμεναι. ἰαμενὴ δὲ, καὶ οὐ βαθείας ἐστὶ θαλάσσης. ἔνθα τε νῆας ἄγον οἰόμενοι σκέπας εἶναι αὐτοφυοῦς ὅρμοιο. κακῷ δ' ἐνέκυρσαν ἐτοίμῳ. καὶ ἄλλοι οὕτως. ἔστι καὶ πόλις ἀρκαδίας, ἣ ἐλέγετο σολοεργός. κεῖται δὲ κατὰ μεσσήνην πρὸς πελοπόννησον. τὸ ἐθνικὸν, ἡραιεύς. λέγεται καὶ χωρὶς τοῦ ι, ὡς νικαεύς.

Η ραῖον, πόλις θρᾴκης. ἡρόδοτος τετάρτῃ. τὸ δὲ τεῖχος, ἡραῖον. οἱ πολῖται, ἡραῖοι. τοῦ δὲ ἡραίου τείχους, ἡραιοτειχῖται.

Η ράκλεια, πόλις θρᾴκης, ἐν τῷ πόντῳ. διάσημος. β, σικελίας. γ, λυδίας. δ, λιβύης. ε, σαρδοῦς. ς, ἰταλίας. ζ, κελτικῆς. η, θεσσαλίας. θ, καρίας. ι, ἐν τῷ λυδίῳ ταύρῳ. ια, μεταξὺ σκυθίας, καὶ ἰνδικῆς. ιβ, νῆσος ἐν τῷ καρπαθίῳ πελάγει. ιγ, συρίας. ιδ, φοινίκης. ιε, περιβρίας. ις, πόλις, καὶ νῆσος. ιζ, κρήτης. ιη, πισατική. ιθ, καρίας, ἡ λεγομένη ἀλκμαίνιος μεσόγειος. κ, πόλις πρὸς τῇ κυμαίᾳ τῆς αἰολίδος. κα, ἀκαρνανίας πόλις. κβ, νῆσος ἐν τῷ ἀτλαντικῷ. κγ, μακεδονίας, ἀμύντου τοῦ φιλίππου κτίσμα. τὸ ἐθνικὸν, ἡρακλεύς, καὶ ἡρακλειώτης, καὶ ἡρακλεώτης, καὶ ἡράκλειον, καὶ ἡρακλεωτικόν.

Η ρακλεοβουκόλοι, αἰγυπτιακὴ συνοικία.

ἡρακλεοῦ

Ηρακλεοῦ πόλις, πόλις αἰγυπτία, ἐξ ἧς Θεοφάνης ὁ φυσικός. β, πλησίον πηλουσίου. γ, κατὰ τὸ κανωβικὸν στόμα. οἱ πολῖται, ἡρακλεωπολῖται.

Ηρηκος, πόλις σαβίνων. τὸ ἐθνικὸν, ἡρηκῖνος.

Ηρῶ, πόλις αἰγυπτία, ἣ αἷμος ἐκλήθη, διὰ τὸ τὸν τυφῶ ἐνταῦθα κεραυνῷ βληθῆναι, καὶ αἵματι ῥυῆναι. στράβων δὲ ἡρώων πόλιν αὐτὴν καλεῖ. ὁ πολίτης ταύτης, ἡρωοπολίτης. τῆς δὲ πρώτης, ἡρῶος, ὡς κῶος.

Ηρονία, ἡ σαρδέων χώρα, ἢ καὶ ἀσία. τὸ ἐθνικὸν, ἡρονεύς.

τὸ ἦτα μετὰ τοῦ σίγμα.

Ησσὸς, πόλις λοκρίδος. τὸ ἐθνικὸν, ἡσσιος. θουκυδίδης γ.

τὸ ἦτα μετὰ τοῦ ταῦ.

Ητία, δῆμος λακωνικῆς, ἢ τῆς κρήτης πόλις. ὅθεν ἦν μυσῶν, εἷς τῶν ἑπτὰ σοφῶν χρηματίσας. ἠτιος, οὗ μέμνηται πλάτων ἐν τῷ πρωταγόρᾳ, οὐ χηνέα εἰπών. δίδυμος δὲ συμποσιακῶν δεκάτῳ ἤτιον αὐτὸν καλεῖ.

τὸ ἦτα μετὰ τοῦ φῖ.

Ηφαιστία, δῆμος ἀκαμαντίδος φυλῆς, ἐν ᾧ ἦν ἡφαίστου ἱερόν. ὁ δημότης, ἡφαιστιάδης. τὰ τοπικὰ, ἐξ ἡφαιστιαδῶν. καὶ τὰ λοιπά.

Ηφαιστία, πόλις ἐν λήμνῳ. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, ἡφαιστιεύς. χάραξ δ᾽ ἐν δεκάτῳ χρονικῶν φησιν, ὅτι μυρηναῖοι τῶν πελασγικῶν ὑποθέσεων καταφρονήσαντες, ἀπέκλεισαν τῷ μιλτιάδῃ τὰς πύλας. κἀκεῖνος πολιορκίᾳ παρεστήσατο αὐτούς. τῶν δ᾽ ἡφαιστιέων τύραννος ὢν, φοβηθεὶς τὴν δύναμιν, ἔφη χαριζόμενος τοῖς ἀθηναίοις φίλοις οὖσιν, ἐμπεδῶν τὰ ὁμολογηθέντα ὑπὸ τῶν πελασγῶν ἀμαχεὶ παρέδωκε τὴν πόλιν.

Ηφαίστου νῆσοι, τῆς ἀδιαβηνῆς. ἀρριανὸς ιγ. παρθικῶν. τὸ ἐθνικὸν, ἡφαιστονησιώτης.

## ΑΡΧΗ ΤΟΥ ΘΗΤΑ ΣΤΟΙΧΕΙΟΥ.

τὸ θῆτα μετὰ τοῦ ἄλφα.

Θαλάμαι, πόλις τῆς μεσηνίας. θεόπομπος τεσσαρακοστῷ δευτέρῳ φιλιππικῶν. τὸ ἐθνικὸν, θαλαμάται.

Θάλασσα. τὸ ἐθνικὸν, θαλασσαῖος, καὶ θαλασσεὺς, καὶ θαλάσσιος.

Θάλπουσα, πόλις τῆς ἀρκαδίας τοῦ ὀρχομενοῦ. τὸ ἐθνικὸν, θαλπούσιος.

Θαλαμαναῖοι, ἔθνος πέρσαις ὑπήκοον. ἡρόδοτος γ.

Θαλαμέα, πόλις θεσσαλίας. ῥιανὸς τεσσαρεσκαιδεκάτῃ θεσσαλικῶν. καὶ θαμίεια, τὸ ἐθνικὸν, θαμιεύς.

Θάμνα, πόλις παλαιστίνης. ἰώσηπος πέμπτῳ ἰουδαϊκῆς ἱστορίας. οἱ πολῖται, θαμνῖται.

Θαμουδὰ, ναβαταίων γείτων τῶν ἀραβίων. οὐράνιος ἀραβικῶν τρίτῃ. ὁ οἰκήτωρ, θαμουδηνός.

Θάσος, νῆσος πρὸς τῇ θρᾴκῃ, ἔνθα τηλέφασσα ἡ τῆς εὐρώπης θνήσκει μήτηρ. ἀπὸ θάσου, ὃς ἦν πέντε γενεαῖς ἡρακλέους. καὶ θάσος παλαίτερος, εἴπερ ἀπὸ ἀγήνορος, προῖκος ἦν. ἀγήνορος δὲ, βῆλος ἀδελφὸς ἰοῦς. βήλου δ᾽ αἴγυπτος. οὗ, λυγκεύς. οὗ, ἄβας. οὗ, δανάη. ἧς, περσεύς. οὗ, ἀλκαῖος. οὗ, ἀμφιτρύων. οὗ, ἡρακλῆς. ὅτι δὲ καὶ ἀερία ἡ θάσος, δῆλον ἐκ τοῦ χρησμοῦ τοῦ δοθέντος τῷ τοῦ ἀρχιλόχου ἀγγέλῳ πατρὶ τελεσικλεῖ, ὥς σε κελεύω νήσῳ ἐν ἠερίῃ κτίζειν εὐδείελον ἄστυ.

Θαυμακία, πόλις μαγνησίας. ὅμηρος, οἳ δ᾽ ἄρα μηθώνην, καὶ θαυμακίην ἐνέμοντο. ἀπὸ θαυμάκου τοῦ ποίαντος παιδὸς, ἀφ᾽ οὗ νῆσος. δευτέρα, πόλις κατὰ τὸν μαλίαν κόλπον. οἱ ἔνοικοι, θαυμακοί. καὶ θαυμακίας ἱερὸν ἀρτέμιδος.

Θαυμάσιον, ὄρος ἀρκαδίας, ἐν ᾧ τὸν λίθον ὁ κρόνος κατέπιεν. οἱ ἐνοικοῦντες, θαυμάσιοι.

Θάψακος, πόλις συρίας πρὸς τῷ εὐφράτῃ. θεόπομπος ἐν φιλιππικῶν τρίτῳ. ὁ πολίτης, θαψακηνός.

Θαψίπολις, πλησίον χαλκηδόνος. τὸ ἐθνικὸν, θαψιπολίτης. κουάδρατος δυοκαιδεκάτῳ ῥωμαϊκῶν.

Θάψος, πόλις λιβύης. στράβων ἑπτακαιδεκάτῳ. ἔστι καὶ σικελίας. ἔστι καὶ χερσόνησος ἐν τῷ στενῷ τοῦ ἰσθμοῦ. τὸ ἐθνικὸν, θάψιος.

τὸ θῆτα μετὰ τοῦ ε ψιλοῦ.

Θέα, πόλις λακωνικῆς. φιλόχορος τρίτῳ. θεεῖς, ὡς θουκυδίδης.

Θεάγγελα, πόλις καρίας. ὁ πολίτης, θεαγγελεύς.

Θεβηθὰ, φρούριον μεσοποταμίας. ἀρριανὸς ἑνδεκάτῃ. ὁ οἰκήτωρ, θεβηνὸς, ὡς ἔκμαθα, ἐκμαθηνός.

Θεισόα, πόλις ἀρκαδίας. παυσανίας ὀγδόῳ. ὁ πολίτης, θεισοάτης, ὡς λυκοάτης.

Θελαμοῦζα, φρούριον τῆς παρ᾽ εὐφράτην ἀραβίας, ὡς κουάδρατος ἐν παρθικῶν ἑβδόμῃ. τὸ ἐθνικὸν, θαλαμουζαῖος.

Θεμβρίνμος, πόλις καρίας, ἀπὸ θεμβρίμου. ὁ πολίτης, θεμβριμεύς.

Θεμίσκυρα, πόλις, ἢ πεδίον αὐτῆς θερμώδοντος. καὶ οἱ οἰκοῦντες τὴν χώραν, θεμισκύριοι. λέγεται καὶ θεμισκύρεια.

Θεμισσὸς, πόλις καρίας, ἣν ἔκτισε δάδας, ἀπὸ θεμισσοῦ παιδὸς, ὃν λύκοι διεχώρισαν το. ὁ πολίτης, θεμισσεύς.

Θεμισώνιον, χωρίον φρυγίας. ἀρτεμίδωρος ἐν ἐπιτομῇ. τὸ ἐθνικὸν, θεμισώνιος.

Θένναι, πόλις κρήτης. ῥιανὸς δὲ ἀρκαδίας. ἔστι δὲ ὄρος. τὸ ἐθνικὸν, θενναῖος, καὶ θενναία.

καὶ θεννεῖσ.

Θευδοσία, ταυρικὴ πόλις παραλία. στράβων ζ. τὸ ἐθνικὸν, θευδοσιανὸσ, καὶ θευδοσιεύς.

Θεούπολις, ἡ μεγίστη τῆς ἕω πόλις, ἥτις ἐξ ἀντιοχείας μετὰ τὸν σεισμὸν ὠνομάσθη ἀπὸ Ἰουστινιανοῦ. ὁ πολίτησ ὁμοίως.

Θεράμναι, πόλις λακωνική, ἣν τινες θεράπνην φασίν. ἔστι καὶ τόπος ἔχων ναὸν τῶν διοσκούρων, διὰ τὸ ἐκεῖσε τούτους τιμᾶσθαι. θεραπεύειν γὰρ τιμᾶν σημαίνει. σημαίνει καὶ τὴν οἰκίαν. τὸ ἐθνικὸν, θεραμναῖος, καὶ θεραμναία, καὶ θεραμναῖον.

Θέρμα, χωρίον σικελίασ. φίλιππος τρίτῳ. τὸ ἐθνικὸν, θερμαῖος. ἔστι καὶ βιθυνίασ θέρμα. τὰ μὲν, πύθια. τὰ δὲ, ἐν προύσῃ βασιλικὰ λεγόμενα. τὰ δὲ, ἐν καππαδοκίᾳ. τὰ δὲ, ἐν συρίᾳ. τὰ δὲ, δορυλαίου. οἱ οἰκοῦντες, θερμηνοί.

Θέρμη, πόλις θρᾴκης. ἀπολλόδωροσ δὲ μακεδονίας φησὶ, καὶ θουκυδίδης. ὁ πολίτησ, θερμαῖος. ἔστι καὶ θερμαῖοσ κόλποσ.

Θέρμος, πολίχνιον αἰτωλίας, ὡς πολύβιος. τὸ ἐθνικὸν, θέρμιος. καὶ τὸ κτητικὸν, θερμικός.

Θερμύδρα, λιμὴν τῆς μιᾶσ τῶν ἐν ῥόδῳ πόλεων. τὸ ἐθνικὸν, θερμυδρεύς.

Θέρνη, πόλις θρᾴκης. τὸ ἐθνικὸν, θερναῖος.

Θερσῖται, ἔθνος ἰβηρικόν. πολύβιος τρίτῳ.

Θέσπεια, πόλις βοιωτίας. ὅμηρος, θέσπειαν, γραῖάν τε. Θεσπιάδου κτίσμα τοῦ τεύθραντοσ τοῦ πανδίονος. γράφεται καὶ διὰ τοῦ ι. καὶ ἐκτείνεται, καὶ συστέλλεται παρὰ Κορίννῃ. καὶ ἐπίγραμμα τῶν ἀναιρεθέντων περσῶν. ὅπερ ἐστὶ φιλιάδου μεγαρέως. Ἄνδρες θ' οἵ ποτ' ἔναιον ὑπὸ κροτάφῳ ἑλικῶνοσ, λήματι τῶν αὐχεῖ θεσπιὰς εὐρύχορος. περιληπτικῶς δὲ θεσπιαὶ ὀξυτόνωσ. καὶ θαῦμα πῶς τὸ ἐθνικὸν διὰ διφθόγγου γράφεται. δευτέρα, θεσσαλίασ. τρίτη, ἐν σαρδοῖ. ὁ πολίτης, θεσπιεὺς, καὶ θεσπικὸς, καὶ θεσπίς.

Θεσπρωτία, πόλις καὶ χώρα ἔξω τοῦ ἀμπρακικοῦ κόλπου. τὸ ἐθνικὸν, θεσπρωτὸσ, καὶ θεσπρωτὶς, καὶ θεσπρωτικόσ.

Θεσσαλία, ἀπὸ Θεσσαλοῦ. ἡ πρότερον πελασγία. ἐν ταύτῃ οὐκ ἔξεστι πελαργοὺς κτείνειν. τοὺς γὰρ τῆσ χώρασ ὄφεις ἀναιροῦσιν. ὁ πολίτης, θεσσαλιώτης, καὶ θετταλιώτης, καὶ θετταλὸς, καὶ θετταλίς. ἔστι καὶ θετταλὶς ὑπόδημά τι ποιὸν, ὡς λύσις ἐν βάκχαις. τὸ θετταλὴ δρᾶμα μενάνδρου βαρύνεται παρὰ ἀττικοῖς εἰς ἰδιότητα τεθέν. λέγεται καὶ θετταλίζω, ὡς δωρίζω. ἀφ' οὗ τὸ ἐν θετταλίσμεθα παρὰ τῷ εὐπόλιδι ἐν μαρικᾷ. τουτέστι, χλαμύδα θετταλικὴν φοροῦμεν. θετταλικὸν περόνημα.

Θεσσαλονίκη, πόλισ μακεδονίασ, ἥτις ἄρα ἐκαλεῖτο ἁλία, Κασσάνδρου κτίσμα. ἢ ὅτι φίλιππος τοῦ Ἀμύντου ἐκεῖ θετταλοὺσ νικήσασ, οὕτως ἐκάλεσε. λούκιος δὲ ὁ ταρραῖος περὶ θεσσαλονίκης βιβλίον ἔγραψεν, ὅς φησιν ὅτι φίλιππος θεασάμενος κόρην εὐπρεπῆ, καὶ εὐγενῆ, Ἰάσονος τὴν ἀδελφιδῆν, ἔγημε. καὶ τεκοῦσα, τῇ εἰκοστῇ ἡμέρᾳ τῆς λοχείας τέθνηκεν. ἀναλαβὼν οὖν ὁ φίλιππος τὸ παιδίον, ἔδωκε Νίκῃ τρέφειν, καὶ ἐκάλεσε Θεσσαλονίκην. ἡ γὰρ μήτηρ τοῦ παιδίου Νικασίπολις ἐκέκλητο. στράβων δὲ θεσσαλονίκειαν αὐτήν φησι. τὸ ἐθνικὸν, θεσσαλονικεύς.

Θέστωρος, ὡς κύπωρος, πόλις θρᾴκης. θεόπομπος εἰκοστῇ δευτέρᾳ. τὸ ἐθνικὸν, θεστώριος.

Θεσίδειον, πόλις θεσσαλονίκης. ἑλλάνικοσ δὲ δίχα τοῦ δ. φησίν. ἀπὸ θέτιδος. ἔστι καὶ λίμνη θρᾴκης, παρ' ἣν νῦν τὸ χωρίον. τὸ ἐθνικὸν, θεσιδεύς.

Θέσις, πόλισ ἀράβων. καὶ ἄλλη λιβύης. ὁ πολίτης ἑκατέρασ, θεσίτης χρηματίζει.

Τὸ θῆτα μετὰ τοῦ ἦτα.

Θήβη, πόλισ βοιωτίασ διάσημος, ἀπὸ Θήβησ τῆς προμηθέως. ὁ πολίτης, θηβαῖος, καὶ θηβαεύς. καὶ θηβαῒς καὶ ἡ χώρα, καὶ ἡ γυνή. ἔστι καὶ ἄλλη ἐν αἰγυπτίᾳ, περὶ ἧσ καλλίμαχός φησιν, ὅτι κατὰ τὰς αἰγυπτίας θήβασ ἔστι σπήλαιον, ὃ ταῖσ μὲν ἄλλαις ἡμέραις πληροῦται ἀνέμου, κατὰ δὲ τὰς τριακάδας, οὐ πνεῖ παντελῶς. τρίτη, θεσσαλίασ τῆς φθιώτιδοσ. τετάρτη, ἐν κιλικίᾳ ὑπὸ πλακίᾳ, πλησίον τῆσ τροίασ. ἧς ὁ πολίτης, θηβαΐτης. πέμπτη, ἰωνίασ κατὰ μίλητον. ἕκτη, ἐν τῇ ἀττικῇ. ἑβδόμη, τῆς καταονίασ. ὀγδόη, ἰταλίασ. ἐννάτη, συρίασ. τὸ κτητικὸν, θηβαϊκὸς, καὶ θηβαϊκή. τὰ τοπικὰ, θήβηθεν. θήβαζε. θήβησι.

Θητώνιον, πόλις θεσσαλίασ. ἑλλάνικος πρώτῃ δευκαλιωνίασ. τὸ ἐθνικὸν, θητώνιος.

Θημακοί, δῆμος τῆς ἐρεχθηΐδος φυλῆσ. ὡς δὲ φρύνιχος, τῆς πτολεμαΐδοσ. ὁ δημότης, θημακεύσ. τὸ τοπικὸν, θημακόθεν. θημακόνδε. θημακοῖ.

Θήρα, νῆσος τῶν σποράδων, κτίσμα Μεμβλιάρου ἑνὸς τῶν μετὰ κάδμου. ἐν ᾗ τοὺς ἑ τῶν ὀκτὼ θνήσκοντασ οὐκ ἐθρήνουν, οὐδὲ τοὺς ἑπτά. ἔστι καὶ ῥόδου πόλις ταπεινή, καὶ καρίας ἄλλη. καὶ τῆς σογδιανῆς ἄλλη. ὁ οἰκήτωρ, θηραῖος, καὶ θηραία, καὶ θηραϊκός. τὸ δὲ θηράσιος, ξένον. θηρασία γὰρ νησίον, ὡς εἰρήσεται.

Θηρασία, νῆσοσ ἐν τῷ μεταξὺ πόρῳ κρήτησ, καὶ κυρηναίας. τὸ α. μακρόν. μεταξὺ τῆς θήρας τε, καὶ θηρασίας. ὁ νησιώτης, θηράσιος.

Θηβαΐς, τόπος πρὸς τῷ πόντῳ, ἀπὸ μιᾶς τῶν ἀμαζόνων ὑφ' ἡρακλέους ἀναιρεθείσης κληθεῖσα. πεσεῖν γάρ φασι τὰς μάλιστα διαφερούσας, Τράγιαν τε, καὶ Ἰσοκράτειαν, καὶ Θήβαν,

Θήβαν, καὶ Γάλλαν, καὶ Κοίαν, καὶ Κοινίαν. ὁ πολίτης, θήβιος, ὡς ἀπὸ τῆς θήβης εὐθεῖ. ἔστι δὲ ἔθνος βασκαντικὸν, καὶ φθοροποιὸν, ὡς δίδυμος ἐν δευτέρῳ συμποσιακῶν. θανατοῖ δὲ τὸ πνεῦμα αὐτῶν ὅσα ἂν πλησιάζῃ. καὶ τὰ σώματα αὐτῶν ῥιφέντα εἰς θάλασσαν οὐ καταδύουσι.

Τὸ θῆτα μετὰ τοῦ ἰῶτα.

Θ ίβρος, πόλις. λυκόφρων, οἳ θίβρον οἰκήσουσι, κάτνιόν τ᾽ ὄρος. τὸ ἐθνικὸν, θίβριος.

Θ ίγη, πόλις λιβύης. ἑκαταῖος περιηγήσει. τὸ ἐθνικὸν, θίγγιος.

Θ ὶς, πόλις αἰγυπτία, πλησίον ἀβύδου. ὁ πολίτης, θινίτης. ἀλέξανδρος αἰγυπτιακῶν

Θ ίσβη, πόλις βοιωτίας. ὅμηρος, (πρώτῳ. Πολυτρήρωνά τε θίσβην. ἀπὸ Θίσβης τῆς ἀσωποῦ. λέγεται καὶ πληθυντικῶς. ὁ πολίτης, θισβαῖος. καὶ ὁ λιμὴν δὲ τῶν θισβαίων ὥς φησιν ἐπαφρόδιτος, καὶ τὸ ἐπίνειον, περιστερῶν πλῆρες. Ισμηνίας δὲ ὁ αὐλητὴς, θισβεὺς ἐχρημάτιζε, καὶ ὁ ἐρετριέων αὐλητής.

Τὸ θῆτα μετὰ τοῦ μυ.

Θ μοῦϊς, πόλις αἰγύπτου, ὡς ξόϊς. σάϊς. ὁ πολίτης, θμουΐτης.

Τὸ θῆτα μετὰ τοῦ ο μικροῦ.

Θ οραὶ, δῆμος τῆς ἀντιοχίδος φυλῆς. ὁ δημότης, θορεύς. τὰ τοπικὰ, θόραθεν. θόραζε.

Θ ορικὸς, δῆμος τῆς ἀκαμαντίδος (θόρασι. φυλῆς. ἑκαταῖος δὲ τὴν πόλιν αὐτήν φησιν. ὁ δημότης, θορίκιος, καὶ θορικεύς. τὰ τοπικὰ, ἐκ θορικοῦ. θορικόνδε. θορικοῖ.

Θ όρναξ, ὄρος τῆς λακωνικῆς. νικόλαος. δ. τὸ ἐθνικὸν, θορνάκιος, ὡς νάριξ, ναρίκιος.

Θ ούλη, νῆσος μεγάλη ἐν τῷ ὠκεανῷ ὑπὸ τὰ ὑπερβόρεια μέρη, ἔνθα τὴν θερινὴν ἡμέραν ὡρῶν εἴκοσιν ὁ ἥλιος ἰσημερινῶν ποιεῖ. τὴν δὲ νύκτα, τεσσάρων. τὰς δὲ χειμερινὰς, τοὐναντίον. τὸ ἐθνικὸν, θουλαῖος. ἴσως δὲ καὶ θουλίτης.

Θ ούριοι, πόλις ἰταλίας, ἡ πρότερον σύβαρις, ἀπὸ θουρίας πηγῆς. ὕστερον δὲ κωπίαι. λέγεται καὶ θουρία, καὶ θούριον, ὡς ἐν τῷ ἡροδότου ἐπιγράμματι, Ηρόδοτον λυξέω κρύπτει κόνις ἥδε θανόντα. Ιάδος ἀρχαίης ἱστορίης πρύτανιν. Δωρίων ἐκ πάτρης, βλαστόντ᾽ ἄπο τῶν γὰρ ἄπλητον μῶμον ἀπεκπροφυγὼν θούριον ἔσχε πάτρην. τὸ ἐθνικὸν, ὁμωνύμως θούριοι, καὶ θουριακοί. καὶ θουρῖνος οἶνος, ὡς στράβων. καὶ ὤφειλε δὲ ἀπὸ τοῦ θούριος, θουριανὸς, ὡς ὀλβιανός. ὡς πάριον, παριανός. ἢ παρὰ τὴν θουρίαν. παυσανίας δὲ ἀνθείαν αὐτήν φησι. καὶ τὸ ἐθνικὸν, θουριάται, καὶ θουριὰς τὸ θηλυκὸν, καὶ θουριεύς. τινὲς δὲ θουνίαν, καὶ θουνιάτης.

Τὸ θῆτα μετὰ τοῦ ῥῶ.

Θ ράκη, ἀπὸ νύμφης τιτανίδος, ἀφ᾽ ἧς καὶ κρόνου, δόλογκος. ἔστι δὲ ἡ θράκη χώρα, ἣ πέρκη ἐκαλεῖτο, καὶ ἀρία. τὸ ἐθνικὸν, θρᾷξ, καὶ θρᾷσσα, καὶ θρᾶττα ἀττικῶς. καὶ ἡ ἀπὸ θράκης δούλη. καὶ εἶδος ἰχθύος, καὶ ὀρνέου. τὸ θηλυκὸν, θρακία, ἀπὸ τοῦ θράκιος, καὶ θράκιον. τὸ δὲ θράκιος, λέγεται καὶ διὰ μακροῦ τοῦ ι. Ανδρα δὲ ζώει θρηΐκιον οὔτι φερήσει. τὸ ἐθνικόν φασι καὶ θρεϊκόν. καὶ θηλυκῶς, θρέϊσσαν. καὶ θρακιστὶ τὸ ἐπίρρημα, ὡς ἀπὸ τοῦ θρακίζω.

Θ ράκων, κώμη πλησίον ἀντιοχείας. τὸ ἐθνικὸν κατὰ τέχνην, θρακωκωμήτης.

Θ ράμβος, ἀκρωτήριον μακεδονίας. τὸ τοπικὸν, θραμβούσιος. ὁ δὲ δι᾽ τοῦ σιος τύπος δύο συλλαβῶν, εἰ μή τις βραχεῖα παραγωγὴ γένοιτο, τοῦ πρωτοτύπου περιττεύει. Σεσημείωται τὸ περκώσιος, καὶ κριθώσιος, ἀπὸ τοῦ περκώτη, καὶ κριθώτη.

Θ ρία, δῆμος τῆς οἰνηΐδος φυλῆς. λέγεται καὶ θριώ. ὁ δημότης, θριάσιος. καὶ θριάσιον πεδίον. ἔστι δὲ ὡς πίθρας, πιθράσιος. τὰ πλεῖστα δὲ διὰ τοῦ ω. θριῶθεν. θριῶζε. καὶ θριᾶσιν. ἀπὸ δὲ τοῦ θριαὶ, θριαῖος. λέγεται δὲ καὶ θριασικός. θριαὶ δὲ αἱ μαντικαὶ ψῆφοι, ἃς ἔτρεφεν ἀθηνᾶ. ἀχθομένους δὲ τοὺς τοῦ ἀπόλλωνος, ἄπιστον ὁ ζεὺς ἐποίησε τὴν διὰ τῶν θριῶν μαντικὴν εὐδοκιμοῦσαν. διὸ καὶ ἀπόλλων ἔφη, Πολλοὶ θριόβολοι, παῦροι δέ τε μάντιες ἄνδρες. ἔστι δὲ καὶ δῆμος θρίων, ἀπὸ θρί

Θ ρίγκη, πόλις περὶ τὰς στήλας. ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, θριγκαῖος, ὡς ζιγκαῖος.

Θ ριοῦς, πόλις πάλαι τῆς ἀχαΐας, νῦν δὲ τῆς ἠλείας, ὅμορος πάτραις, ἀπὸ Θριοῦντος ἀθηναίου, ὃν θησεὺς ἔπεμψε μετὰ στρατοῦ συμμαχήσειν ἡρακλεῖ. τὸ ἐθνικὸν, θριούντιος, καὶ θριάσιος.

Θ ρόνιον, πόλις λοκρῶν. ὅμηρος, Ταρφήν τε, θρόνιόν τε, βοαγρίου ἀμφὶ ῥέεθρα. τὸ ἐθνικὸν, θρόνιος, καὶ θρονίτης, καὶ θρονιεύς. τὸ δὲ θρονίτης, ἀπὸ τοῦ θρονιώτης.

Θ ρύανδα, πόλις λυκίας. ὁ πολίτης, θρυανδεύς.

Θ ρύον, πόλις τῆς μεσηνίας, ἐκ τῶν ἐν αὐτῇ φυομένων θρύων, ὁμωνύμως τῷ φυτῷ λεγομένη. λέγεται δὲ ἀπὸ τοῦ φυτοῦ θρυόεις, καὶ θρυόεσσα. κεῖται δ᾽ ἡ πόλις περὶ τὸν ἀλφειόν. ὁ πολίτης, θρυοέντιος, καὶ θρυούντιος. ἐκ δὲ τοῦ θρυόεσσης, θρυοεσσαῖος, ὡς σκοτουσσαῖος. καὶ θρυέσσιος, ὡς πιτυούσιος. καὶ θρυΐτης, ὡς λικνίτης.

Τὸ θῆτα μετὰ τοῦ υ ψιλοῦ.

Θ ύαμις, κώμη ὑπὸ Σεμιράμιδος κτισθεῖσα, παρὰ τὴν ἀναχώρησιν. τὸ ἐθνικὸν, θυαμίτης.

Θ υάτειρα, πόλις λυδίας, ἡ πρότερον πελόπεια, καὶ σεμίραμις, ἀπὸ Σελεύκου τοῦ Νικάτορος λυσιμάχῳ πολεμοῦντος, καὶ ἀκούσαντος ὅτι θυγάτηρ αὐτῷ γέγονε, τὴν πόλιν ἐκάλεσε θυγάτειρα. καὶ ἔδει θηλυκῶς. νῦν δὲ οὐδετέρως φασίν. ἐκαλεῖτο δὲ καὶ μυσῶν

ἐσχάτη. βουλομένων δὲ κτίσαι πόλιν τῶν μυσῶν, ἀνεῖλεν ὁ θεὸς, οὗ ἂν ὀφθείη ἔλαφος τετοξευμένη, καὶ θοάζουσα, κτίσαι. εὑρόντας δ᾽ ὀνομάσαι διὰ τὸ θέειν καὶ θοάζειν τὴν ἔλαφον. τὸ ἐθνικὸν, θυατειρηνὸς, ὡς γάγγρα, γαγγρηνός. ἀφ᾽ οὗ νίκανδρος γραμματικὸς θυατειρηνὸς, ἢ κολοφώνιος.

Θ ύελλα, πόλις οἰνωτρίας, ἐν ᾗ μοῖρα φωκαέων ᾤκησεν, ὡς ἡρόδοτος α. τὸ ἐθνικὸν, θυελλαῖος.

Θ υεσσὸς, πόλις λυδίας. ὀξυτόνως. ἀπὸ θυέσσου καπήλου. ἔστι καὶ παπλαγονίας, ἧς τὸ ἐθνικὸν, θυεσσεύς.

Θ υμαιτάδαι, δῆμος τῆς ἱπποθοωντίδος φυλῆς. ὁ δημότης, θυμαιτάδης. τὰ τοπικὰ, ἐκ θυμαιταδῶν. καὶ τὰ ὅμοια.

Θ ύμβρα, πόλις τρῳάδος, δαρδάνου κτίσμα, ἀπὸ θυμβραίου φίλου αὐτοῦ. οὗ ποταμὸς θύμβριος. ἀφ᾽ οὗ ἀπόλλωνος θυμβραίου ἱερόν. λέγεται καὶ διὰ τοῦ ζ. ζυμβραῖος. λέγεται καὶ θύμβριος. ἑλλάνικος δὲ, δύμβειός φησι διὰ τοῦ δ, καὶ δυμβειεύς.

Θ ύμβραρα, πόλις ἀσίας, τῷ πακτωλῷ συνεχὴς, ὡς ξενοφῶν. τὸ ἐθνικὸν, θυμβραρεὺς ἔδει. ξενοφῶν δὲ θυμβραραῖός φησι.

Θ ύμβρις, ποταμὸς ῥώμης, ὃς καὶ τίβερις. τὸ ἐθνικὸν, θύμβριος, καὶ θυμβριάς.

Θ υμιατηρία, πόλις λιβύης. τὸ ἐθνικὸν, θυμιατήριος.

Θ ύνη, πόλις λιβύης, ὡς πολυΐστωρ ἀλέξανδρος. ὁ πολίτης, θυναῖος, ἢ σιδωναῖος.

Θ υνία, ἡ χώρα τῶν θύνων. τὸ ἐθνικὸν, θῦνος ὁμοφώνως τῷ οἰκιστῇ τῆς θυνίας, ὡς θετταλὸς, ἰταλός.

Θ υνιὰς, νῆσος πρὸς τῷ στόματι τοῦ πόντου, καὶ ἄκρα. τὸ ἐθνικὸν, θυνιάδιος, ὡς ψωφίδιος. καὶ θυνιαδεύς. λέγεται καὶ θύνη, καὶ θύνις, καὶ θυνηΐς.

Θ υραῖον, πόλις ἀρκάδων, κτίσμα θυραίου τοῦ λυκάονος παιδὸς. τὸ ἐθνικὸν, θυραῖος. ἢ νυμφαῖος. καὶ θυραιόθεν τοπικῶς.

Θ υρέα, περὶ ἧς ἀργεῖοι καὶ λακεδαιμόνιοι ἐπολέμησαν. ἔστι δὲ καὶ τῆς κυνουρίας γῆς. μεθορία δὲ τῆς ἀργείας καὶ λακεδαιμονίας. λέγεται καὶ πληθυντικῶς κατὰ συναίρεσιν θύραι. οἱ οἰκοῦντες, θυρεᾶται, ὡς τεγεᾶται. καὶ θηλυκῶς, θυρεᾶτις. ἔστι καὶ ἀκαρνανίας θύριον διὰ τοῦ ι. τὸ ἐθνικὸν, θυρεύς, ὡς σουνιεύς. ἀνδροτίων δὲ θούριός φησι.

Θ υσσαγέται, ἔθνος περὶ τὴν μαιῶτιν λίμνην, ὡς ἡρόδοτος.

τὸ θῆτα μετὰ τοῦ ω μεγάλου.

Θ ώκνεια, πόλις ἀρκαδίας, ἀπὸ θώκνου. παυσανίας ὀγδόῳ. ὁ πολίτης, θωκνεύς.

Θ ῶνις, πόλις αἰγύπτου, ἀπὸ θῶνος βασιλέως, τοῦ ξενίσαντος μενέλαον. κεῖται δὲ κατὰ τὸ στόμα τὸ κανωβικόν. ὁ πολίτης, θωνίτης.

Θ ώραξ, πόλις αἰτωλίας. ἔστι καὶ μαγνησίας. τὸ ἐθνικὸν, θωρακίτης.

## ΑΡΧΗ ΤΟΥ ΙΩΤΑ ΣΤΟΙΧΕΙΟΥ.

τὸ ἰῶτα μετὰ τοῦ ἄλφα.

ἰ Αβις, πόλις ἰωνικὴ, ἢ ἰσαυρική. λέγεται καὶ ἰαβισσός. ἐθνικόν. τῆς ἰάβιδος, ἰαβιδίτης. τῆς δὲ ἰαβισσοῦ, ἰαβισσηνός.

Ι αγξουάτις, πόλις λιβύων. ἑκαταῖος ἀσίᾳ. ὁ πολίτης, ἰαγξουατίτης. αἰγυπτίων γὰρ καὶ αἰθιόπων ὁ χαρακτήρ.

Ι αξαμάται, ἔθνος παρὰ μαιῶτιν, οὓς σαυρομάτας φησὶν ἔφορος.

Ι άζυγες, ἔθνος εὐρωπαῖον, ὡς μαρκιανὸς ἐν περίπλῳ.

Ι άθειππα, πόλις ἀραβίας, πλησίον τῆς ἔγρας. ὁ οἰκήτωρ, ἰαθειππηνός. ἐπιχώριος γὰρ ὁ τύπος, ὡς μηδαβηνός.

Ι αιτία, πόλις σικελίας. φίλιστος σικελικῶν δευτέρῳ. τὸ ἐθνικὸν, ἰαιτῖνος.

Ι άλυσος, πόλις ἐν ῥόδῳ, καὶ ἐν σκυθίᾳ, καὶ ἐν τῇ ἀσσυρίᾳ. ὁ πολίτης, ἰαλύσιος, καὶ ἰηλύσιος, καὶ ἰαλυσιάς.

Ι άμαι, ἔθνος σκυθικόν. ἑκαταῖος ἀσίᾳ.

Ι άμνια, πολίχνιον φοινίκης. στράβων δὲ κώμην φησὶν, ἀπὸ ἰάμνου. ἢ ὅτι ἰάμνους ἐκάλουν τοὺς καθύγρους καὶ τεθηλότας τόπους. τὸ ἐθνικὸν, ἔδει ἰαμνίτης. ἔστι δὲ καὶ ἰμνίτης καθ᾽ ὕφεσιν τοῦ α. τὰ γοῦν καθ᾽ ὕφεσιν τοῦ α διὰ διφθόγγου εἰσὶ, πλὴν τοῦ ἰαμνίτης, καὶ τοῦ δανίτης.

Ι αμοι, σκυθίας ἔθνος, ὡς ἀλέξανδρος ἐν τῷ περὶ εὐξείνου πόντου μυθολογεῖ.

Ι απὶς, χαράδρα ἀττικὴ εἰς μέγαρα ἀπάγουσα, ὡς καλλίμαχος ἑκάλῃ.

Ι άποδες, ἔθνος κελτικὸν πρὸς τῇ ἰλλυρίᾳ. διονύσιος ἑνδεκάτῳ.

Ι απυγία, δύο πόλεις. μία ἐν τῇ ἰταλίᾳ, καὶ ἑτέρα ἐν τῇ ἰλλυρίδι, ὡς ἑκαταῖος. τὸ ἐθνικὸν, ἰάπυξ, καὶ ἰαπύγιος, καὶ ἰαπυγία.

Ι αρδανος, ποταμὸς λυδίας. ὅμηρος, ἰαρδάνου ἀμφὶ ῥέεθρα. οἱ οἰκοῦντες, ἰαρδάνιοι.

Ι ὰς, ἰλλυρίας μέρος. οἱ οἰκοῦντες, ἰᾶται. λέγεται καὶ ἰωνική.

Ι ασσὸς, πόλις καρίας, ἐν ὁμωνύμῳ νήσῳ κειμένη, ἡ καὶ ὀξυτόνως λεγομένη. ὁ πολίτης αὐτοῦ ἰασσεὺς, ἀφ᾽ οὗ χοιρίλλος ἐὼν ἰασσεύς. ἴασος δὲ τὸ ἄργος, καὶ ἰάσιοι οἱ κατοικοῦντες.

Ι άων, καὶ ἰήων. καὶ ῥῆμα ἰαονίζω. ἀφ᾽ οὗ τὸ ἰαονιστὶ ἐπίρρημα. ἐκ δὲ τοῦ ἰάω, τὸ ἴαν. λέγεται καὶ θηλυκῶς ἰὰς, καὶ ἰαονίς.

τὸ ἰῶτα μετὰ τοῦ βῆτα.

Ι βαῖοι, οἱ καὶ ἰβηνοὶ, ἔθνη κελτικῆς. ἰβηνοὶ δ᾽ εἰσὶ καὶ λυδίας, οἱ καὶ ἰαωνίται λέγονται.

Ι βηρίαι, δύο. ἡ μὲν, πρὸς ταῖς ἡρακλείους στήλας, ἀπὸ ἴβηρος ποταμοῦ. ἡ δὲ ἑτέρα, πρὸς πέρσαις ἐστί. καὶ τὸ ἐθνικὸν, ἴβηρ. καὶ ἀπὸ τῆς

ἴβηρος

ἴβηρος γενικῆς, ἴβηρις. καὶ ἰβηρικός. καὶ ὁ ἴβηρος. φασὶ δ' αὐτοὺς ὑδροποτεῖν, ὡς ἀθηναῖος ἐν δειπνοσοφιστῶν δευτέρῳ. καὶ μονοσιτοῦσι διὰ μακρολογίαν. καὶ ἐσθῆσι κέχρηνται πολυτελεστάτοις, ὡς πλουσιώτατοι.

Ι βυλλα, πόλις ταρτησσίας. τὸ ἐθνικὸν, ἰβυλλῖνος. παρ' οἷς μέταλλα χρυσοῦ, καὶ ἀργύρου.

Τὸ ἰῶτα μετὰ τοῦ γάμμα.

Ι γνη, πόλις πλησίον τελεάτου. τὸ ἐθνικὸν, ἰγναῖος, καὶ ἰγναία. ἴγνητες, οἳ καὶ χωρὶς τοῦ ι λέγονται, ὡς εἴρηται ἐν τῷ γ.

Τὸ ἰῶτα μετὰ τοῦ δέλτα.

Ι δάλιον, πόλις κύπρου. χρησμὸς γὰρ ἐδόθη, ὅπου ἴδοι τὸν ἥλιον ἀνίσχοντα, πόλιν κτίσαι. ὁ οὖν χαλκήνωρ περιὼν, τις τῶν σὺν αὐτῷ ἔφη, εἶδον βασιλεῦ τὸν ἥλιον. ἀφ' οὗ ὠνομάσθαι τὴν πόλιν. τὸ ἐθνικὸν. ἰδαλεύς.

Ι δη, τὸ ὄρος. ὅμηρος, ἴδης μεδέων. ἀπὸ ἴδης τινὸς βασιλίσσης, ὡς χάραξ. οἱ οἰκοῦντες, ἰδαῖοι, καὶ ἰδηΐδαι, ἀπὸ τῆς ἰδηῒς εὐθείας θηλυκῆς.

Ι δομεναὶ, πόλις μακεδονίας. ὁ πολίτης, ἰδομένιος, ὡς κλαζομένιος.

Ι δουμαῖοι, ἔθνος ἑβραίων, ἀπὸ ἀδόμου. ἀδὸμ γὰρ οἱ ἰουδαῖοι τὸ ἐρυθρὸν καλοῦσιν. ὅτι ξανθὸν βρῶμα δοὺς τῷ ἀδελφῷ, τὰ πρωτεῖα εἰλή(φει.

Ι δριὰς, πόλις τῆς καρίας, ἡ πρότερον χρυσαορὶς, ἀπὸ ἰδριέως παιδὸς καρός. ὁ οἰκῶν, ἰδριεύς. καὶ ἰδριὰς τὸ θηλυκόν.

Ι δυμα, πόλις καρίας. οὗ καὶ ἴδυμος ποταμός. τὸ ἐθνικὸν, ἰδυμεὺς, καὶ ἴδυμος. λέγεται καὶ ἰδύμη πόλις.

Ι δυρος, πόλις, καὶ ποταμὸς παμφυλίας. ἑκαταῖος. ἢ καὶ ἴδυρις ὀξυτόνως. τὸ ἐθνικὸν, ἰδυρίτης τῷ τύπῳ τῶν εἰς ις.

Τὸ ἰῶτα μετὰ τοῦ ε ψιλοῦ.

Ι ερὰ κώμη, δῆμος καρίας. πολύβιος ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν, ἱεροκωμήτης.

Ι εραμαὶ, πόλις καρίας. τὸ ἐθνικὸν, ἱεραμεύς.

Ι εραίη, ἐν τῷ κρητικῷ πελάγει, ὡς χάραξ. ἔστι

Ι ερὰ νῆσος. ὁ οἰκήτωρ, ἱερο (καὶ αἰγύπτου. νησίτης, ἢ ἱερονήσιος.

Ι εραὶ πόλις, μεταξὺ φρυγίας, καὶ λυδίας, πόλις, θερμῶν ὑδάτων πολλῶν πλήθουσα, ἀπὸ τοῦ ἱερὰ πολλὰ ἔχειν. β, κρήτης. γ, συρίας, ἡ καὶ ἱερόπολις διὰ τοῦ ο. τετάρτη, καρίας. τὰ ἐθνικὰ, ἱεροπολῖται. ἀφ' οὗ Νικάνωρ ὁ νέος ὅμηρος, καὶ Πόπλιος, καὶ Σαραπίων στωϊκοὶ, καὶ ἄλλοι πλεῖστοι ἱεροπολῖται.

Ι ερᾶσα, χωρίον λιβύης. ἡ δὲ σύμπασα γῆ ἐκείνη, ἐλέγετο κυρήνη.

Ι ερὰ πύτνα, πόλις κρήτης, ἡ πρότερον κύρβα. εἶτα, πύτνα. εἶτα, κάμιρος. εἶθ' οὕτως ἱερὰ πύτνα. τὸ ἐθνικὸν, ἱεραπύτνιος.

Ι εράφη, ὡς ἀνάφη, νῆσος λιβύης. ἑκαταῖος περιηγήσει.

Ι εριχοῦς, μεταξὺ ἱεροσολύμων, καὶ ἰορδάνου ποταμοῦ. ἡ γενικὴ, ἱεριχοῦντος. λέγεται καὶ ἀρσενικῶς, καὶ θηλυκῶς. εὕρηται καὶ δοτικὴ ἱεριχοῖ, ἀπὸ τοῦ ἱεριχώ. τὸ ἐθνικὸν, ἱεριχουντῖ.

Ι έρνη, νῆσος ἐν τῷ πέρατι πρὸς δυσμαῖς. τὸ ἐθνικὸν, ἱερναῖος, ὡς λερναῖος.

Ι ερὸς κόλπος, πλησίον ἀράδου πόλεως. ὁ οἰκῶν, ἱεροκολπίτης.

Ι εροσόλυμα, ἡ μητρόπολις τῆς ἰουδαίας, ἣ σόλυμα ἐκαλεῖτο, ἀπὸ τῶν σολύμων ὀρῶν. ὁ πολίτης, ἱεροσολυμίτης.

Ι εταὶ, φρούριον σικελίας. θηλυκῶς. φίλιστος ἕκτῃ. τὸ ἐθνικὸν, ἰεταῖος, καὶ ἰεταία.

Τὸ ἰῶτα μετὰ τοῦ θῆτα.

Ι θάκη, νῆσος πρὸς τῇ κεφαλληνίᾳ, ἀπὸ ἰθάκου. ἀφ' ἧς Ὀδυσσεύς. ἔστι καὶ συρίας παρὰ τὸν εὐφράτην. τὸ ἐθνικὸν, ἰθακήσιος, καὶ ἰθακησία, καὶ ἴθακος ὁ ὀδυσσεὺς, ὁμοφώνως τῷ οἰκιστῇ.

Ι θώμη, πόλις θεσσαλίας τῆς πελασγιώτιδος. ὅμηρος, οἵ τ' εἶχον τείκην, καὶ ἰθώμην κλιμακόεσσαν. ἔστι καὶ μεσσήνης, ἀπὸ ἰθώμου βασιλέως. καλεῖται δὲ ὁ τόπος τῆς θετταλικῆς, θαύμακων. τὸ ἐθνικὸν, ἰθωμαῖος, καὶ ἰθωμαία, καὶ ἰθωμήτης διὰ τοῦ η. καὶ δωρικῷ τύπῳ, ἰθωμάτης. ἀφ' οὗ ὁ πολίτης, ἰθωμάτας. καὶ ζεὺς ἰθωμάτας. καὶ ἑορτὴ ἰθωμαία, καὶ ἰθωμαῒς.

Τὸ ἰῶτα μετὰ τοῦ κάππα.

Ι καρία, δῆμος τῆς αἰγηΐδος φυλῆς, ἀπὸ ἰκαρίου πατρὸς ἠριγόνης. ὁ δημότης, ἰκαριεύς. τὰ τοπικὰ, ἰκαριόθεν. ἰκαρίαζε. ἰκαριοῖ.

Ι καρος, μία νῆσος τῶν κυκλάδων. ἐκαλεῖτο δὲ μάκρις, καὶ δολίχη, καὶ ἰχθυόεσσα. δευτέρα, πόλις. τρίτη, νῆσος πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ. ὁ πολίτης, ἰκάριος. πόντου ἰκαρίοιο. καὶ θηλυκῶς, ἰκαρία.

Ι κόνιον, πόλις λυκαονίας, πρὸς τοῖς ὅροις τοῦ ταύρου. φασὶ δ' ὅτι ἦν τις Ἀννακὸς, ὃς ἔζησεν ὑπὲρ τὰ τριακόσια ἔτη. τοὺς δὲ περιξ μαντεύσασθαι ἕως τίνος βιώσεται. ἐδόθη δὲ χρησμὸς, ὅτι τούτου τελευτήσαντος, πάντες διαφθαρήσονται. οἱ δὲ φρύγες ἀκούσαντες, ἐθρήνουν σφοδρῶς. ἀφ' οὗ παροιμία τὸ, ἐπὶ Ἀννακοῦ κλαύσειν, ἐπὶ τῶν λίαν οἰκτιζομένων. γενομένου δὲ τοῦ κατακλυσμοῦ ἐπὶ δευκαλίωνος, πάντες διεφθάρησαν. ἀναξηρανθείσης δὲ τῆς γῆς, ὁ ζεὺς ἐκέλευσε τῷ προμηθεῖ καὶ τῇ ἀθηνᾷ εἴδωλα διαπλάσαι ἐκ τοῦ πηλοῦ. καὶ προσκαλεσάμενος τοὺς ἀνέμους, ἐμφυσῆσαι πᾶσιν ἐκέλευσε, καὶ ζῶντα ἀποτελέσαι. διὰ οὖν τὰς εἰκόνας ἐκεῖ διαγραφῆναι, ἰκόνιον κληθῆναι. καὶ ἔδει διὰ τῆς δι φθόγγου. ὁ πολί

Ι κὸς, νῆσος τῶν κυκλάδων, (της, ἰκονιεύς. προσεχὴς τῇ εὐβοίᾳ. ὁ νησιώτης, ἴκιος. ἔγραψε δὲ φανόδημος ἰκιακός.

Τὸ ἰῶτα μετὰ τοῦ λάμβδα.

Ι λαραυγάται, οἱ ἴβηρες. ἑκαταῖος εὐρώπῃ.

καὶ ἰλαρουγάτης ποταμός·
I λαρίσ, πόλις λυκίας· πολύχαρμος ἐν λυ
κιακοῖς· τὸ ἐθνικὸν, ἰλαρεύς·
I λαττία, πόλις κρήτης· πολύβιος τρισκαι-
δεκάτῳ· τὸ ἐθνικὸν, ἰλάττιος.
I λεϱδα, πόλις πρὸς τῇ πυρήνῃ ἰβηρίᾳ· ὁ πολί
της, ἰλερδίτης· ἰλλεὺς ὁ ἀπόλλων ἐν τροίᾳ·
I λιον, πόλις τρῳάδος, ἀπὸ Ἴλου· ἣν οἱ τρῶες
ἀκτὴν ἐκάλουν· καὶ αὐτῆς λόφοι δύο ἐν τῇ
προσοντίδι παρὰ ῥανδάκῳ ποταμῷ· τρίτη,
μακεδονίας, Ἑλένου κτίσμα· τετάρτη, θεσ
σαλίασ· πέμπτη, θρᾴκησ, κατὰ βιζύην· τὸ
ἐθνικὸν, ἰλιεύς· καὶ θηλυκὸν, ἰλιὰς, καὶ ἴλι
οσ, καὶ ἰλία, καὶ ἰλιακός· οὐδετέρως δὲ παρὰ
πᾶσι τὸ ἴλιον· παρ' ὁμήρῳ δὲ, θηλυκῶς· τὸ
γὰρ ἴλιον αἰπὺ, νοθεύει ἀρίσταρχος·
I λισὸς, πόλις τῆς ἀττικῆς, ἐν ᾧ τιμῶνται
αἱ μοῦσαι ἰλισίδεσ, ὡς ἀπολλόδωρος.
I λλυρία, χώρα πλησίον τοῦ παγγαίου, ἀπὸ
Ἰλλυριοῦ τοῦ κάδμονος παιδόσ. οἱ οἰκήτορες,
ἰλλυριοὶ, καὶ ἰλλυρεὺς, καὶ ἰλλυριὰς, καὶ ἰλλυρία,
καὶ ἰλλύριον· καὶ ἰλλυρίζω· ἰλλυριστί· ἰλλυρικός·
I λούργεια, πόλισ ἰβηρίασ. πολύβιοσ ἑν-
δεκάτῃ· τὸ ἐθνικὸν,
I άμβρασοσ, ἡ σάμος, ἀπὸ τοῦ ποταμοῦ· τὸ
ἐθνικὸν, ἰαμβράσιοσ, καὶ ἰαμβρασία·
Τὸ ἰῶτα μετὰ τοῦ μῦ·
I μβρος, νῆσος ἱερὰ καβείρων, καὶ ἑρμοῦ. ὃν
ἴμβρον λέγουσι μάκαρες· ἔστι καὶ πόλις·
οἱ οἰκοῦντεσ, ἴμβριοι·
I μέρα, πόλις σικελίασ· ἑκαταῖος εὐρώ-
πῃ· ἔστι καὶ λιβύησ· ὁ πολίτης, ἱμεραῖος· ἔστι
καὶ ποταμὸς ἱμέρασ, ὡς νικάνωρ·
I μυρα, πόλις φοινίκης· ὁ πολίτης, ἱμυρεύς·
I μφῆς, ἔθνος προσεχὲσ τοῖς περραιβοῖς· ἑκα
ταῖος εὐρώπῃ· οἰκέουσιν ἱμφέες περραιβοί·
Τὸ ἰῶτα μετὰ τοῦ νῦ·
I ναχία, ἡ πελοπόννησος, οὐ μόνον τὸ ἄργος·
ἀπὸ ἰνάχου τοῦ ποταμοῦ· τὸ ἐθνικὸν, ἰνάχι
ος· καὶ διὰ διφθόγγου, ὡς αἰσχύλος προμηθεῖ
δεσμώτῃ· Πῶς δ' οὐ κλύω τῆς οἰστροδινήτου
κόρησ τῆς ἰναχίης, ἣ διὸς θάλπει κέαρ· καὶ
οὐδέτερον· οἵ τ' ἰνάχειον σπέρμα τοὺς ἐμοὺσ
λόγους· καὶ διὰ τοῦ ι· ἰνάχιον· καὶ ἰναχίτης,
καὶ ἰναχιεύς·
I νδαρα, σικανῶν πόλις· θεόπομπος· τὸ ἐθνι
κὸν, ἰνδαραῖος, ὡς ἱμεραῖος·
I νδική, πόλις ἰβηρίασ, πλησίον πυρήνης· τι
νὲς δὲ βλαβδήουραν αὐτήν φασι· τὸ ἐθνικὸν,
ἰνδικῆται·
I νδὸς, ποταμός· ἀφ' οὗ ἰνδοί· ἀφ' οὗ ἰνδικὸς,
καὶ ἰνδικοὶ, καὶ ἰνδικὸν οἴδημα θαλάσσης· λέ
I νυσὸς, πόλις αἰγύπτου, (γεται) καὶ ἰνδῶος·
προσεχὴς τῷ κασίῳ ὄρει· ἡρόδοτος·
I νσόβαρες, ἔθνοσ κελτικὸν πρὸς τῷ πάδῳ,
οὓς καὶ ἰνσόβρασ φασίν·
I νσόβροι, ἔθνος ἰταλικόν. πολύβιος ιε.
I νυκτον, πόλισ σικελίασ· ἡρόδοτος δὲ ἴνυκτοσ
αὐτήν φησιν, ἀπὸ τοῦ ἴνυξ· ἔοικε δ' ἐσφάλ-
θαι· ἀφ' οὗ ἰνυκτῖνοσ οἶνοσ· ἴδιος γὰρ ὁ τύ-
ποσ τῶν σικελῶν· ἰνυκτῖνοσ οὖν δεῖ·
Τὸ ἰῶτα μετὰ τοῦ ξῦ·
I ξίαι, πληθυντικῶς χωρίον τῆς ῥόδου, ἀπὸ
ἰξοῦ λιμένος· καὶ ἴξιος ἀπόλλων, ὡς ἀρτε-
μίδωρος δεκάτῳ γεωγραφουμένων·
I ξιὰσ, πόλις οἰνώτρων, ἐν μεσογείᾳ· ἑκαταῖος
εὐρώπῃ· ἐν δὲ, ἰξιὰς πόλις· ἐν δὲ, μενεκίνη πό-
I ξιβάται, ἔθνος πρὸς τῷ πόντῳ, (λις.
προσεχὲσ τῇ ἰνδικῇ· ἑκαταῖος ἀσίᾳ·
Τὸ ἰῶτα μετὰ τοῦ ο μικροῦ·
I όπη, πόλις φοινίκης, πλησίον ἰαμνίασ, ὡσ
φίλων· ὡς δὲ διονύσιος, παλαιστίνης· φοινίκη
γὰρ καὶ ἡ παλαιστίνη· ἐκλήθη δὲ ἀπὸ Ἰόπης
τῆς αἰόλου θυγατρὸς, τῆς γυναικὸς Κηφέως τοῦ
κτίσαντος, καὶ βασιλεύσαντος, τοῦ καταστερι
σθέντος, οὗ ἦν γυνὴ Κασσιέπεια· οἱ ἕλληνες
κακῶς φασιν· ἀφ' οὗ κηφῆνες οἱ αἰθίοπες·
ἔστι καὶ θεσσαλίασ ἄλλη· τὸ ἐθνικὸν τῆς προ
τέρασ, ἰοπίτης· λέγεται καὶ ἰοπία διὰ
τοῦ ι· καὶ ἴσως ἐκ τοῦ αἰθιοπία· ἐκ δὲ τοῦ ἰό
πεια διὰ διφθόγγου, ἰοπείτησ, καὶ ἰοπεύς·
ἔστι καὶ ἰοπὶς θηλυκὸν παρὰ χάρακι·
I όνιον πέλαγοσ, τὸ περὶ τὴν ἰταλίαν· αἰσχύ-
λος προμηθεῖ δεσμώτῃ· οἱ δὲ, ἀπὸ Ἰονίου ἰλλυ
ριοῦ, ἢ ἀπὸ Ἴονος ἰταλοῦ· ἐκαλεῖτο δὲ καὶ
ἀδρίασ ὁ ἰόνιος κόλπος, τὸ ἀπὸ γάζης μέ-
χρις αἰγύπτου· ἰώνη δὲ καὶ ἡ γάζα ἐκαλεῖτο,
ἀπὸ Ἰοῦς, βοῦν ἔχουσα πλησίον ἐν τῇ εἰκόνι·
I ος, νῆσος τῶν κυκλάδων, ἀπὸ ἰώνων οἰκισθέν-
των· ὅθεν ἦν ὁμήρου μήτηρ, ὡς ὁ χρησμόσ·
O λβιε, καὶ δύσδαιμον, ἔφυσ γὰρ ἐπ' ἀμφοτέροισι,
Πατρίδα δίζηαι, μητρὶς δέ τοι οὐ πατρίς ἐστιν·
E στιν ἴοσ νῆσος μητρὸς πατρὶς, ἥ σε θανόντα,
Δέξεται· ἀλλὰ νέων παίδων αἴνιγμα φύλαξαι·
ἐκαλεῖτο δὲ καὶ φοινίκη ἡ ἴος· ἔστι καὶ λυδίας·
ὁ πολίτης, ἰήτης, καὶ ἰέτης·
I ουδαία· ἀλέξανδρος ὁ πολυΐστωρ ἀπὸ τῶν παί
δων σεμιράμιδοσ, ἰούδα, καὶ ἰδουμαία· ὡς
δὲ κλαύδιος ἰόλαος, ἀπὸ ἰουδαίου σπαρτω-
νοσ, ἐκ θήβησ μετὰ διονύσου ἐστρατευκότος· τὸ
ἐθνικὸν, ἰουδαῖος· τινὲς δὲ ἰουδαίας φασίν·
I ουερνία, ἡ πρεττανική, τῶν δύο ἐλάσσων· τὸ
ἐθνικὸν, ἰουερνιάτης·
I ουέρνη, πόλις ἐν τῷ ποταμῷ τῷ πρεττανικῷ.
I ουερνία, νῆσος· ἐθνικὸν, ἰούερνοι·
I ουλεῖς, οἱ ῥωμαῖοι, ἀπὸ τοῦ βασιλέως, ἀφ' οὗ
καὶ ὁ μήν· ἢ ἀπὸ ἰουλίδος· τὸ ἐθνικὸν, ἰουλιεὺς,
καὶ ἰουλιάς· τὸ θηλυκὸν, ἰουλίς·
I ουλὶς, πόλις ἐν κῷ τῇ νήσῳ, ἀπὸ ἰουλίδος
κρήνης· ἀφ' ἧς Σιμωνίδης ἐστὶν ὁ μελοποιὸς,
καὶ Βακχυλίδησ ὁ ἀδελφιδοῦσ ἐκείνου, καὶ
Ἐρασίστρατος ἰατρός· μετ' αὐτῶν, καὶ Ἀρίστων
ὁ περι

ὁ περιπατητικός· οὗτοι ἰουλιῆται· παρ᾽ οἷς νόμος ἐτέθη, ὡς μένανδρος, καλῶν τοκήων νόμιμόν ἐστι φανία· ὁ δυνάμενος ζῆν καλῶς, οὐ ζῇ κακῶς· προσέταττε γὰρ τοὺς ὑπὲρ ἑξήκοντα ἔτη ἀγωνίζεσθαι, τοῦ διαρκεῖν τοῖς ἄλλοις τὴν τροφήν· τὸ ἐθνικὸν, ἰουλιεύς· καὶ ἰουλιήτης, ὡς πολεμνΐτης.

Τὸ ἰῶτα μετὰ τοῦ πι.

Ι πανα, πόλις περὶ καρχηδόνα, ὡς πολύβιος πρώτῳ· τὸ ἐθνικὸν, ἰπανεὺς, ὡς τύανα, τυανεύς.

Ι πνος, ἣν ἰπνέαν καλεῖ, λοκρῶν τῶν ὀζόλων. τὸ ἐθνικὸν, ἰπνεύς.

Ι πνοῦς, χωρίον ἐν σάμῳ, ἐν ᾧ ἱερὸν ἥρας ἰπνούντιδος· λέγεται δὲ καὶ ἰπνουσία.

Ι ππόλα, πόλις ἀρχαία λακωνική· παυσανίας τρίτῳ· τὸ ἐθνικὸν, ἱππολαΐτης· καὶ θηλυκὸν, ἱππολαΐτις.

Ι ππόνησος, πόλις καρίας· ἑκαταῖος ἀσίᾳ· ἔστι καὶ λιβύης, ὡς ἀρτεμίδωρος ἑβδόμῳ· τὸ ἐθνικὸν, ἱππονήσιος.

Ι ππος, νῆσος ἐρυθραίας· θεόπομπος τεσσαρακοστῷ δευτέρῳ· ἔστι καὶ πόλις σικελίας· ἔστι καὶ παλαιστίνης· τὸ ἐθνικὸν, ἵππιος. καὶ ἱππῖνος, καὶ ἱππηνός.

Ι πποταμάδαι, δῆμος οἰνηΐδος φυλῆς. ὁ δημότης, ἱπποταμάδης· τὰ τοπικὰ, ἐξ ἱπποταμαδῶν· εἰς ἱπποταμάδας· ἐν ἱπποταμάδαις.

Ι ππούακρα, πόλις λιβύης· ὁ πολίτης, ἱππα

Ι ππουρίσκος, νῆσος καρίας· τὸ ἐθνικὸν, (κρίτης. ἱππουρίσκιος, ὡς δωρίσκιος, τριποδίσκιος.

Ι ππου κώμη, λυκίας κώμη, διὰ τὸ ὁδοιπόρων τινῶν ἐκεῖ ἵππον ἀποθανεῖν· οἱ οἰκοῦντες, ἱπποκωμῖται.

Ι ππὼν, λιβύης πόλις· πολύβιος δυοκαιδεκάτῳ.

Ι ππώνιον, πόλις βρεττίων, ἀπὸ ἥρωος, ἣ μετωνομάσθη ὑπὸ ῥωμαίων οὐιβουαλεντία. τὸ ἐθνικὸν, ἱππωνιάτης· τοῦτο δὲ τὸ ἐθνικὸν, ὡς ἀπὸ τῆς ἱππωνία· ἀπὸ γὰρ τοῦ ἱππώνιον, ἔδει ἱππώνιος, ἢ ἱππωνιεύς.

Τὸ ἰῶτα μετὰ τοῦ ῥῶ.

Ι ρὰ, ὄρος μεσσηνίας· ῥιανὸς ἐν μεσσηνιακῶν πρώτῳ· ἔστι καὶ πόλις μαλιέων.

Ι ρασα, τόπος λιβύης, εἰς ἣν μετήγαγον βάττον οἱ λίβυες, ὡς ἡρόδοτος τετάρτῃ· τὸ ἐθνικὸν, ἰρασεὺς, ὡς μύλασα, μυλασεύς.

Ι ρος, πόλις θεσσαλίας· λυκόφρων, ἶρον τε, καὶ τραχῖνα, καὶ περραιβικήν· ὁ πολίτης, ἰρώτης, ὡς ἠπειρώτης, βιαλλώτης.

Τὸ ἰῶτα μετὰ τοῦ σῖγμα.

Ι ς, πόλις περσική· ἡρόδοτος πρώτῃ· ἔνθα καὶ ποταμὸς ἶς· ἔνθεν ἡ ἄσφαλτος ἐν βαβυλῶνι τεῖχος ἐκομίσθη.

Ι σαυρία, μεταξὺ λυκαονίας, καὶ κιλικίας, πρὸς τῷ ταύρῳ· χάραξ δὲ θηλυκῶς· καὶ πόλις· καὶ τὸ ἐθνικὸν, ἰσαυρεὺς, καὶ ἴσαυρος.

Ι σβος, ἰσαυρίας πόλις· τὸ ἐθνικὸν, ἰσβώτης, ὡς μαλλὸς, μαλλώτης.

Ι σεῖον, πόλις αἰγύπτου, ἀπὸ ἴσιδος· οἱ οἰκοῦντες, μετάβολοι· τοιοῦτοι γὰρ ἦσαν· προπερισπᾶται δὲ ὡς ἱρεῖον, καὶ νεμεσεῖον, καὶ τῶν, ὅσα μὴ τῆς γενικῆς τὸ δ· ἐφύλαξαν τεμενικῶν· τοιοῦτος γὰρ ὁ τύπος· πωλοῦσι δὲ μόνοις τοῖς ἐμπόροις ἀθρόα τὰ φορτία παρὰ τῶν τεχνιτῶν ἀγοράζοντες αὐτὰ καθ᾽ ὀλίγα· καὶ κοτυλίζουσι τοῖς ἐγχωρίοις.

Ι σηπος, ἔθνος σκυθικόν· ἑκαταῖος εὐρώπῃ.

Ι σθμὸς, ἡ ἁλικαρνασσὸς τῆς καρίας πόλις· ὁ πολίτης, ἴσθμιος· ἔστι καὶ κορίνθου ἰσθμὸς, ἐν ᾧ ἴσθμιος ὁ ποσειδῶν· καὶ νίκη ἰσθμίας· καὶ ἰσθμιάδες σπονδαί· λέγονται καὶ ἰσθμιῶται.

Ι σινδος, πόλις ἰωνίας· ὁ πολίτης, ἰσίνδιος ἐνετάς· λέγεται καὶ ἴσινδα· τὸ ἐθνικὸν, ἰσίνδιος· καὶ χωρίον ἰσινδία, καὶ ἴσινδα.

Ι σμάηλα, τῆς ἀραβίας χωρίον· οἱ οἰκοῦντες, ἰσμαηλῖται.

Ι σμαρος, πόλις θράκης τῶν κικόνων· ὅμηρος· ὁ πολίτης, ἰσμάριος· καὶ ἰσμαρικὸς τὸ κτητικόν· ἔστι καὶ ἰσμαρὶς λίμνη· ἡρόδοτος ζ.

Ι σμήνη, ἡρωΐς, καὶ κώμη βοιωτίας· ὁ κωμήτης, ἰσμήνιος, καὶ ἰσμηναῖος, καὶ ἰσμηνεὺς, καὶ ἰσμηνίτης· ἔστι καὶ ἰσμηνὸς ποταμὸς βοιωτίας, ἀφ᾽ οὗ ἰσμήνιος ἀπόλλων· καὶ ἰσμηνία.

Ι σπανίαι, δύο τῆς ἰταλίας ἐπαρχίαι· ἡ μὲν, μεγάλη· ἡ δὲ, μικρά· ἐκλήθη δὲ καὶ ἰβηρία, καὶ παννωνία.

Ι σσα, πόλις ἐν λέσβῳ, κληθεῖσα ἱμέρα· εἶτα, πελασγία· καὶ ἴσσα, ἀπὸ τῆς ἴσσης τῆς μάκαρος· ἔστι καὶ νῆσος πόλιν ὁμώνυμον ἔχουσα κατὰ δαλματίαν, καὶ ἰλλυρίαν· ἔστι καὶ θηλυκῶς ἰσσεὺς ἀπὸ τῆς λέσβου παρὰ παρθενίῳ ἐν

Ι σσηδόνες, ἔθνος σκυθικόν· ἑκα (ἡρακλεῖ· ταῖος ἀσίᾳ· ἀλκμὰν δὲ μόνος ἀσσηδόνας αὐτούς φησιν· εὑρίσκεται δὲ ἡ δευτέρα παρ᾽ ἄλλοις διὰ τοῦ ε. λέγονται καὶ ἰσσηδοὶ τρισυλλάβως· ἔστι καὶ ἰσσηδὼν πόλις.

Ι σσὸς, πόλις μεταξὺ συρίας, καὶ κιλικίας, ἐν ᾗ ἀλέξανδρος δαρεῖον ἐνίκησεν· ἣ ἐκλήθη διὰ τοῦτο νικόπολις ἀπ᾽ αὐτοῦ· καὶ ὁ ἰσσικὸς κόλπος· ὁ πολίτης, ἰσσαῖος, ὡς νεῖλος, νειλαῖος· ἐκεῖ δὲ καὶ ποταμὸς πίναρος ὀνομαζόμενος.

Ι στώριον, ὄρος τῆς λακωνικῆς· ἀφ᾽ οὗ ἡ ἄρτεμις ἰστωρία· τὸ ἐθνικὸν, ἰστώριος.

Ι στίαια, πόλις εὐβοίας· ὅμηρος, πολυστάφυλόν θ᾽ ἑστίαιαν· ἡ δὲ διὰ τοῦ ι, ἰωνικὴ γραφή ἐστι· νῦν δὲ καλεῖται ὠρωπός· ὁ πολίτης, ἱστιαιεύς· ἔφορος δὲ τὸ ἐθνικὸν ἑστιαιός φησι. καὶ ἱστιώτης τῆς θετταλικῆς· τῆς δὲ εὐβοίας, διάφορος κατὰ τὴν γραφὴν, καὶ διὰ τοῦ ι, καὶ διὰ τοῦ ε ψιλοῦ.

Ιστὸς, νῆσος Λιβύης, οὐδενὸς λεγομένη ὑπὸ Λιβύων· ὑπὸ δὲ Φοινίκων, κέλλα ρααρσάθ· ὃ δηλοῦται ἱστωνίς· νηῒ γάρ ἐστι παραπλήσιος. τὸ ἐθνικὸν, ἴστιος τῷ λόγῳ τῶν εἰς ος δισυλλάβων ἐπὶ νήσων, ἴμβριος· ἄνδριος.

Ιστρία, χώρα κατὰ τὸν ἰόνιον κόλπον. οἱ οἰκοῦντες, ἴστροι, καὶ ἴστριοι.

Ιστριανὰ, πόλις περὶ τὴν πόντικὴν θάλασσαν, ὡς μαρκιανὸς ἐν περίπλῳ αὐτῆς. τὸ ἐθνικὸν, ἰστριανηνὸς, ἢ ἰστριανίτης.

Ιστροι, ἔθνος ἐν τῷ ἰονίῳ κόλπῳ. ἐκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν καὶ κτητικὸν, ἰστρικὸν, ὡς τὸ ταῦροι, ταυρικὸς.

Ιστρος, πόλις κρήτης, ἣν ἀρτεμίδωρος ἰστρῶνά φησι. δευτέρα, πόλις ἴστρος ἐν τῷ πόντῳ. τὸ ἐθνικὸν, ἴστριος, καὶ ἰστριεύς. ἀρριανὸς δὲ ἰστρίαν, ὡς ὀλβίαν αὐτήν φησι. τὸ ἐθνικὸν, ταύτην ἰστριανὸς, ὡς ὀλβιανός. καὶ κατὰ τὸ τοπικὸν, ἰστριηνὸς λιμήν. καὶ ἰστριανὶς θηλυκῶς. τρίτη, νῆσος πόλιν ὁμώνυμον ἔχουσα κατὰ τὸ τριόπιον τῆς κνιδίας. τετάρτη, πόλις τῆς ἰαπυγίας, ὡς ἔφορος εἰκοστῷ ἐννάτῳ.

Ιστώνη, ὄρος προσεχὲς τῇ κορκύρᾳ. θουκυδίδης τρίτῃ. τὸ ἐθνικὸν, ἰστωναῖος, ὡς τορωναῖος.

Τὸ ἰῶτα μετὰ τοῦ ταῦ.

Ιταλία, ἡ χώρα, ἀπὸ ἰταλοῦ. ἡ πρὶν αὐσονία, καὶ αὐσονίς. τὸ ἐθνικὸν, ἰταλὸς, καὶ ἰταλίς. ἀπὸ δὲ τοῦ ἰταλία, τὸ ἰταλιώτης, ὡς φθιώτης, καὶ λικιώτης. τί δὲ διαφέρει τὸ ἰταλὸς τοῦ ἰταλιώτου, ἐν τῷ περὶ σικελίας εἰρήσεται. τὸ θηλυκὸν, ἰταλιῶτις. καὶ ἰταλίς, ὡς τὸ αὐσονία, τὸ αὐσονίς. καὶ ἰταλιάζειν ῥῆμα. καὶ ἰταλικὸς τὸ κτητικὸν, καὶ ἰταλιωτικός. ἔστι καὶ ἰταλικὸν χωρίον σικελίας. ἔστι καὶ ἰταλικὴ πόλις ἰβηρίας. τὸ ἐθνικὸν, ἰταλικήσιος. καὶ ἰταλικησία ἐκαλεῖτο ἡ χώρα, καὶ οἰνωτρία, καὶ ἑσπερία.

Ιτανὸς, πόλις ἐν κρήτῃ, ἀπὸ ἰτανοῦ φοίνικος, ἢ τῶν κουρήτων ἑνὸς μιγάδος. οἱ πολῖται, ἰτάνιοι. ἔστι καὶ ἄκρα.

Ιτέα, δῆμος τῆς ἀκαμαντίδος φυλῆς. ὁ δημότης, ἰτεαῖος. ἀνδροτίων δὲ τρισυλλάβως ἔφη.

Ιτύκη, πόλις λιβύης, τυρίων ἄποικος. τὸ ἐθνικὸν, ἰτυκαῖος. ἀφ' οὗ διονύσιος ἰτυκαῖος ῥιζοτομικῶν πρώτῳ.

Ιτων, πόλις θεσσαλίας. ἴτωνά τε μητέρα μήλων. οἱ ἐγχώριοι ὀξυτόνως αὐτήν φασιν ἰτών. τινὲς δὲ σιτῶνα αὐτήν φασι, διὰ τὸ σιτοφόρον. λέγεται καὶ ἡ ἴτωνος, ἀπὸ ἰτώνου ἥρωος. ἀφ' οὗ καὶ ἰτωνία ἡ ἀθηνᾶ. ἥτις καὶ ἰτώνη. ἰτωναῖος, καὶ ἰτωναία ἡ ἀθηνᾶ. ἔστι καὶ πόλις ἰτώνη ἐν ἠπείρῳ, καὶ ἰταλίας, καὶ βοιωτίας, καὶ λυδίας. ὁ πολίτης, ἰτώνιος. καὶ ἰτωνία ἡ ἀθηνᾶ, καὶ ἰτωνιὰς, καὶ ἰτωνίς. καὶ χώρα ἰτώνη ἀπὸ τοῦ αἵμον, ὡς ἑκαταῖος εὐρώπῃ.

Τὸ ἰῶτα μετὰ τοῦ χῖ.

Ιχανα, πολίχνιον τῆς σικελίας, διὰ τὸ τῇ αὐτοῦ ἁλώσει πολλὰ προσλιπαρῆσαι τοὺς συρακουσίους. ἰχανᾶν δὲ τὸ ἐπιθυμεῖν. τὸ ἐθνικὸν, ἰχανῖνος.

Ιχναι, πόλις μακεδονίας. ἡρόδοτος ἑβδόμῃ. θεαγένης δὲ ἄχνας αὐτήν φησι. πλανήτας δ' ἄλλην φησὶ διὰ τοῦ α. τὸ ἐθνικὸν, καὶ ἰχναῖος, καὶ ἰχναία ἡ θέμις. διωκομένη γὰρ ὑπὸ τοῦ διὸς, κατελείφθη ἐν τοῖς τῶν ἰχναίων τόποις. καὶ ἀπὸ τοῦ διωχθῆναι κατ' ἴχνος ὠνομάσθη. καὶ ἑτέρα ἐστὶ τῆς ἀνατολικῆς πόλις.

Τὸ ἰῶτα μετὰ τοῦ ψῖ.

Ιψίκουροι, ἔθνος λιγυστικόν. θεόπομπος τεσσαρακοστῷ τρίτῳ. ἣν ἐνέμοντο πρότερον ἰψίκουροι, καὶ ἀρβάζανοι, καὶ εὔβοιοι. λίβυες τὸ γένος.

Τὸ ἰῶτα μετὰ τοῦ ω μεγάλου.

Ιωλκὸς, πόλις θεσσαλίας. φοίβην, καὶ γλαφυρὰς, καὶ ἐϋκτιμένην ἰωλκόν. ἀπὸ ἰωλκοῦ τοῦ ἀμύρου, ἀφ' οὗ τὸ ἀμυρικὸν πεδίον λαρισαίων. τὸ ἐθνικὸν, ἰώλκιος, καὶ ἰωλκία. καὶ ἰωλκὶς, καὶ ἰωλκιάς.

Ιωλον, ὄρος περραιβίας. οἱ οἰκοῦντες, ἴωλοι. ὅμηρος, τῷ δ' αἰνιῆνες ἕποντο μενεπτόλεμοί τε περραιβοί.

Ιώνη, οὕτως ἐκαλεῖτο ἡ ἀντιόχεια, ἡ πρὸς τῇ δάφνῃ, ἣν ᾤκησαν ἀργεῖοι. τὸ ἐθνικὸν, ἰωνίτης, ἢ ἰωναῖος, ὡς κλεωναῖος. κλεωναῖος ὁ χάρωνος.

Ιωνία, ἡ ἀττικὴ πρότερον, ἀπὸ ἴωνος ἀπόλλωνος, καὶ κρεούσης τῆς ἐρεχθέως. οὕτω μὲν οἱ ἀθηναῖοι. οἱ μέντοι δωριεῦσιν, αἰτωλοί. ἐν δὲ αἰολεῦσι, βοιωτοί. ἐν δὲ τοῖς ἴωσιν, ἀθηναῖοι. ὁ οἰκῶν, ἴων, καὶ ἰωνὶς, καὶ ἰάς. καὶ ἰωνικός. καὶ ἰωνίζω ῥῆμα.

Ιωνίδαι, δῆμος τῆς ἀττικῆς τῆς αἰγηΐδος φυλῆς. ὁ δημότης, ἰωνίδης. τὰ τοπικὰ, ἐξ ἰωνιδῶν. εἰς ἰωνιδῶν. ἐν ἰωνιδῶν.

Ιωπὶς, ὀξυτόνως, λακωνικὴ χώρα. ἡρωδιανὸς τετάρτῃ.

Ιωτάπατα, πόλις συρίας. ἰώσηπος τρίτῳ. καὶ θηλυκὸν, ἰωταπάτη. τὸ ἐθνικὸν, ἰωταπατηνός.

## ΑΡΧΗ ΤΟΥ ΚΑΠΠΑ ΣΤΟΙΧΕΙΟΥ.

Τὸ κάππα μετὰ τοῦ ἄλφα.

κ Αβαλὶς, πόλις πλησίον κιβύρας, πρὸς νότον μαιάνδρου. ἡ γενικὴ, καβαλίδος. ὁ πολίτης, καβαλεύς. ἑκαταῖος ἀσίᾳ. καὶ θηλυκῶς, ὡς στράβων ἐν τῇ εἰρημένῃ. ἀπόγονοι δὲ λυδῶν οἱ κιβυριᾶται τῶν κατασχόντων. ἔστι καβαλίδα. ὁ δὲ πολυΐστωρ ἀλέξανδρος καβάλισσαν φησὶ τὸ θηλυκόν. εἶναι δὲ τὸ γένος αὐτὴν ὀλβίαν.

Καβασσός, πόλις ἐν καππαδοκίᾳ, πατρὶς Ὀθρυονέως· ὅμηρος, Καβησόθεν ἔνδον ἐόντα. ἑκαταῖος δ' ὁ μιλήσιος, καβησσὸν πόλιν εἶναί φησιν ὑπερβαίνοντι τὸν θρᾴκιον αἶμον· καὶ συμφωνεῖ καὶ ἡ τοῦ γάμου ἐλπὶς τῇ θρακῶν ἀκολασίᾳ. ἑλλάνικος δὲ τῆς λυκίας πόλιν καβησσόν. ἀπίων δὲ ἀληθέστερον φησὶ κώμην εἶναι καππαδοκίας, μεταξὺ ταρσοῦ, καὶ μαζάκων. μάζακα δὲ ἡ καππαδοκία ἐκαλεῖτο, καὶ καισάρεια ἐθνικῶς· ἀρκεῖ τὸ ὁμηρικὸν, καβησόθεν. πολλὰ γὰρ τοιαῦτα, ὡς τὸ καμειρόθεν. τὰ τοπικὰ ἐθνικῶς. δύναται δὲ καβήσιος, ἢ καβησίτης.

Καβειρία, πόλις τῆς κάτω ἀσίας, ἧς τὴν γῆν καβείριοι ᾤκουν. εἰσὶ καὶ καβείριοι ἔθνος βοιωτίας, ὡς παυσανίας ἐννάτῳ. καὶ κάβειρος, καβειρία. ἀφ' οὗ τὸ καβειραῖος, καὶ καβειραία, καὶ καβειρείτης, καὶ καβείριον. τούτου τὸ ἐθνικὸν, καβείριος, ὡς τὸ βυζάντιον, βυζάντιος. καὶ καβειρεία τὸ θηλυκόν. καὶ καβειριὰς, παρὰ τὸ καβείριος. τὸ κτητικὸν, καβειρικὸς, καὶ καβειρική. καὶ καβειριάζεσθαι ῥῆμα.

Καβελλίων, πόλις μασσαλίας· ἀρτεμίδωρος ἐν πρώτῃ γεωγραφουμένων. τὸ ἐθνικὸν, κατὰ τὸν ἐπιχώριον τύπον, καβελιωνήσιος, ὡς ταρρακωνήσιος. κατὰ δὲ τὸν ἑλληνικὸν, καβελιωνίτης, ὡς ταρρακωνίτης.

Καβύλη, πόλις θρᾴκης, οὐ πόρρω τῆς τῶν ἀστῶν χώρας· πολύβιος τρισκαιδεκάτῳ. τὸ ἐθνικὸν, καβυληνὸς, ὡς ἀρτακηνός.

Καδμεία, πόλις, θηβῶν ἀκρόπολις. ἀφ' ἧς οἱ θηβαῖοι καδμεῖοι, καὶ καδμείονες, καὶ καδμίοι. καὶ τὸ τεῖχος, καδμεία.

Κάδοι, πόλις μυσίας· στράβων ιβ. καὶ δορύλαιον πόλις, καὶ κάδοι. τὸ ἐθνικὸν, καδηνός.

Καδούσιοι, ἔθνος μεταξὺ τῆς κασπίας θαλάσσης, καὶ τοῦ πόντου· στράβων ἑνδεκάτῃ.

Κάδρεμα, πόλις λυκίας, ἄποικος ὀλβίων. ὀνομάζεται δὲ σίτου ψιγμὸς ἡ πόλις. τὸ ἐθνικὸν, καδρεμεύς.

Κάθαινα, πόλις ἰνδική. τιμῶσι δὲ τοὺς καλοὺς ἐπὶ τοσοῦτον, ὥστε βασιλέα τὸν κάλλιστον αἱροῦνται. ὁ πολίτης, καθαιναῖος.

Καίκινον, χωρίον ἰταλικόν· φίλιστος δευτέρῳ σικελικῶν.

Καινίτη, πόλις σαβίνων, ἡ ὑπὸ Ρωμύλου ἁλοῦσα. τὸ ἐθνικὸν, καινῖται.

Καινοὶ, ἔθνος θρᾴκιον. ἀπολλόδωρος ἐν χρονικῶν τετάρτῳ.

Καιρὴ, πόλις τυρρηνίας. τὸ ἐθνικὸν, καιριτανός. εἴρηται ἐν τῷ περὶ ἀγύλης.

Καινὺς, νῆσος πλησίον πελωριάδος, τῆς κατὰ σικελίαν ἄκρας, πρὸς δύσιν νεύουσα. ἔστι καὶ πόλις ἰταλίας καινύσιον.

Καισάρεια, μητρόπολις τῆς καππαδοκίας, ἡ πρὶν εὐσέβεια, καὶ μάζα, ὡς στράβων. ἔστι καὶ παλαιστίνης. καὶ τρίτη, πρὸς τῇ πανεάδι. τὸ ἐθνικὸν, καισαρεύς. εἰσὶ δὲ καὶ ἄλλαι τούτῳ τῷ ὀνόματι προσαγορευόμεναι.

Καλαβρία, χώρα πλησίον ἰταλίας. ὁ οἰκήτωρ, καλαβρός. καὶ καλάβρα θηλυκὸν, καὶ καλαβρίς.

Καλάθη, πόλις οὐ πόρρω τῶν ἡρακλείων στηλῶν· ἑκαταῖος εὐρώπῃ. ἔφορος δὲ καλάθουσαν αὐτήν φησιν. ἔστι καὶ τοῦ πόντου καλάθουσα. ὁ πολίτης τῆς καλάθης, καλαθῖνος, ὡς ἀγαθῖνος. τῆς δὲ καλαθούσης, καλαθούσιος, ὡς νύσιος.

Καλάμαι, πόλις πελοποννήσου· παυσανίας δ.

Καλαμίνθη, ἥτις καὶ καλαμίνθη, πόλις λιβύης· ἑκαταῖος περιηγήσει. κρεῖττον οὖν ὡς ἡρόδοτος διὰ τοῦ ι. πόλις φοινίκων.

Κάλαρνα, πόλις μακεδονίας, ὡς λούκιος ὁ ταρραῖος. τὸ ἐθνικὸν, καλαρναῖος.

Καλάσιρις, μοῖρα αἰγυπτίου· ἡρόδοτος β. οἱ καὶ καλασίριοι, καὶ καλασιρίαι.

Καλατίαι, γένος ἰνδικόν· ἑκαταῖος ἀσίᾳ.

Καλαύρεια, νησίδιον πρὸς τῇ κρήτῃ, ὅσον τριάκοντα σταδίων· ἀπὸ Καλαύρου τοῦ ποσειδῶνος. ἐκαλεῖτο καὶ εἰρήνη. ὁ πολίτης, καλαυρείτης.

Κάλβιος, κρήνη λυκίας, ἣν καὶ καλαινόν φασι. τινὲς δ' αὐτὴν καὶ διὰ τοῦ μ φασί.

Καλὴ ἀκτὴ, πόλις κρητῶν· εὔδοξος τετάρτῳ γῆς περιόδου. ἔστι δὲ μεγάλη κώμη. ἐκ τῶν δύο δὲ ἡ παραγωγὴ μεγαλοκωμήτης, καὶ ἀκτίτης. ἢ καλοακτίτης διὰ τοῦ ι. ἐπεὶ καὶ παρὰ τὸ ἀκτὴ, ἀκτικὸς, καὶ ἀττικός. ἀκτικὴ δὲ ἡ ἀττική. ἢ καλοακταῖος, καὶ καλοακταία θηλυκόν. ἢ καλοάκτιος, ὡς πανάκτιος, καὶ ἐπάκτιος.

Κάλαρος, οὕτως ἐκαλεῖτο ἡ ἀλωπεκία νῆσος, ἀπὸ Καλήρου βασιλέως. ἀλωπεκόνησος δὲ, ὅτι ἐκεῖ εἶδον σκύμνους φέρουσαν καὶ κατατιθεῖσαν ἀλώπεκα. τινὲς δ' ὅτι κάληρος ἐκαλεῖτο ἡ πόλις.

Καλησία, πόλις αὐσονική· διονύσιος πεντεκαιδεκάτῳ ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν, καλησιανὸς, ὡς αὐτός.

Καλάτιβος, πόλις λιβύης· ἡρόδοτος ἑβδόμῃ. τὸ ἐθνικὸν, καλατίβιος.

Κάλατις, πολίχνιον ἐν τῇ παραλίᾳ τοῦ πόντου· στράβων ἑβδόμῃ. ἧς κάλαθος εὑρέθη ἐοικυῖα τοῖς θεσμοφοριακοῖς. ὁ πολίτης, καλατιανὸς, ὡς τραλλιανὸς, σαρδιανός. ἀφ' οὗ Ἴστρος καλατιανὸς, περὶ τραγῳδίας γράψας καλὸν βιβλίον. ἔοικε δ' εἶναι ἀπὸ τοῦ καλατία, ὡς ὀλβιανὸς, εἰ μὴ ἀπὸ τῆς ἰωνικῆς γενικῆς γέγονε τῆς καλάτιος.

Καλλίαι, πόλις μία τῆς αἰτωλίας τριπόλεως. ὁ πολίτης, καλλιεύς, ὡς παυσανίας. ἔστι καὶ χωρίον πλησίον ταλαίρου.

Κ αλλίαρος, πόλις λοκρῶν, ἀπὸ Καλλιάρου τοῦ Ὀδοιδόκου, καὶ Λαονόμης, ὡς ἑλλάνικος ἐν πρώτῃ δευκαλιωνείας. στράβων δ' ἐν ἐννάτῃ περὶ τὸ βυήροχον αὐτὴν εἶναί φησι. καλλίαρα οὐδετέρως. τὸ ἐθνικὸν, καλλιαρεῖς, ὡς μεγαρεῖς.

Κ αλλιόπη, πόλις παρθυαίων. πολύβιος δεκάτῳ. τὸ ἐθνικὸν, καλλιοπεύς, ὡς παρθενόπη, παρθενοπεύς.

Κ αλλίπολις, πολίχνιον λαμψάκου, ἐν τῇ περαίᾳ τῆς χερρονήσου, ἐπ' ἀκτῆς κειμένη, ὡς ἀλέξανδρος ἐν τῷ περὶ βιθυνίας δευτέρῳ κατὰ τὸν ἀνάπλουν. ἔστι πόλις, σικελίας. τετράπολις, καρίας. οἱ πολῖται πασῶν, καλλιπολῖται.

Κ άλπαι, πόλις βιθυνῶν. θεόπομπος ὀγδόῳ ἑλληνικῶν. ἔστι καὶ λιμὴν κάλπη. τὸ ἐθνικὸν, καλπεύς, ὡς σινωπεύς. καὶ καλπῖνος, ὡς πεύκη, πευκῖνος. τοῦ δὲ λιμένος, καλπολιμενίτης. καὶ τὴν πόλιν, κάλπειαν. τινὲς τούτους καρπιλανοὺς, ὡς καλεπιανούς φασι.

Κ αλύβη, πόλις θράκης, ἄποικος μακεδόνων. τὸ ἐθνικὸν, καλυβῖται, ἢ καλυβεῖς, ὡς τῆς ἀλύβης, ἀλυβεῖς.

Κ άλυδνα, νῆσος καὶ πόλις θήβης, ἀπὸ Καλύδνου παιδὸς οὐρανοῦ. λέγεται καὶ καλυδνός. ὁ πολίτης, καλυδναῖος. καὶ καλυδνὶς τὸ θηλυκόν. καὶ καλυδνεὺς ὁ ἀπολλώνιος, καὶ καλύδνιος, ὡς ἀνδροτίων ἕκτῃ ἀτθίδος.

Κ αλυδὼν, αἰτωλίας πόλις, ἀπὸ Καλυδῶνος τοῦ Ἐνδυμίωνος, ἢ τοῦ αἰτωλοῦ. τὸ ἐθνικὸν, καλυδώνιος, καὶ καλυδωνία.

Κ άλυμνα, νῆσος, ἣν ὁ Σκήψιος πληθυντικῶς καλύμνας φησί. λέγεται καὶ καλυμνία. τὸ ἐθνικὸν, καλυμνιάτης.

Κ άλυνδα, πόλις καρίας, ὡς κάρυνδα. τὸ ἐθνικὸν, καλυνδεύς. ἡρόδοτος ὀγδόῃ.

Κ άλυτις, πόλις συρίας. ἡρόδοτος δευτέρᾳ. ὁ οἰκήτωρ, καλύτης. καὶ τὸ θηλυκὸν καλύτις, διὰ τὸ προσειλῆφθαι τὸν χαρακτῆρα.

Κ αμάρα, πόλις κρήτης. καὶ ὁ πολίτης, ὡς ξενίων ἐν κρητικοῖς φησιν, ὅτι λατὼ ἐλέγετο.

Κ αμαρλωοί, νῆσοι ἀραβίων. ἑκαταῖος ἐν περιηγήσει. οἱ οἰκοῦντες, ὁμοίως τῷ πρωτοτύπῳ καμαρλωοί.

Κ αμαρία, πόλις ἰταλική, ἀλβανῶν ἀπόκτισις. διονύσιος ῥωμαϊκῆς ἀρχαιολογίας. οἱ οἰκήτορες, καμαρῖνοι.

Κ αμαρίνα, πόλις σικελίας, καὶ λίμνη. ἀφ' ἧς ἡ παροιμία, μὴ κίνει καμαρίναν, ἀκίνητος γὰρ ἀμείνων. ὁ πολίτης, καμαριναῖος.

Κ αμβύσην, κατὰ ξέρξην, ἢ ἀπὸ καμβύσου, καὶ ξέρξου, περσικαὶ χῶραι. ἐθνικὸν, τὸ αὐτό.

Κ άμικος, πόλις σικελίας, ἐν ᾗ Κώκαλος ἦρχεν ὁ δαιδάλου. χάραξ δὲ, ἴνυκον ταύτην φησίν. ὁ πολίτης, καμίκιος. καὶ θηλυκῶς.

Κ άμιρος, πόλις ἐν ῥόδῳ, ἀπὸ τοῦ παιδὸς Κερκάφου τοῦ Πολειάδου, καὶ Κυδίππης. ἀπὸ κερκάφου δὲ αἱ ῥόδιαι γυναῖκες κερκαφίδες. ἦσαν δὲ τρεῖς ὡς ὅμηρός φησι, λίνδον, ἰηλυσόν τε, καὶ ἀργινόεντα κάμειρον. ὁ πολίτης, καμιρεύς. πείσανδρος ὁ διασημότατος περὶ τῆς καμιρέως ἦν. λέγεται καὶ καμειρίτης, καὶ καμιραῖος. καὶ θηλυκῶς.

Κ αμμανία, μοῖρα θεσπρωτίας. μετωνομάσθη δὲ κεστρινία. ἐξ ἧς κάλαμος ὁ ποταμὸς κεστρῖνος. ἔστι κτίσμα Κεστρίνου τοῦ υἱοῦ Ἐλένου τοῦ πριαμίδου. οἱ οἰκήτορες, καμμανοὶ, ὡς τῆς καμπανίας, καμπανοί.

Κ άμπος, κτίσμα Καμπάνου, ἀφ' οὗ ἐκτίσθησαν. τὸ θηλυκὸν, καμπανίς, καὶ καμπανή.

Κ άναθα, πόλις πρὸς τῇ βόστρᾳ ἀραβίας. τὸ ἐθνικὸν, καναθηνός. ἐν τισὶ δὲ καὶ διὰ τοῦ ·ι· γράφεται.

Κ άναι, πολίχνιον εὐβοϊκὸν, ἢ λοκρὸν κατὰ τὰ ἄκρα τῆς λέσβου. ἔστι καὶ ὄρος κάνη, καὶ πόλις, καὶ λίμνη. ἔστι καὶ πόλις τῆς τρῳάδος. εἰσὶ καὶ κάνναι διὰ δύο ·ν· πλησίον καρχηδόνος. τὸ ἐθνικὸν, καναῖος, καὶ καναία. ἔστι καὶ πόλις κάναι τοῦ τίγριτος ποταμοῦ. στράβων ιγ. κιναῖος δὲ, οὐ μόνον ἀπὸ τοῦ κιναίου, ἀλλὰ καὶ ἀπὸ τῆς κάνης.

Κ άναστρον, ἄκρον θράκης, καὶ μακεδονίας. τὸ ἐθνικὸν, καναστραῖος. σοφοκλῆς δ' ἐπιμνηματίζων τὰ ἀργοναυτικὰ, καναστραῖόν φησιν ἀκρωτήριον τῆς παλλήνης. ἀλλ' ἐναντιοῦται τὰ ἐθνικὰ, εἰ μὴ καὶ τοῦτο ἐκλάβοιμεν παραπλησίως τῷ λέχαιον, καὶ λεχαῖος. καὶ λύκειον, τὸ γυμνάσιον. καὶ λύκειος ἀπόλλων. καὶ νυμφαῖον, καὶ νυμφαῖος.

Κ άνδασα, ὡς μάλασα, πήγασα, φρούριον καρίας. πολύβιος ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν, κανδασεύς, καὶ κανδασίς.

Κ άνδαρα, πόλις παφλαγονίας, ὡς ἀπὸ σχοινίων τριῶν γαγγρῶν. καὶ θαρίβα κώμη. οἱ οἰκήτορες, κανδαρηνοί. καὶ ἥρας κανδαρηνῆς ἱερόν.

Κ άνδυβα, οὐδετέρως, πόλις λυκίας, ἀπὸ Κανδύβου παιδὸς δευκαλίωνος. τὸ ἐθνικὸν, κανδυβεύς.

Κ ανθηλία, πόλις περὶ καρχηδόνα. ἑκαταῖος ἀσίᾳ. ἡρόδοτος.

Κ ανθήλη, πόλις λιβοφοινίκων. καὶ ἑκαταῖος οὕτω.

Κ ανταβρία, χώρα. στράβων τρίτῃ. οἱ οἰκήτορες, κανταβροί.

Κ άντανος, πόλις κρήτης, ὡς ξενίων ἐν περιοδείου κρητικοῦ τόπῳ. τὸ ἐθνικὸν, καντάνιος.

Κ ανύσιον, μεγίστη πόλις τῶν ἰταλιωτίδων. στράβων ἕκτῃ. τὸ ἐθνικὸν, κανύσιος, ἢ κανυσίτης, ὡς στράβων.

K άνυτις, πόλις συρίων μεγάλη, ὡς ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, κανυτίτης.

K άνωπος. ἔδει γράφεσθαι διὰ τοῦ β. στράβων ἑπτακαιδεκάτῃ.

K ανώβος, ἔστι πόλις ἐν εἴκοσι καὶ ἑκατὸν σταδίοις ἀπὸ ἀλεξανδρείας κατὰ πεζὴν ἰοῦσιν. ἀπὸ Κανώβου κυβερνήτου μενελάου ἀποθανόντος αὐτόθι. καὶ ἱερὸν ποσειδῶνος κανώβου, καὶ νῆσος. τὸ ἐθνικὸν, κανωβίτης. καὶ τὸ κτητικὸν, κανωβικός. καὶ κανωβικὴ διῶρυξ. καὶ τὸ κανωβικὸν στόμα. καὶ κανωβὶς θηλυκῶς. ἔστι καὶ λιβύης τόπος κάνωπος.

K αοῦς, κώμη τῆς ἐν ἀρκαδίᾳ τελφουσίας γῆς. ὁ πολίτης, καούσιος. ἐκεῖ γὰρ οὕτως ἀσκληπιὸς ἐτιμᾶτο καούσιος, ὡς παυσανίας ὀγδόῳ.

K άπαι, πόλις ἑλλησποντία. ἀνδροτίων γ. ἀτθίδος. τὸ ἐθνικὸν, καπαῖος, ὡς ναπαῖος.

K απετώλιον, ἐν ῥώμῃ λόφος, ταρπαῖος πάλαι λεγόμενος. περὶ δὲ τῆς γραφῆς τοῦ τεμένους, ὁ Εὐδαίμων διὰ τοῦ ι φησίν. Εἰρηναῖος προπαροξύνει διὰ τοῦ ι γράφων. ἡρωδιανὸς δὲ, καπετωλίειαν ἐν ἓξ συλλαβαῖς. καὶ ἐν συναιρέσει, καπετωλεῖον. τὸ δὲ καπετωλεία εὐθεῖα τοῦ ἀγῶνος, προπερισπᾶται. ὅσα γὰρ ἔχει πρὸ ὑπάρχον εἰς ος λήγει καθαρὸν, παραληγόμενα ἢ μόνῳ τῷ ι, ἢ προηγουμένου αὐτοῦ τοῦ α, ὥστε εἶναι πρὸ τέλους τὴν αι δίφθογγον, προπερισπᾶται. ἢ καὶ ὅσα κτητικά. ἀσκληπιεῖον, ἀσκληπιὸς γάρ. πτολεμαεῖον, πτολεμαῖος γάρ. ὀλυμπιεῖον τὸ ἀθήνησιν, ὀλύμπιος γάρ. τὸ δὲ τέμενος, καπετώλιον. καὶ καπετώλιος ζεὺς διὰ τοῦ ι. τὸ ἐθνικὸν, καπετωλῖνος.

K απίννα, τυραννικὴ πόλις. λέγεται καὶ πληθυντικῶς. τὸ ἐθνικὸν, καπιννάτης, ὡς αἰγινιάτης, καὶ αἰγινήτης. τὸ κτητικὸν, καπινάτιος.

K αππαδοκία, χώρα τῇ κιλικίᾳ πρόσορος. ὥς φησι μένιππος, ἀπὸ σινώπης εἰς εὐάρχον ποταμὸν, ὃς ὁρίζει παφλαγονίαν, καὶ καππαδοκίαν. τὸ ἐθνικὸν, καππάδοξ, καὶ καππάδοκος, καὶ καππαδόκης. ἡρόδοτος δέ φησιν, ὁ κτίστης καππάδοκος εἴρηται ὑπὸ μενάνδρου. λέγεται καὶ καππαδόκισσα, ὡς αἰθιόπισσα, καὶ πανδόκισσα. εἴρηται δ' οὐχ ὡς νῦν εἰς πρώτην καὶ δευτέραν, ἀλλ' εἰς μείζονα, καὶ ἐλάττονα, καὶ μικρὰν, καὶ μεγάλην.

K απριήνη, νῆσος ἰταλίας. ἑκαταῖος εὐρώπῃ. λέγονται καὶ καπρίαι. τὸ ἐθνικὸν, καπριάτης. ἐντεῦθεν ἦν Βλαῖσος σπουδογελοίων ποιητὴς καπριάτης.

K άπυα, πόλις ἰταλίας. ἑκαταῖος εὐρώπῃ. ἀπὸ Κάπυος τοῦ τρωϊκοῦ. τὸ ἐθνικὸν, καπυανὸς, ὡς ἀσιανός.

K άραλλις, ἢ καράλλεια, ἰσαυρικὴ πόλις. τὸ ἐθνικὸν, καραλλεώτης. ἔστι καὶ καραλία δι' ἑνὸς λ. λιβυκὴ πόλις. καὶ ἐθνικὸν αὐτοῦ, καραλιανός.

K αραμβύκαι, ἔθνος ὑπερβορέων, ἀπὸ ποταμοῦ καραμβύκα, ὡς ἑκαταῖος ὁ ἀβδηρίτης.

K άρανα, πόλις γαλατίας, ὑπὸ ῥωμαίων συνοικισθεῖσα. τὸ ἐθνικὸν, καρανίτης. καὶ καρανίτις τὸ θηλυκόν.

K αρβανὶς. γέγονε καὶ ἀπὸ γενικῆς εὐθεῖα ὁ κάρβανος. ἔστι καὶ κάρβανα πόλις λυκίας. καὶ τὸ ἐθνικὸν, καρβανεύς.

K αρδαμύλη, ὅμηρος, Καρδαμύλην ἐνόπην τε. ἡρόδοτος δὲ, λακωνικὴν αὐτήν φησιν. ἔοικε δ' ἑτέρα εἶναι πλησίον χίου. τὸ ἐθνικὸν, καρδαμυλίτης, ὡς σινωπίτης. παρὰ δὲ τῶν ἐγχωρίων σκαρδαμυλίτης λέγεται. ἔστι δὲ καὶ καρδαμυλησσὸς κώμη.

K αρδησὸς, πόλις σκυθίας. ἑκαταῖος εὐρώπῃ. ὁ πολίτης, καρδήσιος, καὶ καρδησσεύς.

K αρδία, πόλις τῆς ἐν θρᾴκῃ χερρονήσου. Ἑρμοχάρους δὲ τοῦ κτίστου θύοντος, κόρακα τὴν καρδίαν ἁρπάσαντα, καὶ ἀναπτάντα εἰς τόνδε τὸν χῶρον, ἀφεῖναι, καὶ διὰ τοῦτο οὕτως ἐκλήθη. ἢ ὅτι τῇ σκυθῶν γλώττῃ οὕτω κεκλῆσθαι. ὁ πολίτης, καρδιανὸς, ὡς ἀσιανός.

K αρδοῦχοι, ἔθνος μηδίας, ὡς ξενοφῶν ἐν ἀναβάσεως. Γ, ΕΣ καρδούχους ἀγγ. τούτους δὲ πολεμικοὺς εἶναι, καὶ βασιλέως οὐκ ἀκούειν. καὶ Σοφαίνετος ἐν κύρου ἀναβάσει φησὶ περὶ αὐτῶν.

K αρδυτὸς, ὡς βηρυτὸς, πόλις σύρων μεγάλη, ὡς ἑκαταῖος ἐν περιηγήσει ἀσίας. τὸ ἐθνικὸν, καρδύτιος, ὡς βηρύτιος.

K αρήνη, πόλις μυσίας. ἡρόδοτος ἑβδόμῃ. τὸ ἐθνικὸν, καρηναῖος, ὡς Καρτερὸς. γ, Παρὰ ψηφίσματι γρύνεις ἀτταναῖοι καρηναῖοι.

K αρθαία, μία τῆς ἐν κῷ τετραπόλεως, ἀπὸ Καρθίου τελευτήσαντος ἐκεῖ. οἱ οἰκοῦντες, καρθαεῖς. πολύβιος ις. ἔστι καὶ ἰβηρίας καρταία, περὶ ἧς ἀρτεμίδωρος ἐν δευτέρῳ γεωγραφουμένων.

K αρία, ἡ χώρα. τὸ ἐθνικὸν, κὰρ, ὁμωνύμως τῷ οἰκιστῇ. τὸ ἐθνικὸν κατὰ τέχνην, κάειρα. ἡ χρῆσις δὲ τὴν ει δίφθογγον ἔχει. ἀπολλώνιος διὰ τοῦ ι φησὶ μακροῦ ἐν τῷ ε περὶ παθῶν, καὶ ἐν τῷ περὶ γενῶν. ἡ δὲ ἔκτασις ἀναγκαία, διὰ τὴν παραλήγουσαν. τὰ γὰρ εἰς α βραχὺ λήγοντα, παρασχηματιζόμενα, ἐκτείνει τὴν παραλήγουσαν φύσει, ἢ θέσει. ἡρωδιανὸς δὲ ἐν μὲν τῇ ὀρθογραφίᾳ, ἀμφίβολον αὐτό φησιν. ἐν δὲ τῇ καθόλου χρήσει, ἑπόμενος, διὰ διφθόγγου φησίν. ὑπομνηματίζων δὲ τὸ περὶ γενῶν ἀπολλωνίου, διὰ τοῦ ι μακροῦ. ἔστι γὰρ ὅτε μετὰ τὴν διαίρεσιν ἔκτασις γίγνεται. ὀΐομαι, ὄϊον. ὀΐδε παρ' αἰολεῦσιν, ἀντὶ τοῦ οἶδε. ἡ χρῆσις δὲ διὰ διφθόγγου, κατὰ συνεκδρομὴν τοῦ σώτειρα, ὀλέτειρα. λέγεται καὶ κάριος. οὕτω γὰρ ὁ ζεὺς παρὰ μυλασεῦσι τιμᾶται. τὸ θηλυκὸν, καείρα. ἐκαλεῖτο δὲ καὶ ἡ μεγάλη ἀκρόπολις καείρα, ἀπὸ

Καρὸς τοῦ Φορωνέως· καὶ ὁ οἰκήτωρ, κάριος. ἔστι καὶ καρίνη· ἔστι καὶ καριάτης· ἔστι καὶ καριᾶτις· καὶ καρὶς, ἀπὸ τῆς καρὸς γενικῆς· καρεὺς δὲ ἐλέγετο ἡ κῶς, ὡς ἑλλάνικος· ἔστι καὶ Φρυγίας πόλις ἀκαρὶς, καὶ καρίδες· τὸ ἐθνικὸν, καριδεὺς, ὡς ἀρκαδεύς. τὸ ἀπὸ τῆς τέχνης, καρίτης, τῶν καρῶν· τὸ κτητικὸν, καρικός· ἡρόδοτος ἐν πρώτῃ, τὸ καρικὸν ἔθνος δοκιμώτατον·

K αρικὸν, τόπος ἰδιάζων ἐν μέμφιδι, ἔνθα κάρες οἰκήσαντες, ἐπιγαμίας πρὸς μεμφίτας ποιησάμενοι, καρομεμφῖται ἐκλήθησαν·

K αρικὸν τεῖχος, πόλις λιβύης ἐν ἀριστερᾷ τῶν ἡρακλείων στηλῶν, ὡς ἔφορος πέμπτῃ· τὸ ἐθνικὸν, καρικοτειχίτης.

K αρκινίτης, πόλις σκυθική· ἑκαταῖος εὐρώπῃ· οἱ κατοικοῦντες, καρκινῖται·

K αρμανία, χώρα τῆς ἰνδικῆς· στράβων πεντεκαιδεκάτῃ· τὸ ἐθνικὸν, καρμάνιοι· καὶ θηλυκῶς, καὶ οὐδετέρως· καὶ καρμανοὶ, καὶ καρμανίς· ἔστι καὶ καρμάνα νῆσος· ἢ ἀπὸ τῶν καρμανίων·

K αρμηλος, ὄρος συρίας μέσον· τὸ ἐθνικὸν, καρμήλιος, ὡς μῆλος, μήλιος· καὶ κύριον ἐντεῦθεν. τὸ ἐθνικὸν, παραπλήσιον·

K αρμινα, νῆσος ἰνδική· τὸ ἐθνικὸν ὤφειλε καρμιναῖος· εὕρηνται δὲ καρμῖνοι·

K αρνανα, πόλις μιναίων, ἔθνος πλησίον ἐρυθρᾶς θαλάσσης· οἱ πολῖται, καρνανᾶται· σούνιος δὲ, καρνανίαν, καὶ καρνανίτης φησί·

K αρνη, πόλις Φοινίκης, ἀπὸ Κάρνου τοῦ Φοίνικος, ὡς ἴστρος φησίν· ὁ πολίτης, καρνίτης· λυκόφρων, Ολοντο ναῦται πρῶτα καρνῖται κύνες· ἔστι καὶ ἄλλη αἰολίδος, ἧς τὸ ἐθνικὸν, καρναῖος· τὸ κτητικὸν, κάρνιος τριγενές· ἀρτεμίδωρος δ᾽ ἐν τῷ δεκάτῳ βιβλίῳ φησὶν, Ἐστι κάρνος, καὶ συνεχῶς, πάλτος· εἶτα, γάβαλα πόλις· καὶ ἀναλογεῖ τὸ καρνίτης.

K αρνία, πόλις ἰωνίας· νικόλαος τετάρτῳ·

K αρνος, νῆσος ἀκαρνανίας· ἀρτεμίδωρος ·β· γεωγραφουμένων· τὸ ἐθνικὸν, καρνέος·

K αρόπολις, πόλις καρίας· ἀλέξανδρος καρικῶν πρώτῳ· τὸ ἐθνικὸν, καροπολίτης·

K αρὸς κῆποι, χωρίον θράκης· θεόπομπος ν· τὸ ἐθνικὸν, καροκηπίτης, ὡς αὐτός·

K αρούεντος, πόλις λατίνων· διονύσιος ·β· ῥωμαϊκῆς ἀρχαιολογίας· ἔνιοι δὲ γράφεται καρύεντος· καὶ τὸ ἐθνικὸν, καρυεντανός·

K αρπαθος, νῆσος πλησίον τῆς κῶ· ὅμηρος, Κάρπαθόν τ᾽ αὖ νῆσόν τε πότι ζόφον· ὁ οἰκήτωρ, καρπάθιος, καὶ καρπαθία, καὶ κάρπαθον·

K αρπασία, πόλις κύπρου, ἣν πυγμαλίων ἔκτισεν, ὡς ἑλλάνικος ἐν τοῖς κυπριακοῖς· διονύσιος δὲ διὰ διφθόγγου καρπάσειαν αὐτήν φησιν ἐν τρίτῳ βασσαρικῶν· Ηδ᾽ ὁππόσοι κινύρειον, ἠδ᾽ αἰπεινὴν καρπάσειαν· ἔστι καὶ νῆσος καρπασία κατὰ τὴν ἀκραγάντιν σαρπηδονίαν· ξεναγόρας δὲ καρπάθον αὐτήν φησι· δημήτριος δ᾽ ὁ σαλαμίνιος καρβασίας φησὶν, ὅτι πρὸς τὸν καλούμενον καρβᾶν ἄνεμον κεῖσθαι δοκεῖ· ὁ πολίτης, καρπασιώτης, ὡς μαρεώτης· καὶ τὸ κτητικὸν, καρπασιωτικὸς, καὶ καρπασιωτικὴ ἄκρα· θεόπομπος ἐν δεκάτῳ καρπασεῖς αὐτούς φησιν· ἴσως ἀπὸ τοῦ κάρπασος, ὡς αἴτιοχος, αἰτιοχεύς· ἀφ᾽ οὗ καρπάσεια·

K αρπήϊα, εἴρηται ἐν τῷ κατὰ τὴν          ὅτι τινὲς κάρπειαν τὴν πόλιν φασὶ, καὶ καρπητανοὺς τὸ ἐθνικόν·

K αρπήσιοι, ἔθνος ἰβηρικὸν τῶν ἐντὸς ἴβηρος ποταμοῦ·

K ἄρραι, πόλις μεσοποταμίας, ἀπὸ κάρρα ποταμοῦ συρίας· τὸ ἐθνικὸν, καρρηνὸς, ἢ καρραῖος· ἔστι καὶ πόλις πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ

K άρυα, χωρίον τῆς λακωνικῆς· θεόπομπος νε· ὁ οἰκήτωρ, καρυάτης, καὶ καρυάτις, καὶ καροιαῖος, καὶ καροιεύς. καὶ καροιάτις μέλισσα, ἀντὶ τοῦ λακωνική· κάροια τὸ αὐτόθι τόπος·  (ση.

K αρύανδα, πόλις καὶ λίμνη ὁμώνυμος, πλησίον μύνδου, καὶ κῶ· ἑκαταῖος καρύανδαν αὐτήν φησι· τὸ ἐθνικὸν, καρυανδεὺς, ὡς ἀλαβανδεύς· ἐντεῦθεν ἦν Σκύλαξ ὁ παλαιὸς λογογράφος·

K άρυστος, πόλις ὑπὸ τῇ ὄχῃ πόλει τῆς εὐβοίας, ἀπὸ Καρύστου τοῦ χείρωνος· θεοδωρίδας χειρωνίαν αὐτήν φησι· κεῖται δ᾽ ἡ πόλις πρὸς τῷ μυρτῴῳ πελάγει, ὑπὸ τῷ ὄρει ὄχῃ· ἐκλήθη δὲ τὸ ὄρος ἀπὸ τῆς τῶν θεῶν μίξεως, διὸς, καὶ ἥρας· ἢ διὰ τὸ τὰ πρόβατα κυΐσκεσθαι ὀχευόμενα ἐν τῷ τόπῳ· οἱ γὰρ ἀχαιοὶ τὴν τροφὴν ὄχην φασί. λέγεται καὶ ἄρσων τὸ ὄρος, ὁ ὄχης· ἐν ταύτῃ τῇ πόλει γίνεται λίθος, ἡ ξαινομένη, καὶ ὑφαινομένη, ὥστε τὰ ὑφηθέντα χειρόμακτρα γίνεσθαι· ῥυπωθέντα δὲ, εἰς φλόγα βάλλεσθαι, καὶ ἀποκαθαίρεσθαι τὸν ῥύπον τῇ πλύσει παραπλησίως· ἐκαλεῖτο δὲ καὶ αἰγαία, ἀπὸ Αἴγωνος τοῦ δυναστεύοντος· ἀφ᾽ οὗ καὶ τὸ πέλαγος αἰγαῖόν ἐστι· καὶ καρυστὸς τόπος τῆς αἴγυος πρὸς ἀρκαδίαν· ἀφ᾽ οὗ καρύστιον οἶνον ἀλκμὰν ἔφη, καθὰ στράβων δεκάτῃ τῆς προτέρας· τὸ ἐθνικὸν, καρύστιος, ἐν ᾗ τὸ λατόμιον τῶν καρυστίων κιόνων· καὶ θηλυκὸν, καρυστία·

K αρχηδὼν, μητρόπολις λιβύης, διασημοτάτη πόλις· χαλκηδὼν δὲ τῆς βιθυνίας διὰ τοῦ ·λ·κ· ἀπὸ καρχηδόνος φοίνικος. ἐκαλεῖτο δὲ καινὴ πόλις, καὶ καδμεία, καὶ οἰνοῦσσα, καὶ κακκάβη· τοῦτο δὲ κατὰ τὴν οἰκείαν αὐτῶν λέξιν, ἵππου κεφαλὴ δηλοῦται· ἔστι

δὲ καὶ ἄλλη καρχηδὼν πόλις ἰβηρίας. ἐκαλεῖτο δὲ καὶ αὕτη καινὴ πόλις. ἔστι δὲ καὶ ἀρμενίας καρχηδὼν, ὡς εὐδόξιός φησιν. ὁ πολίτης, καρχηδόνιος, σοφὸς μέγας, καὶ Κλειτόμαχος ὁ Διογνήτου, ὃς ἐκαλεῖτο Ασδρούβας, φιλόσοφος ἀκαδημαϊκὸς, διάδοχος Καρνεάδου τῆς κυρηναίου σχολῆς. ὃς κη. ἔτει ἐλθὼν ἀθήναζε, ἄμοιρος ἦν τῶν πρώτων στοιχείων. καὶ ταῦτα μανθάνων, ἀκροάσασθαι Καρνεάδου.

K άσιον, ὄρος, καὶ πόλις αἰγύπτου πρὸς τῷ πηλουσίῳ. ἐκλήθη δὲ ἀπὸ τῆς κυκλάδος νήσου, ἢ ἀπὸ Κάσου τοῦ Κλεομάχου. ἀφ' οὗ καὶ κασίου διὸς ἱερόν. ὁ πολίτης, κασιώτης, ὡς πηλουσιώτης. καὶ θηλυκὸν, κασιῶτις. καὶ τὸ κτητικὸν, κασιωτικός. ἀφ' οὗ ἐν τῇ συνηθείᾳ τὰ κασιωτικὰ ἱμάτια.

K ασμένη, πόλις σικελίας. ἡρόδοτος ζ. ὁ πολίτης, κασμεναῖος, καὶ κασμεναία.

K άσος, μία τῶν κυκλάδων. Οἳ δ' ἄρα νίσυρόν τ' εἶχον, κράπαθόν τε, κάσον τε. ἐκαλεῖτο δ' ἄμφη, καὶ ἀστράβη. κέκληται δὲ ἀπὸ τοῦ Κάσου τοῦ Κλεομάχου παιδός. ἀπῴκισαν δὲ τῆς νήσου καὶ τὸ ἐν συρίᾳ ὄρος κάσιον. ἔστι καὶ ἑτέρα περσίδος καὶ πόλις. καὶ τὸ ἐθνικὸν, κάσιος.

K ασπάτυρος, πόλις γανδαρική, σκυθῶν δὲ ἀκτή. ἑκαταῖος ἀσίᾳ.

K άσπειρος, πόλις πάρθων, προσεχὴς τῇ ἰνδικῇ. ἡρόδοτος γ. τὸ ἐθνικὸν, κάσπειροι, ὡς διονύσιος ἐν ς. βασσαρικῶν. Εν δέ τε κάσπειροι ποσὶ κραιπνοί. ἐν δ' ἀρινοί. καὶ πάλιν, Κοσσαῖος γενεὴν κασπειρόθεν. οἵ ῥά τε πάντων Ινδῶν ὅσσοι ἔασιν ἀφορ' τέρα γυῖα τ' ἔχουσιν. Οσσον γάρ τ' ἐν ὄρεσσιν ἀριστεύουσι λέοντες, Η ὁπόσα δελφῖνες ἔσω ἁλὸς ἰχθυοέσσης, Αἰετὸς ἐν ὄρνισι μεταπρέπει ἀειρομένοισιν, Ιπποι τε πλακόεντος ἔσω πεδίοιο θεόντων, Τόσσον ἐλαφρότατοι προφέρουσι πόδεσσι Κάσπειροι μετὰ φῦλα, τά τ' ἄφθιτος ἔλαχεν ἠώς. ἔδει οὖν ὡς στάγειρος, σταγειρίτης, οὕτω κάσπειρος, κασπειρίτης. ἀλλ' οἱ βάρβαροι ἑλληνικὴν ἀναλογίαν οὐ φυλάττουσι.

K ασπία θάλασσα. οἱ οἰκήτορες αὐτῆς, κάσπιοι. καὶ κάσπιον ὄρος. καὶ κάσπιοι ἄνδρες. καὶ κασπία γῆ. καὶ κάσπιον. λέγεται καὶ ὑρκανία ἡ κασπία. τινὲς δὲ ταύτας διακρίνουσι. φασὶ δὲ τὴν ἔξω θάλασσαν οἱ πολλοὶ τῶν βαρβάρων, ὠκεανόν. οἱ δὲ τὴν ἀσίαν οἰκοῦντες, μεγάλην θάλασσαν. οἱ δ' ἕλληνες, ἀτλαντικὸν πέλαγος. γίνεται δὲ κασπιανὸς ἐκ τοῦ κασπία, ὡς καρδιανός.

K ασσάνδρεια, πόλις μακεδονίας, πρὸς τῇ θρᾴκῃ, ἡ ποτὲ ποτίδαια λεγομένη. ἀπὸ Κασσάνδρου τοῦ ἀντιπάτρου. ὁ πολίτης, κασσανδρεύς. ποσίδιππος δὲ κωμῳδίας ποιητὴς υἱὸς ἦν κυνίσκου κασσανδρέως.

K ασσανῖται, ἔθνος ἐν τῇ παραλίᾳ τῆς ἐρυθρᾶς θαλάσσης. μαρκιανὸς ἐν περίπλῳ αὐτῆς. ἐντεῦθεν ἐκδέχεται τὸ κασσανιτῶν ἔθνος.

K ασσάνωρος, πόλις αἰγυπτία, ἧς μέμνηται ἔφορος κς. τὸ ἐθνικὸν, κασσανωρείτης.

K ασσίτιρα, νῆσος ἐν τῷ ὠκεανῷ, τῇ ἰνδικῇ προσεχὴς, ὡς διονύσιος ἐν βασσαρικοῖς. ἐξ ἧς ὁ κασσίτερος.

K ασσώπη, πόλις ἐν μολοσσῷ, ἐπώνυμος τῆς κασσωπίας χώρας. τὸ ἐθνικὸν, κασσωπαῖος, καὶ κασσώπιος, καὶ κασσωπία. ἀπὸ τοῦ κασσώπιος, κασσωπιὰς, ὡς ἑλικωνιάς. ἡρόδωρος δὲ κασσώπους αὐτούς φησιν. ἴσως καὶ ς. πάντες δὲ διὰ δύο σσ. ἡρωδιανὸς δὲ μόνος δι' ἑνός.

K αστάβαλα, κιλικίας καὶ φοινίκης πόλις. στράβων δυοκαιδεκάτῃ. ὁ πολίτης, κασταβαλεύς. ἣ καὶ περασία ἐκαλεῖτο.

K ασταλία, πόλις κιλικίας. θεαγένης ἐν καρικοῖς. τὸ ἐθνικὸν, κασταλιώτης. ὁ τύπος τοῖς κίλιξι συνήθης.

K αστάλων, μεγίστη πόλις ὀρητανίας, ὡς ἀρτεμίδωρος β. τῶν γεωγραφουμένων. τὸ ἐθνικὸν, κασταλωνίτης, ὡς ἀσκαλωνίτης, ταρρακωνίτης.

K ασταναία. εὔδοξος δὲ διὰ τοῦ θ. φησί. Καὶ κασταναίαν ἀκτέρεσον ἐν πέζαις. τὸ ἐθνικὸν, κασταναῖος. ἔστι καὶ κασταννία διὰ τοῦ ι. πόλις πλησίον τάραντος. τὸ ἐθνικὸν, κασταννιάτης.

K άσταξ, κάστακος, ὡς νάρυξ, νάρυκος, πόλις ἰβηρίας. τὸ ἐθνικὸν, καστακαῖος, ὡς ναρυκαῖος. ὁ ἀππιανός φησι κάστνιον ὄρος ἐν ἀσπένδῳ τῆς παμφυλίας. τὸ ἐθνικὸν, κάστνιος, καὶ κάστνιον, ἐξ οὗ καὶ καστνιήτης. ἔδει δὲ καστνιώτης, ὡς πηλιώτης.

K αστωλοῦ, πεδίον δωριέων, ὡς ξενοφῶν. ἐκλήθη δὲ ὅτι καστώλους τοὺς δωριεῖς οἱ λυδοί φασιν. ἦν δὲ πόλις ἐν λυδίᾳ κάστωλος. τὸ ἐθνικὸν, καστώλιος, ὡς σπαρτώλιος. καὶ τὸ κτητικὸν, καστωλικός.

K ασσώριον, τὸ πορνεῖον. ἀριστοφάνης, Εν κασσωρίοισι λείχων. ὁ οἰκήτωρ, κασσωρίτης. καὶ θηλυκῶς, κασσωρῖτις, καὶ κασσωρία.

K ατάβαθμος, τόπος ἐν λυκίᾳ, μεταξὺ τοῦ ἄμμωνος, καὶ τοῦ παραιτονίου. ὁ οἰκήτωρ, καταβαθμίτης, ὡς φελλὸς, φελλίτης.

K ατακεκαυμένη, χώρα τῆς ἐφεσίας. στράβων τρισκαιδεκάτῳ. τὸ ἐθνικὸν, κατακεκαυμενίτης. ἄδενδρος ἅπασα, πλὴν τῆς ἀμπέλου, τῆς τὸν κατακεκαυμενίτην φερούσης οἶνον. εἰκάζουσι δέ τινες ἐκ κεραυνοβολίας πρηστήρων συμβῆναι. ἔστι καὶ νῆσος ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ.

K ατάνη, πόλις σικελίας. ἑκαταῖος εὐρώπῃ. μετὰ δὲ, κατάνη πόλις. ὑπὲρ δὲ, ὄρος αἴτνη. ἀπὸ δὲ τῆς κατάνης χαρώνδας ὁ διάσημος τῶν ἐν ἀθήνῃσι νομοθετῶν. κέκληται δὲ οὕτως, ἐπειδὴ κατέβη πρὸς τὸν ἀμενανὸν ποταμὸν ἢ Θεοκλέους τοῦ χαλκιδέως ναῦς, ἣν δωρεὰς χωρὶς τοῦ ν. ναῦ φασιν. ἢ ὅτι τῆς αἴτνης

κατασταθείσης τὰ ἄνω καὶ κάτω, γίτονα. ἔστι καὶ ἄλλη Κατάνη τῆς Λέσβου πληθυντικῶς λεγομένη. τὸ ἐθνικὸν, Καταναῖος. καὶ θηλυκῶς, καὶ οὐδετέρως. Κατάνειρα οὐδετέρως πόλις, ὡς Θεόπομπος. λε. Φιλιππικῶν. ὁ οἰκητὴς, Καταναιρεὺς, ὡς Μεγαρεύς.

Καταονία, μοῖρα ἐσχάτη τοῦ Ταύρου. Στράβων δὲ Καππαδοκίαν ταύτην φησίν. οἱ οἰκοῦντες, Καταόνες, ὡς τῆς Λυκαονίας, Λυκάονες.

Καταννοὶ, ἔθνος πρὸς τῇ Καρπίᾳ θαλάσσῃ. Ἑκαταῖος Ἀσίᾳ.

Κάζη, πόλις οὐκ ἰωνικὸν ἔχουσα τόπον, ὡς Ἡρωδιανὸς περὶ τῆς ὁλικῆς γράφων. τὸ ἐθνικὸν, Καζαῖος, ὡς Ἀσκραῖος.

Κατταβανία, κατοικία τῆς εὐδαίμονος Ἀραβίας. Στράβων ἑκκαιδεκάτῃ. φέρει δὲ τὸν λιβανωτὸν ἡ Κατταβανία· σμύρναν δὲ, ἡ Χαζαμωνίτης. τὸ ἐθνικὸν, Κατταβανεύς.

Κάττουζα. ὅθεν δὲ τὰς γεράνους ὁρμᾶν, τὸ χωρίον Ῥακώλην προσαγορεύεσθαι. ὑπὸ δὲ Καρῶν, Τουαύλοι ἐκαλοῦντο.

Καύδιον, ὡς Ῥήγιον, πόλις Ἰταλίας. Διονύσιος ἑκκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν, Κλαυδῖνος, ὡς αὐτός φησι. καὶ Κλαυδῖνα θηλυκόν.

Καινύδανα, Ἰσαυρίας κώμη. κατὰ τῶν Ἰσαυρικῶν ἕκτῳ. ὁ κωμήτης, Καινυδανεώτης.

Καύκασος τὸ ὄρος, ὀρῶν μέγιστον. τὸ ἐθνικὸν, Καυκάσιος, καὶ Καυκασία θηλυκῶς ἀπὸ τῆς χώρας. ἀφ' οὗ τὸ Καυκασιανὸς, ὡς Κασπιανός. καὶ οὐδετέρως Καυκάσιον. λέγεται καὶ διὰ τοῦ .ι. Καύκασις. ἐξ οὗ τὸ Καυκασίτης, ὡς τὸ Οὐασίτης, τῆς Οὐάσιος.

Καυκώνεια, χώρα τῶν Καυκώνων. γέγονε δὲ ἀπὸ τῆς Καύκωνος γενικῆς, ὡς Μάρων, Μάρωνος, Μαρώνεια. Χείρωνος, Χειρώνεια. Βυζάντιος, Βυζαντία. τὸ ἐθνικὸν, Καυκωνείτης, ὡς Ζελείτης. ἐκλήθη δὲ ἀπὸ βασιλέως Καύκωνος, ἢ ποταμοῦ. ὤφειλε δὲ Καυκώνιος, ἀπὸ τῆς Καύκωνος γενικῆς, ὡς Αὐσόνιος. λέγεται καὶ Καυκωνὶς, καὶ Καυκωνιὰς, καὶ Καυκωνίτης.

Καυλικοὶ, ἔθνος κατὰ τὸν Ἰόνιον κόλπον. Ἑκαταῖος Εὐρώπῃ. κέκληνται δ' ἀπὸ ὄρους. Ἀπολλώνιος μετὰ τοῦ .α. Καυλιακῶν φησι.

Καυλωνία, πόλις Ἰταλίας, ἣν Αὐλωνίαν Ἑκαταῖος καλεῖ, διὰ τὸ μέσην αὐλῶνος εἶναι. ἀπὸ δὲ τοῦ αὐλῶνος, ὕστερον μετωνομάσθη Καυλωνία, ὡς Μεταβοῦ ἥρωος, τὸ Μεταπόντιον, καὶ Ἐπίδαυρος, Ἐπίλαυρος, καὶ αἱ Κλαζομεναί. ἔστι καὶ ἄλλη Σικελίας. ἔστι καὶ ἄλλη Λοκρῶν. ὁ πολίτης, Καυλωνιάτης, ὡς Ἀπολλωνιάτης. καὶ θηλυκὸν, Καυλωνιάτις, καὶ Καυλώνιος.

Καῦνος, πόλις Καρίας, ἀπὸ Καύνου, οὗ Βίβλις ἡ ἀδελφὴ ἐρασθεῖσα φεύγοντος ἐκείνου. ὅθεν ἡ παροιμία, ὁ Καύνιος ἔρως. ἔστι δὲ νοσώδης. ὅθεν καὶ Στρατόνικος ὁ κιθαριστὴς ἰδὼν ἐπιμελῶς χλωροὺς τοὺς Καυνίους, ἔφη, οἵηπερ φύλλων γενεὴ, τοίη δὲ καὶ ἀνδρῶν. ἔστι καὶ ἄλλη πόλις ἐν Κρήτῃ. τὸ ἐθνικὸν, Καύνιος, καὶ Καυνία, καὶ Καυναῖος.

Καΰστριον, πεδίον τῆς Ἐφέσου, ἀπὸ Καΰστρου ποταμοῦ, ὃς διὰ τὸ ἔχειν τὴν κεκαυμένην χώραν πλησίον, ἐκλήθη. τὸ ἐθνικὸν, Καϋστρῖνος. καὶ Καϋστρίνη τὸ θηλυκόν. λέγονται καὶ Καΰστριοι.

Καφηρεὺς, ἐπίνειον Εὐβοίας, ὅς τις Καθηρεὺς ἐκαλεῖτο, ὅτι τοὺς πλέοντας ἐκεῖ καθῆρον οἱ Εὐβοεῖς. τὸ ἐθνικὸν, ὁμοφώνως. καὶ τὸ θηλυκὸν, Καφηρείς. καὶ κτητικὸν, Καφήρειος.

Καφύα, πόλις Ἀρκαδίας, ἀπὸ Κάπυος τοῦ παιδὸς Ἀγχίσου, ἢ ἀπὸ Κηφέως. ὁ πολίτης, Καφυεὺς, καὶ Καφυάτης, ὡς Καρυάτης.

Κάψα, πόλις Χαλκιδικῆς χώρας, κατὰ Πελλήνην ὁμοροῦσα τῷ Θερμαίῳ κόλπῳ. ὁ πολίτης, Καψαῖος.

Τὸ κάππα μετὰ τοῦ .ε. ψιλοῦ.

Κεδρανῖται, ἔθνος τῆς εὐδαίμονος Ἀραβίας. Οὐράνιος Ἀραβικῶν τρίτῳ.

Κεβρηνία, χώρα τῆς Τρῳάδος, ἀπὸ Κεβριόνου τοῦ Πριάμου. Δίδυμος δὲ Κέβρινα τὴν πόλιν φησίν. Ἡρωδιανὸς δὲ, ἀπὸ Κεβρῖνος ποταμοῦ. ὁ οἰκήτωρ, Κεβρηνῖος, καὶ Κεβρηνεὺς, καὶ Κεβρηνιος.

Κεγχρέαι, πόλις Τρῳάδος, ἐν ᾗ διέτριψεν Ὅμηρος μανθάνων τὰ κατὰ τοὺς Τρῶας. δευτέρα, πόλις, καὶ ἐπίνειον Κορίνθου. τρίτη, Ἰταλίας. τὸ ἐθνικὸν, Κεγχρεάτης, ὡς Κορσεάτης. λέγεται καὶ Κέγχρειος ὁ Ποσειδῶν, ἀπὸ τοῦ υἱοῦ ἥρωος Κεγχρέου.

Κεδρέαι, πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν, Κεδρεάτης, καὶ Κεδραῖος τρισυλλάβως, καὶ Κεδρεατικός.

Κεδρωσοὶ, ἔθνος πλησίον τῆς Ἐρυθρᾶς θαλάσσης. τὸ ἐθνικὸν, Κεδρωσεῖς.

Κειριάδαι, δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς. ὁ δημότης, Κειριάδης. τὰ τοπικὰ, ἐκ Κειριαδῶν. εἰς Κειριαδῶν. ἐν Κειριαδῶν.

Κεκροπία χώρα, καὶ Κεκροπὶς φυλὴ, ἀπὸ Κέκροπος. λέγεται καὶ Κεκρόπιος, καὶ Κεκροπία, καὶ Κεκροπίτης. τὸ ἐθνικὸν, καὶ θηλυκὸν, Κεκροπίτις. καὶ τὸ ἐκ τόπου ἐπίρρημα, Κεκροπίαθεν. ἔστι καὶ Κεκροπὶς χώρα Θρᾴκης. ἔστι καὶ δῆμος Θεσσαλονίκης. οἱ δημόται, Κεκρόπιοι.

Κεκρυφάλεια, ἄκρα τις, περὶ ἣν ἐνίκησαν Αἰγινῆται Ἀθηναίους. τινὲς δὲ νῆσον αὐτήν φασι Πελοποννήσου. τὸ ἐθνικὸν, Κεκρυφαλεύς.

Κελαδώνη, πόλις Λοκρίδος, ὡς Διονύσιος Γιγαντιάδος πρώτῳ. τὸ ἐθνικὸν, Κελαδωναῖος.

Κέλαιθοι, ἔθνος Θεσπρωτικὸν, προσεχὲς τῇ Θετταλίᾳ. Ῥιανὸς .δ. λέγονται καὶ Κελεθεῖς.

Κελαίθρα, πόλις Βοιωτίας, Ἄρνης πλησίον, ἀπὸ Κελαίθρου

λείπει.

K όρακος πέτρα, τόπος ἐν ἰθάκῃ· ὅμηρος· ὁ τοῦ τόπου οἰκῶν, κορακοπετραῖος.

K ορακόνησος, ἀλέξανδρος γ΄ τῶν λιβυκῶν. τὸ ἐθνικὸν, κορακονησίτης.

K όραξ, ὄρος μεταξὺ καλλιπόλεως, καὶ ναυπάκτου· πολύβιος εἰκοστῷ· τὸ ἐθνικὸν, κοράκιος, ὡς ἄβραξ, ἀβράκιος.

K οραξοὶ, ἔθνος κόλχων, πλησίον κώλων· ἑκαταῖος ἀσίᾳ· κοραξικὸν τεῖχος, καὶ κοραξικὴ χώρα.

K όρδυλος, πόλις παμφυλίας· ἑκαταῖος ἀσίᾳ· τὸ ἐθνικὸν, κορδύλιος·

K ορησσὸς, πόλις τῆς ἐφεσίας, διὰ τὸ τὴν λητὼ τεκοῦσαν, καὶ τὴν ἄρτεμιν κομίζουσαν γενομένην κατὰ τὸν τόπον, ὃ νῦν βωμὸς αὐτῆς· τῆς δὲ πυθομένης τίνος ἐστὶν ὁ τόπος, κορησσὸς εἰπεῖν. τὸ ἐθνικὸν, κορησσίτης· καὶ ἴσως ἀπὸ τοῦ κόρισις· λέγεται καὶ κορησσεύς· καὶ κορησσία πολίχνιον τῆς κέω, καὶ ἐπίνειον.

K όρινθος, πόλις ἔσω τοῦ ἰσθμοῦ τῶν πελοποννήσων· ἑκαταῖος εὐρώπῃ. ἡ αὐτὴ ἐκαλεῖτο ἔφυρα, ἀπὸ Εφύρου τοῦ μύρμηκος τῆς ἐπιμηθέως γυναικός· ἐκαλεῖτο δὲ ἀκροκόρινθος ἐσώπη, διὰ τὸ σίσυφον ἐντεῦθεν ἐπιδεῖν τὴν τῆς αἰγίνης ὑπὸ διὸς ἁρπαγήν. εἶτα, ἡλιούπολις, διὰ τὸ ξηρὰν εἶναι· εἶτα, πάγος· εἶτα, ἔφυρα· οἱ πολῖται, κορίνθιοι· καὶ θηλυκῶς, κορινθιάς· καὶ σύνθετον, κορινθιουργεὺς, ὡς ἀττικουργεύς· ἀπολλώνιος ὁ ῥόδιος κανώπου δευτέρῳ, κορινθιουργεύς ἐστι κιόνων σχῆμα· καὶ κορινθιακὸς κόλπος τὸ κτητικόν· καὶ κορινθιάζομαι, τὸ ἑταιρεῖν, ἀπὸ τῶν ἐν κορίνθῳ ἑταιρῶν· ἢ τὸ μαστροπεύειν· ἀριστοφάνης ἐν κωκάλῳ.

K όριλλα, πόλις λατίνων· διονύσιος τετάρτῳ ῥωμαϊκῆς ἀρχαιολογίας· τὸ ἐθνικὸν, κοριλλανοί.

K οριόλλα, πόλις τῆς ἰταλίας· διονύσιος καὶ τῆς ἐπιτομῆς· τὸ ἐθνικὸν, κοριολλανὸς κατὰ πρόσθεσιν τῆς νυ, ὡς μύρλεα, μυρλεανὸς καθ᾽ ὕφεσιν τοῦ ι.

K όριον, τόπος ἐν κρήτῃ, ἀπὸ κόρης τινός· ὁ πολίτης, κορήσιος· καὶ λίμνη κορησία· καὶ ἀθηνᾶς ἱερὸν κορησίας· ταῦτα δὲ ἀπὸ τοῦ κόρη γέγονεν· ἀπὸ δὲ τοῦ κόριον, τὸ ἀνάλογον κοριεύς.

K ορκυρεῖς, πόλις αἰγύπτου, ὡς ἁλμυρεῖς. ἀργυρίς· ἡ δὲ ψενύρις αἰγύπτιος κώμη, βαρύνεται· ὁ πολίτης, κορκυρίτης.

K όρνικλος, πόλις λατίνων· διονύσιος γ΄ τῷ ῥωμαϊκῆς ἀρχαιολογίας· τὸ ἐθνικὸν, κορνικλανός.

K ορικονδάμη, πλησίον σινώπης· ἀρτεμίδωρος ἐν δεκάτῳ γεωγραφουμένων· τὸ ἐθνικὸν, κορικονδαμίτης· καὶ λίμνη κορικονδαμῖτις.

K ορομάνη, πόλις πρὸς τὸν περσικὸν κόλπον· μαρκιανὸς ἐν περίπλῳ αὐτῆς· τὸ ἐθνικὸν, κορομάνιος, διὰ τὸν τύπον τῶν περσῶν· παρσαιτακηνοὶ γάρ, τοῦ παραιτάκης.

K ορώπη, πόλις θετταλίας· ὁ πολίτης, κορωπαῖος· Νίκανδρος ἐν θηριακοῖς. Αἱ ἐν ἀπόλλων μαντείας κορωπαῖος ἐθήκατο, καὶ θέμιν ἀνδρῶν· οἱ δ᾽ ὑπομνηματίζοντες αὐτὸν, θέων, καὶ πλούταρχος, καὶ δημήτριος ὁ φαληρεύς φασι, νίκανδρος ὀροπαῖος· καὶ ὀροπαῖος ἀπόλλων· ἀγνοεῖ δὲ τὸ ἀμφιαράου ἱερὸν ἀπόλλωνός ἐστι· λέγεται δὲ κατ᾽ ἔλλειψιν τοῦ ι· κοροπαῖος, κορόπη· κορόπη δὲ θεσσαλίας πόλις· βέλτιον δ᾽ ὑπονοεῖν ὅτι ἡμάρτηται, καὶ γράφεται ὀροπαῖος· ὀρόπη γὰρ πόλις εὐβοίας, ὅπου ἀπόλλωνος διασημότατον ἱερόν.

K όροντα, πόλις ἀκαρνανίας· θουκυδίδης δευτέρᾳ· τὸ ἐθνικὸν, κορυνεύς, ὡς σαμόσατα, σαμοσατεύς.

K ορουΐων, πόλις αἰκανῶν ἐν ἰταλίᾳ· διονύσιος ῥωμαϊκῆς ἀρχαιολογίας· τὸ ἐθνικὸν, κορουϊώνιος, ὡς αὐσώνιος.

K ολπηδοὶ, θρᾳκ. * τινὲς ἀράβων· ζ. ἡ χώρα, κολπιλική· ἡ γὰρ αἶνος κεῖται κατὰ τὴν προτέραν ἀψινθίδα· νῦν δὲ κολπιλικῶν λεγομένη.

K όρσεαι, νῆσος τῆς ἰωνίας, ἀντικρὺ σάμου· ἑκαταῖος εὐρώπῃ· ἡρωδιανὸς κορσία διὰ τοῦ ι· καὶ τὸ ἐθνικὸν, κορσιάτης.

K ορσὶς, νῆσος ἐν τῷ τυρρηνικῷ πελάγει, ἀπὸ Κόρσης δούλης βουκόλου· λέγεται καὶ κορσική· τὸ ἐθνικὸν, κορσοί.

K ορύδαλλα, πόλις ῥοδίων· ἑκαταῖος ἀσίᾳ· τὸ ἐθνικὸν, κορυδαλλεῖς.

K ορύδαλλος, δῆμος τῆς ἱπποθοωντίδος φυλῆς· ὁ δημότης, κορυδαλλεύς· τὰ τοπικὰ, κορυδαλλόθεν· κορυδαλλόνδε· κορυδαλλοῖ.

K ορύλειον, κώμη περίσημος ἐν παφλαγονίᾳ, ἀπὸ Κορύλλου βασιλεύσαντος· ὁ οἰκήτωρ, κορυλιεύς.

K ορυφαῖον, ὄρος ἐπὶ τῷ ἐπιδαυρείῳ, ἐν ᾧ τιμᾶται ἄρτεμις κορυφαία· παυσανίας δευτέρῳ· τὸ ἐθνικὸν, κορυφαῖος.

K ορυφάσιον, χωρίον λακωνικὸν, πλησίον πύλου· θουκυδίδης πέμπτῃ. τρεῖς δέ εἰσιν αἱ πύλοι ἐν παροιμίᾳ. Εστι πύλος πρὸ πύλοιο· πύλος γε μὲν ἔστι καὶ ἄλλος· τὸ ἐθνικὸν, κορυφασιεὺς, καὶ κορυφάσιος.

K ορώνεια, πόλις βοιωτίας· ἑκαταῖος εὐρώπῃ· ἀπὸ Κορώνου τοῦ Θερσάνδρου· ἐν ταύτῃ οὐ φαίνεται ἀσπάλαξ, πάσης τῆς βοιωτίας ἐχούσης τὸ ζῶον· κἄν τις ἔξωθεν ἐνέγκῃ εἰς τὴν κορώνειαν χώραν, οὐ δύναται ζῆν.

δευτέρα, πόλις πελοποννήσου, σικυῶνος, καὶ κορίνθου. τρίτη, τῆς φθιώτιδος. ἔστι δὲ καὶ φρούριον τῆς ἀμβρακίας. τετάρτη, πόλις κύπρου. ἔστι καὶ χερρόνησος πρὸς τὴν ἀττικήν. ε, πόλις λιμένων καρήνη. ὁ πολίτης, κορωναῖος, καὶ κορωνεύς. οἱ δέ φασι παρὰ τὴν κορωνίαν, κορωνιεύς. παρὰ δὲ τὴν κορώνην, κορωναεύς.

Κ ορώνη, πόλις μεσσήνης, ἣν ἀπολλόδωρος ἐν ἑβδόμῳ τοῦ καταλόγου. ὁ πολίτης, κορωναεύς, καὶ κορωναιεύς, καὶ κορωναῖος. ἔστι καὶ κορώνη μοῖρα τῆς σαλαμῖνος τῆς ἐν κύπρῳ. καὶ τρίτη. ταύτης οἱ οἰκήτορες, κορωνῖται. ἔστι καὶ πόλις βιθυνίας.

Κ οσίανα, φρούριον παλαιστίνης. χάραξ δεκάτῳ, ἐν τῇ παραλίᾳ τῆς συρίας. τὸ ἐθνικὸν, κοσιανεύς, ὡς τύανα, τυανεύς.

Κ όσσα, πόλις οἰνώτρων, ἐν τῇ μεσογείῳ. ἑκαταῖος εὐρώπῃ. οἱ πολῖται, κοσσανοί.

Κ οσσέα, μέρος περσίδος. στράβων. ιε. οἱ οἰκοῦντες, κοσσαῖοι. ἔστι καὶ θρᾴκης πολίχνιον.

Κ οσσὸς, ὄρος βιθυνίας, ὡς δημοσθένης βιθυνιακῶν δεκάτῳ. οἱ οἰκοῦντες, κοσσαῖοι.

Κ όσυρος, νῆσος κατὰ σελινοῦντα, καὶ σικελίας ποταμὸς, καὶ πόλις ὁμώνυμος, καὶ λιβύης νῆσος.

Κ όσυρα. τὸ ἐθνικὸν τῆς πρώτης, κοσύριος. καὶ κτητικὸν, κοσυρειακὸς, ἢ κοσυρεῖνος. τῆς δὲ δευτέρας, κοσύραιος.

Κ οσύτη, πόλις ὀμβρική. κτησίας τρίτῃ περιηγήσεως. τὸ ἐθνικὸν, κοσυταῖος, ὡς μοτυαῖος, τοῦ μοτύης σικελίας, πόλις κοτυαείου. πόλις τῆς ἐπικτήτου φρυγίας. στράβων. ιβ. τινὲς δέ φασι κοσιάειον ὀφείλειν. δοκεῖ δὲ ἀπὸ τοῦ κόσα, κόσαιον, ὡς τοῦ μίδα, μίδαιον. καὶ προσθέσει τοῦ ι, κοσιαῖον. καὶ τροπῇ, κοτιαῖον. τὸ ἐθνικὸν, κοτιαεύς. ἔνθα ἦν ἀλέξανδρος ὁ ἀσκληπιάδου γραμματικὸς, πολυμαθέστατος χρηματίζων. ὃς περὶ παντοδαπῆς ὕλης τεσσαρακονταδύο ἔγραψε λόγους.

Κ οζάδης, πόλις ἰσαυρίας. καπίτων ἰσαυρικῶν πρώτῳ. τὸ ἐθνικὸν, κοζαδεώτης, ἀπὸ τῆς γενικῆς τῆς κοζάδεως.

Κ οτύλαιον, ὄρος εὐβοίας, ἀνακείμενον ἀρτέμιδι, ὡς φησιν ἀντίμαχος ἐν ἀρτέμιδος β.

Κ όρτυτα, χωρίον λακωνικόν. θουκυδίδης. τὸ ἐθνικὸν, κορτυταῖος.

Κ οτύωρα, κώμη πρὸς τῷ πόντῳ, ὡς ἀρριανός. τὸ ἐθνικὸν, κοτυωρεῖται, ὡς ἄβδηρα, ἀβδηρεῖται.

Κ ούρης, ὁ ἀκαρνανίας. κουρῆτές τε ἐμάχοντο, καὶ αἰτωλοί. ὅμηρος. καὶ κουρεὺς παράγωγον. καὶ θηλυκὸν, κουρεῖτις. καὶ κούρειος, καὶ κούρεια, καὶ κούρειαι θηλυκῶς.

Κ ούρειοι, ἔθνος σαβίνων, πολεμῆσαν ῥωμαίοις. χάραξ. ιβ. οἱ φυλέται, κουρῖται. καὶ οἱ ῥωμαῖοι κουρῖτες πρὸς ἐκείνου ἐκλήθησαν.

Κ ούριον, πόλις κύπρου, ἀπὸ Κουρέως τοῦ Κινύρου παιδός. ἡρόδοτος πέμπτῃ. τὸ ἐθνικὸν, κουριεύς. καὶ ἀριστοκλῆς κουριεὺς ἦν. τὸ θηλυκὸν, κουριὰς, καὶ ἡ χώρα. ἔστι καὶ πόλις αἰτωλίας.

Κ ουρόπολις, πόλις καρίας. ἀπολλώνιος καρικῶν πρώτῳ. τὸ ἐθνικὸν, κουροπολῖται.

Κ οχλίουσα, νῆσος πρὸς τῇ λυκίᾳ. ἀλέξανδρος δευτέρῳ περὶ λυκίας, διὰ τὸ κοχλίας ἐν αὐτῇ εὑρίσκεσθαι. τὸ ἐθνικὸν, κοχλιουσί.

Τὸ κάππα μετὰ τοῦ ρω.

Κ ραβασία, πόλις ἰβήρων. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, κραβάσιος, καὶ κραβασιεὺς, καὶ κραβασιάτης, καὶ κραβασιανὸς διὰ τὴν χώραν.

Κ ράγος, ὄρος λυκίας. ἀλέξανδρος δευτέρῳ λυκιακῶν, ἀπὸ Κράγου τοῦ Τρεμίλου υἱοῦ, μητρὸς δὲ Πραξιδίκης νύμφης. ἐνταῦθα δ' εἶναι καὶ τὰ ἐπονομαζόμενα θεῶν ἀγρίων ἄντρα. ἀπαθανατισθῆναι γάρ φασι τοὺς περὶ τὸν κράγον. τὸ ἐθνικὸν, κράγιος. ἔστι καὶ ὄρος ἀντίκραγος ἕτερον.

Κ ράδη, πόλις καρίας. ἑκαταῖος ἀσίας περιηγήσει. τὸ ἐθνικὸν, κραδίτης, ὡς σιδίτης.

Κ ράμβουσα, νῆσος περὶ σελεύκειαν τῆς ἰσαυρίας. στράβων τεσσαρεσκαιδεκάτῳ. τὸ ἐθνικὸν, κραμβούσης, ἢ

Κ ράμβουτις, πόλις αἰγύπτου. ἑκαταῖος περιηγήσει λιβύης. ὁ πολίτης, κραμβουτίτης, ὡς ναυκρατίτης. ἡρωδιανὸς διὰ τοῦ υ γράφει κράμβυτις προπαροξυτόνως, ὡς ἄβυτις.

Κ ρανάη, νῆσος λακωνική. ὅμηρος, Νήσῳ δ' ἐν κραναῇ ἐμίγην. ἥτις πρόκειται τοῦ γυθείου. οὕτως ἐκαλεῖτο καὶ ἡ ἀττική, ἀπὸ Κραναοῦ. ὑψηλή φασι γάρ τινες οὕτω τὸ ὁμηρικὸν τὸ κραναὴ, ἀντὶ τοῦ ἀτθίδι. ἑλένη καλεῖται νῦν. ἐμοὶ δοκεῖ ἀλέξανδρος δηλοῦν οὐ τὸν διὰ τῶν νήσων πλοῦν πεποιημένων τῶν εἰσαγόντων, ἀλλὰ τῶν ἔξω. ἀπονοῶν γὰρ διωχθήσεσθαι, τὴν κρήτην εὐώνυμον λαμβάνει. καὶ τὴν ἀσίαν παραλεγόμενος, εἰς φοινίκην ἔρχεται. τὸ ἐθνικὸν, εἰ μὲν τῆς λακωνικῆς, κραναάτης, ὡς καρυάτης. εἰ δὲ τῆς ἀττικῆς, κραναῖος, ὡς ἀθηναῖος.

Κ ράνεια, χωρίον ἀμβρακιωτῶν. θεόπομπος πεντηκοστῷ πρώτῳ. τὸ ἐθνικὸν, κρανειάτης, καὶ μαρειάτης, ὡς φησι σοφοκλῆς λαρισαίοις.

Κ ρανίδες, συνοικία πρὸς τῷ πόντῳ. παρθένιος ἐν ἀνθίππῃ. τὸ ἐθνικὸν, κρανῖται.

Κ ράνιον, πόλις ἐν κεφαλληνίᾳ τῇ νήσῳ. τετράπολις δὲ ἡ νῆσος ἀπὸ τῶν κεφάλου παίδων.

πρωνοῦσα μα

πρωνούασαμας υπηλέως κρανίου· τὸ ἐθνικὸν, κραναεῖς.

Κ ραννών, πόλις τῆς θεσσαλίας τῆς πελασγιώτιδος ἐν τοῖς τέμπεσιν, ὡς ἑκαταῖος εὐρώπῃ. ἔστι καὶ ἄλλη πόλις ἀθαμανίας, ἀπὸ Κράνωνος τοῦ πελασγοῦ. ἐν ταύτῃ δύο κόρακας εἶναί φασι μόνους, ὡς καλλίμαχος ἐν τοῖς θαυμασίοις, καὶ θεόπομπος· ὅταν δ' ἄλλους ἐκνοσσεύσωσιν, ἴσους αὐτοὺς καταλιπόντες, ἀπέρχονται. ὁ πολίτης, κραννώνιος. ἡρόδοτος ἕκτῃ. Εκ δὲ θετταλίης ἦλθε τῶν σκοπαδέων διακτορίδης ὁ κραννώνιος. ἀπέχει δὲ σταδίους ἑκατὸν τῆς γόρτωνος ἡ κραννὼν πόλις, ὥς φησι στράβων. καὶ ὅμηρος φησὶν ἐφύρους τοὺς κραννωνίους. φλεγύας δὲ, τοὺς γορτυναίους. ἔστι καὶ θηλυκὸν κραννωνὶς, ἀπὸ τῆς γενικῆς.

Κ ραστέριον, σικελίας χωρίον. φίλιστος ὀγδόῳ. τὸ ἐθνικὸν, κραστερῖνος.

Κ ραστὸς, πόλις σικελίας τῶν σικανῶν. φίλιστος σικελικῶν δωδεκάτῳ. ἐκ ταύτης ἦν Επίχαρμος ὁ κωμικὸς, καὶ λαῒς ἡ ἑταίρα, ὡς Νεάνθης ἐν τῷ περὶ ἐνδόξων ἀνδρῶν. ἔχει δὲ ἡ πόλις εὐπρεπεστάτας γυναῖκας, ὥς φιλήμων. ἄλλοι δὲ, ὅτι μόνος πολέμων ἔφη τὴν λαΐδα κορινθίαν. ὁ πολίτης, κραστῖνος, καὶ κραστίνη τὸ θηλυκόν.

Κ ρέμη, πόλις πόντου. φλέγων ὀγδόῳ χρονικῶν. τὸ ἐθνικὸν, κρεμήσιος, ὡς ἰθακήσιος.

Κ ρεμμύων, κώμη κορίνθου. εὔδοξος ἕκτῳ γῆς περιόδου. ὁ πολίτης, κρεμμυώνιος. ἐν ᾗ μυθεύουσι τὰ περὶ τὴν κρεμμυωνίαν ὗν, ἣν μητέρα τοῦ καλυδωνίου κάπρου φασὶ, καὶ τῶν θησέως ἄθλων. φαβωρῖνος δὲ καὶ τοῦ ἐρυμάνθου, καὶ τοῦ καλυδωνίου μήτηρ ἦν. τὸ κύριον ὄνομα αὐτῆς ἐκαλεῖτο φαῖα. ἔστι καὶ κρομμύων πόλις λιβύης διὰ τοῦ ο. καὶ ἑκαταῖος. τὸ ἐθνικὸν, κρομμυώνιος, καὶ κρομμυωνία.

Κ ρεῦσις, πόλις βοιωτίας, κειμένη κατὰ ντικρὺ τῆς μεγαρίδος, ὡς ἡρωδιανός. ἡ γενικὴ, κρεύσιος. τὸ ἐθνικὸν, κρευσιεύς.

Κ ρημνίδες, πόλις σικελίας, ἃς φίλιππος μετωνόμασε φιλίππους. τὸ ἐθνικὸν, κρημνῖται.

Κ ρῆσσα, πόλις παφλαγονίας, ἣν Μηριόνης μετὰ τροίαν ἔκτισε. Ζελίας δὲ εἷλεν ὁ Νικομήδους υἱός. δημοσθένης γράφει. τὸ ἐθνικὸν, κρησσαῖος.

Κ ρήσιον, πόλις κύπρου. θεόπομπος φιλιππικῶν πεντεκαιδεκάτῳ. τὸ ἐθνικὸν, κρησιεὺς, ὡς σολιεύς.

Κ ρήστων, πόλις θράκης. ἔοικε δὲ εἶναι ἡ κρήστων παρ' ἡροδότῳ. λυκόφρων, ορκωμοτῆσαι τόν τε κρηστώνης θεόν. ὁ πολίτης, κρηστωναῖος παρὰ πινδάρῳ. ῥιανὸς δὲ κρηστωνίους αὐτούς φησιν. ἑκαταῖος δὲ κρηστωναίους αὐτοὺς ἐν εὐρώπῃ. καὶ κρηστωνικὸν κτητικόν.

Κ ρήτη, ἡ μεγίστη νῆσος, ἣν κρεήτην ἔφη ἀρχίλοχος κατὰ πλεονασμόν. οἱ μὲν φασιν ἀπὸ τοῦ κόρης, κορήτην, καὶ κρήτην κατὰ συγκοπήν. οἱ δὲ, ἀπὸ κρητὸς τοῦ διὸς, καὶ ἰδαίας νύμφης παιδός. οἱ δ' ἀπὸ κρήτης μιᾶς τῶν ἑσπερίδων. οἱ δὲ, ἀπό τινος γηγενοῦς κρητός. ἄμεινον δὲ παρὰ τὸ κρὴς, κρ[illegible], ὡς θρᾴκη, καὶ χιτώνη, καὶ εὐφρόνη. λέγεται καὶ ποιητικῶς κρῆται. λέγεται καὶ κρὴς, κρητὸς. καὶ κρῆσσα καὶ κρηταῖος, καὶ θηλυκῶς, καὶ οὐδετέρως. καὶ κρητεὺς, καὶ κρηταῖος. καὶ κρητήϊος κτητικόν. καὶ θηλυκὸν, κρητηΐας. καὶ κρηταιεὺς, καὶ κρήσιος ἀπὸ τοῦ κρὴς. καὶ κρησιὰς θηλυκὸν, καὶ κρησία, καὶ κρήσιον. καὶ ἀπὸ τῆς κρητὸς γενικῆς, κρῆτις. καὶ τροπῇ τοῦ τ εἰς σ, κρῆσσις. καὶ τὸ κτητικὸν, κρητικός. καλεῖται δὲ ἡ νῆσος καὶ ἀερία, καὶ χθονία, καὶ ἰδαία.

Κ ρητηνία, τόπος ῥόδου, ἐν ᾧ ᾤκουν οἱ περὶ Αλθημένην, ὃς χρησθεὶς ὅτι τὸν πατέρα ἀποκτενεῖ, ἔφυγε. καὶ νυκτὶ πλοίῳ συναντῶν ἐν ῥόδῳ. καὶ ὡς λῃστὰς νομίσας, ἀναιρεῖ τὸν πατέρα. εἰσὶ δ' ὑπὲρ αὐτοῦ τὰ ἀταβύρια ὄρη, ἀφ' ὧν ἀταβύριος.

Κ ριθωτὴ, πόλις ἑλλησπόντου ὀγδοήκοντα σταδίους ἀπέχουσα τῆς καρδίας. τὸ ἐθνικὸν, κριθώσιος, ὡς περκώσιος. ἔστι καὶ ἄκρα ἀκαρνανίας.

Κ ρίμισσα, πόλις ἰταλίας, πλησίον κρότωνος, καὶ θουρίου. λυκόφρων. ἀπὸ κριμίσης νύμφης. τὸ ἐθνικὸν, κριμισσαῖος. καὶ θηλυκῶς, καὶ οὐδετέρως. καὶ ποταμός.

Κ ρίσα, πόλις φωκίδος. ἑκαταῖος εὐρώπῃ. ἀπὸ Κρίσου φωκέου. τὸ ἐθνικὸν, κρισαῖος. καὶ κρισαῖον πεδίον. εἰσὶ καὶ κρίσαι ἄλλαι βοιωτικαί. ἔστι καὶ αἰολίδος κρίσα. τινὲς δ' αὐτὴν τῇ κίρρᾳ φασί. λέγεται τὸ ἐθνικὸν κρισηϊὰς, ὡς ἀπὸ τοῦ κρισεύς.

Κ ριῶα, δῆμος τῆς ἀντιοχίδος. ὁ δημότης, κριωεύς. τὰ τοπικὰ, κριῶθεν, καὶ κριῶζε, καὶ κριῶσι.

Κ ρόβυζοι, ἔθνος πρὸς νότου ἀνέμου τοῦ ἴστρου. ἑκαταῖος εὐρώπῃ. ἐξ οὗ κροβυζικὴ ἡ γῆ.

Κ ροκέα, πόλις λακωνικὴ τῶν ἑκατὸν πόλεων μία. λέγεται οὖν ἑνικῶς. οἱ οἰκοῦντες, κροκεᾶται. λέγεται δὲ τοπικῶς κροκέηθεν.

Κ ροκοδείλων πόλις, πόλις ἐν τῇ μοιρίδι τῇ λίμνῃ ἐν αἰγύπτῳ. ἡρόδοτος δευτέρᾳ. ἐκλήθη δὲ οὕτως ὁ μαν ὑπὸ τῶν ἰδίων κυνῶν διωκόμενος, μεθ' ἵππου φεύγει. καταπεσόντος δὲ τοῦ ἵππου ἐν τῇ μοιρίδι λίμνῃ, ὑπὸ κροκοδεί-

λου ληφθῆναι, καὶ ἐξενεχθῆναι εἰς τὴν πέραν, καὶ οὕτως ὀνομασθῆναι. καὶ πόλιν κτίσαι, καὶ καθιδρῦσαι τοὺς κροκοδείλους. ἀπεῖπέ τε μηδένα ἀποκτείνειν τὸ ζῶον, ἡγεῖσθαί τε ὡς θεόν. ὁ πολίτης, κροκοδειλοπολίτης.

Κροκύλιον, νῆσος ἰθάκης. θουκυδίδης τρίτῃ. τὸ ἐθνικὸν, κροκυλεύς. Ηρακλέων δὲ ὁ Γλαύκου τετραμερῆ φησι τὴν ἰθάκην, ἧς τὸ μὲν πρῶτον, ἐπὶ μεσημβρίαν, καὶ θάλατταν. καὶ τὸ δεύτερον, νήϊον. καὶ τὸ τρίτον, κροκύλειον. τὸ τέταρτον, αἰγιρῆα.

Κρομύουσα, νῆσος ἰβηρίας. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, κρομυούσιος.

Κρομμύων, πόλις πλησίον ἀσκάλωνος. φιλήμων ἐν ἐφήβῳ. ὁ πολίτης, κρομμυώνιος.

Κρόσσα, πόλις πρὸς τῷ πόντῳ. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, κροσσαῖος, ὡς ἄβυλλα, ἀβυλλαῖος.

Κρότων, πόλις ἰταλίας εὔσημος περὶ τὸ ῥήγιον. βαρύνεται δὲ ὅτι τὸ ὄρος σημαίνει. ὅθεν ὁ ἄξιος ῥεῖ ποταμός. τὸ μέντοι ἐπὶ τοῦ φθαρτοῦ τῶν κυνῶν, ὀξύνεται. ἔστιν ἑτέρα πόλις τυρρηνίας μητρόπολις. καὶ τρίτη, ἰταλίας. οἱ πολῖται, κροτωνιᾶται. καὶ θηλυκῶς, κροτωνιᾶτις, καὶ κροτώνιος, καὶ κροτωνία, καὶ κροτωνιάτης, καὶ κροτωνιάς.

Κρουστομερία, πόλις σαβίνων, ἣν ἔκτισε ῥωμύλος. διονύσιος δευτέρῳ ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν, κρουστομερῖνος.

Κρουσὶς, μοῖρα τῆς μυγδονίας. στράβων ἑβδόμῃ, Ηγεμονικῆς κρουσίδος. ἀπὸ Κρουσέως τοῦ Μυγδόνος υἱοῦ. τῷ τοπικῷ ἔθει κρουσιδεὺς, ὡς χαλκιδεύς. ἔστι δὲ κρου

ἔστι θηλυκὸν ὁμώνυμον κρουσὶς γῆ.

Κρύα, πόλις λυκίας. ἀρτεμίδωρος ἐν ἐπιτομῆς πρώτῳ. τὸ ἐθνικὸν, κρυεύς. εἰσὶ δὲ καὶ ἄλλαι νῆσοι κρυέων, κάρυσις, καὶ ἀλίνα.

Κρυασσὸς, πόλις καρίας, ἀπὸ Κρυάσσου τοῦ κάρητος. ὁ πολίτης, κρυασσεύς.

Κρωβίαλος, πολίχνιον πρὸς τῇ ποντικῇ. ἀπολλώνιος τρίτῳ, Κρωβίαλον, κρῶμνάν τε, καὶ ὑλήεντα κύτωρον. οἱ οἰκοῦντες, κρωβιαλεῖς.

Κρῶμνα, πόλις παφλαγονίας, ἡ νῦν ἄμαστρις, ὡς εἴρηται. τινὲς δέ φασι χωρίον ἀμάστριδος. τὸ ἐθνικὸν, κρωμνίτης, καὶ κρωμναῖος, καὶ κρωμνεύς. ἔστι καὶ πελοποννήσου πόλις ἀρσενικῶς, καὶ θηλυκῶς, καὶ ἑνικῶς, καὶ πληθυντικῶς, ἀπὸ Κρώμνου τοῦ λυκάονος.

Κρωπία, δῆμος τῆς λεοντίδος φυλῆς. φρύνιχος δὲ κρωπιάδα φησίν. ἀνδροτίων δὲ κρωπὰς φησὶ τὸν δῆμον. ὁ δημότης, κρωπίδης. τὰ τοπικὰ, ἐκ κρωπιδῶν. καὶ κρωπίαθεν. κρωπίανδε. κρωπιᾶσι.

Κρῶς, πόλις αἰγύπτου. ἑκαταῖος περιηγήσει ἀσίας. ὁ πολίτης, κρωΐτης. καὶ νόμος κρωΐτης. ἔστι καὶ κρωῒς ἀράβων πόλις.

Τὸ κάππα μετὰ τοῦ ταῦ.

Κτημένη, πόλις θετταλίας, ὑπὸ Πηλέως φοίνικι δωρηθεῖσα. ἧς τοὺς πολίτας ὅμηρος δόλοπας φησὶν, ὡς σίντιας, τῆς λήμνου, καὶ τρῶας, τῆς ἰλίου, καὶ ζελείας. καὶ ἐπειοὺς, τῆς ἤλιδος. καὶ φαίακας, τῆς κερκύρας. καὶ ἄβαντας, τοὺς εὐβοέας. καὶ κτημένην δολοπιάδα. τὸ ἐθνικὸν, ὡς κλαζομένιος, κτημένιος, καὶ κτημεναῖος.

Κτησιφῶν, πόλις ἀσσυρίας. μαρκιανὸς ἐν περίπλῳ. τὸ ἐθνικὸν, κτησιφώντιος.

Τὸ κάππα μετὰ τοῦ υ. ψιλοῦ.

Κύαλος, πόλις λυδίας, κτισθεῖσα ἀπὸ διός. τὸ ἐθνικὸν, κυάλιος, ὡς φάρσαλος, φαρσάλιος.

Κύαρδα, πόλις καρίας, ἀπὸ Κυάρδου βασιλέως καρῶν, υἱοῦ Βαργάσου. τὸ ἐθνικὸν, κυαρδεὺς, ὡς λαρανδεύς.

Κύβασσος, πόλις καρίας, ὡς κάβασσος. τὸ ἐθνικὸν, κυβασσεὺς, ὡς ἁλικαρνασσεύς.

Κυβέλεια, πόλις ἰωνίας. ἑκαταῖος ἀσίᾳ. ἡρωδιανὸς δὲ κυβέλην φησὶ πόλιν φοίνικης. ἔστι καὶ κύβελλα φρυγίας. καὶ κύβελλον ἱερὸν, ἀφ' οὗ κυβέλη ἡ ῥέα λέγεται, καὶ κυβεληγενὴς, καὶ κυβελίς. πείσανδρος δεκάτῳ.

Κύβος, πόλις ἰώνων ἐν λιβύῃ φοινίκων. ἑκαταῖος περιηγήσει αὐτοῦ. Καὶ λιμὴν πρὸς ἄκρῃ καὶ κυβῷ. ὁ πολίτης, κυβίτης, ὡς σαβίτης, τῆς σαβοῦς, ἢ κυβοίτης, ὡς τῆς βουχοῦς, βουχίτης.

Κυδαθήναιον, ὁ δῆμος τῆς πανδιονίδος φυλῆς. ὁ δημότης, κυδαθηναιεύς. ἐντεῦθεν ἦν Νικοχάρης ὁ κωμικὸς, καὶ κύων κυδαθηναιεύς. τὰ τοπικὰ, ἐκ κυδαθηναίων. εἰς κυδαθηναίων. ἐν κυδαθηναίων.

Κυδαντίδαι, δῆμος τῆς αἰγηΐδος φυλῆς. ὡς δὲ φρύνιχος, πτολεμαΐδος. ὁ δημότης, κυδαντίδης. τὰ τοπικὰ, ἐκ κυδαντιδῶν. ἐς κυδαντιδῶν. ἐν κυδαντιδῶν.

Κύδνα, πόλις μακεδονίας. θεαγένης ἐν μακεδονικοῖς. ἡ κατὰ παραφθορὰν πύδνα λέγεται. τὸ ἐθνικὸν, πυδναῖος. ἔστι καὶ κύδνος ποταμὸς βιθυνίας.

Κύδραι, πόλις τῶν δω στράβων ζ.

Κύδραρα, πόλις. ἡρόδοτος ἑβδόμῃ. τὸ ἐθνικὸν, κυδραραῖος, ὡς μεγαραῖος. ἔστι δὲ πρὸς τὰ ὄρη φρυγῶν.

Κυδρώνη,

Κυδρήνη, πόλις ἀρμενίας, οὐχ ὡς τινὲς κύδρος. τὸ ἐθνικὸν, κυδρηναῖος.

Κυδωνία, πόλις κρήτης, ἡ πρότερον ἀπολλωνία. ἀπὸ κύδωνος τοῦ ἀπόλλωνος, καὶ ἀκακαλλίδος τῆς μίνωος θυγατρός. δευτέρα, σικελίας. τρίτη λιβύης. ὁ πολίτης, κυδωνιάτης, καὶ κύδων, καὶ κυδώνιος, καὶ κυδωναῖος, καὶ κυδωνὶς θηλυκῶς, καὶ κυδωνικὸς ἀνήρ.

Κύζικος, πόλις τῆς προποντίδος, κειμένη ἐν τῇ χερρονήσῳ. ἐκαλεῖτο δὲ καὶ ἄρκτων νῆσος. τὸ ἐθνικὸν, κυζικηνὸς, καὶ κυζικηνὶς ἡ ποίησις. ὅμηρος δὲ τοὺς κατοικοῦντας κύζικον δολίονάς φησιν, ὡς τοὺς τὴν ἴσμαρον, κίκονας. λέγεται καὶ κτητικὸν κυζικηνικός. κέχρηνται δὲ καὶ τῷ κυζικηνὸς ἁπλῶς ἀντὶ κτητικοῦ, ὡς τὸ τυρσηνοὶ, ἀντὶ τοῦ τυρρηνικοὶ, οἱ χαλεποὶ διὰ τὸ ληΐζεσθαι τοὺς τυρρηνούς.

Κύθηρα, νῆσος πόλιν ὁμώνυμον ἔχουσα πρὸς τῇ κρήτῃ, ἀπὸ κυθήρου τοῦ φοίνικος. ἐκαλεῖτο δὲ πορφυροῦσσα διὰ τὸ κάλλος τὸ περὶ τῶν πορφυρῶν, ὡς ἀριστοτέλης. οἱ οἰκήτορες, κυθήριοι, καὶ κυθηρία καὶ ἡ γυνὴ, καὶ ἡ νῆσος λέγεται κυθηραία.

Κύθηρος, δῆμος τῆς πανδιονίδος φυλῆς. ὁ δημότης, κυθήριος. τὰ τοπικὰ, κυθηρόθεν. κυθηρόνδε.

Κύθνος, νῆσος πρὸς τῇ δρυόπιδι τῶν κυκλάδων, ἀπὸ κύθνου κτίσαντος. ἐκαλεῖτο δὲ καὶ ὀφιοῦσσα, καὶ δρυοπίς. ὁ νησιώτης, κύθνιος. καὶ κύθνιος τυρὸς, καὶ κύθνιος ὁ ζωγράφος.

Κυκνῖτις, ἧς ὁ κύκνος ἐβασίλευσε. σοφοκλῆς ἐν πηλεῖ, καὶ σὺ ποιμέσι βοὴν κυκνῖτιν.

Κύλανδος, πόλις καρίας. ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, κυλανδεύς.

Κυλλήνη, ὄρος ἀρκαδίας σταδίων ἐννέα παρὰ πόδας ὀγδοήκοντα, ἀπὸ κυλλήνης ναΐδος νύμφης. ἐν τούτῳ δέ φασι τῷ ὄρει τοὺς κοσσύφους λευκοὺς γίγνεσθαι, ἄλλοθι δὲ μηδαμῆ, καὶ φωνὰς ποικίλας προΐεσθαι, θηρεύεσθαι δὲ πρὸς τὴν σελήνην. τὴν δὲ ἡμέραν εἴ τις ἐπιχειροίη, σφόδρα δυσθηράτους εἶναι. ἔστι δὲ καὶ ἠλείων ἐπίνειον κυλλήνη. τὸ ἐθνικὸν, κυλληνεὺς, καὶ κυλλήνιος, καὶ κύλλιος λέγεται δὲ ἑρμῆς κατὰ συγκοπὴν τοῦ κυλλήνιος.

Κύμη, πόλις αἰολίδος περὶ τῆς λέσβου, ἀπὸ κύμης ἀμαζόνος. ἐκαλεῖτο δὲ ἀμαζόνιον. τὸ ἐθνικὸν, κυμαῖος. ἐντεῦθεν ἦν ἔφορος ὁ ἱστορικὸς, καὶ ἡσίοδος. ἔστι δὲ καὶ ἑτέρα φρικωνῖτις λεγομένη. αὕτη δὲ καὶ ἡ λέσβος, σκώπτεται εἰς ἀναισθησίαν. ἔστι δὲ καὶ ἑτέρα ἰταλίας. ταύτης τὸ ἐθνικὸν, κυμεύς. τετάρτη, ἠλείας. πέμπτη, τῆς εὐβοίας, καὶ παμφυλίας. ἔστι καὶ νῆσος πλησίον σικελίας.

Κυναίθα, πόλις ἀρκαδίας, ἀπὸ κυναίθου ἑνὸς τῶν λυκάονος παίδων. τὸ ἐθνικὸν, κυναιθεὺς, καὶ κυναιθαιεὺς, καὶ κυναιθαεὺς, ἀπὸ τοῦ τετρασυλλάβου τοῦ κυναίθεια. ἔστι καὶ κύναιθα πόλις θρᾴκης ὑπὸ τῷ νηρίσσῳ ὄρει.

Κυνέτεια, πόλις ἄργους. καλλίμαχος δευτέρῳ. οἱ πολῖται, κυνετεῖς, καὶ κυνετιάται. οἱ τύποι γὰρ οὐκ ἀήθεις τῶν ἀργείων.

Κύνη, πόλις λυδίας. ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, κυνεὺς, καὶ κύνιος.

Κυνητικὸν, ἰβηρίας τόπος, πλησίον ὠκεανοῦ. ἡρόδωρος δεκάτῳ τῶν καθ᾽ ἡρακλέα. οἱ οἰκοῦντες, κύνητες, καὶ κυνήσιοι.

Κύνθος, παρ᾽ ἀντιμάχῳ ἐν πρώτῃ θηβαΐδος. ὁ οἰκήτωρ, κύνθιος. καὶ θηλυκῶς, καὶ οὐδετέρως. καὶ κυνθιώτης, καὶ κυνθιῶτις θηλυκῶς.

Κύννα, πολίχνιον πλησίον ἡρακλείας, ἀπὸ μιᾶς τῶν ἀμαζόνων, ἢ κύννου τοῦ ἀδελφοῦ κοίου. τὸ ἐθνικὸν, κυνναῖος.

Κύνος, ἐπίνειον ὀπουντίων, ὡς φίλων, καὶ παυσανίας. ἑκαταῖος δὲ πόλιν αὐτήν φησιν. ὅμηρος, οἳ κῦνόν τ᾽, ὀπόεντά τε, καλλίαρόν τε. οἱ οἰκοῦντες, κύνιοι, καὶ κυναῖοι.

Κυνόσαργες, γυμνάσιον ἐν τῇ ἀττικῇ, καὶ δῆμος, ἀπὸ διώμου, ἀφ᾽ οὗ ὁ χορὸς διώμεια καλεῖται. δίωμος γὰρ ἡρακλεῖ ὡς θεῷ θύων τὰ ἐκ νεωσσῶν ἱερὰ ἡρακλεῖ ἥρωϊ ἔδειξε. καὶ κύων λευκὸς ἁρπάσας τὰ μηρία, εἰς τὸ τοῦτο χωρίον ἤνεγκεν. ὁ δημότης, καὶ τὸ ἐκ τόπου, ἐκ κυνοσάργους. καὶ εἰς τόπον, ἐς κυνόσαργες. καὶ ἐν τόπῳ, ἐν κυνοσάργει.

Κυνὸς κεφαλαὶ, λόφος τῆς θετταλίας. πολύβιος ἐννεακαιδεκάτῳ. ἦν δὲ καὶ χωρίον θηβῶν, ἀφ᾽ οὗ πίνδαρος δαϊφάντου παῖς βοιώτιος ἐκ κυνὸς κεφαλῶν μελῶν ποιητής.

Κυνόσουρα, ἄκρα ἀρκαδίας, ἀπὸ κυνοσούρου τοῦ ἑρμοῦ. τὸ ἐθνικὸν, κυνοσουρεὺς, καὶ κυνοσουρὶς θηλυκόν.

Κυνόσημα, τόπος λιβύης. ἑκαταῖος περιηγήσει αὐτῆς. ἔστι καὶ ἄλλο χωρίον. τὸ ἐθνικὸν ἀπὸ τῆς γενικῆς, κυνοσηματεύς.

Κυνοῦρα, πόλις ἄργους, ἀπὸ κυνούρου παιδὸς περσέως. παυσανίας τρίτῳ. κυνουρεὺς τὸ ἐθνικὸν, καὶ κυνουρὶς θηλυκὸν, καὶ κυνούριος, καὶ κυνουρία. καὶ οὐδέτερον. καὶ κτητικὸν κυνουρικός.

Κυνῶν νῆσος, λιβυκὴ νῆσος. ἀλέξανδρος τρίτῳ λιβυκῶν. ὁ νησιώτης, κυνονησίτης.

Κυνῶν πόλις, αἰγυπτία πόλις. ὁ οἰκῶν, κυνοπολίτης. ἐν ᾗ πόλει ὁ ἄνουβις τιμᾶται.

Κύον, πόλις καρίας. ἀπολλώνιος τετάρτῃ καρικῶν. ἡ πρότερον κανήβιον. τὸ ἐθνικὸν, κυΐτης.

Κ ὕπαιθα, πόλις λιβύης· ὁ πολίτης, κυπαιθεύς.

Κ υπαρισσία, πόλις τῆς τριφυλλίας, ἥτις ἔραννα ἐκαλεῖτο. τὸ ἐθνικὸν, κυπαρισσεύς, καὶ κυπαρίσσεια ἡ ἀθηνᾶ.

Κ υπαρισσήεις, πόλις τῆς μεσσηνίας. ὅμηρος, καὶ κυπαρισσήεντα, καὶ ἀμφιγένειαν ἔναιον. τὸ ἐθνικὸν, κυπαρισσηέντιος.

Κ υπάρισσος, πόλις ἐν παρνασσῷ κατὰ τοὺς δελφοὺς, ἡ πρότερον ἔρανος. ὅμηρος, οἳ κυπάρισσον ἔχον, πυθῶνά τε πετρήεσσαν. ἀπὸ κυπαρίσσου τοῦ μινυοῦ. οἱ δὲ, ἀπὸ τοῦ πλήθους τῶν αὐτόθι κυπαρίσσων, ἣν κυπαρισσοῦντά τινες καὶ ἀπολλωνιάδα φασί. τὸ ἐθνικὸν, κυπαρισσεύς.

Κ ύπασις, πόλις περὶ ἑλλήσποντον. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, κυπασίτης.

Κ ύπη, σικελίας φρούριον. φίλιστος σικελικῶν ἐνάτῳ. τὸ ἐθνικὸν, κυπαῖος.

Κ ύπρος, νῆσος μεγάλη ἐν τῷ παμφυλίῳ κόλπῳ, ἀπὸ κύπρου τῆς θυγατρὸς κινύρου, ἢ ἀπὸ τοῦ φυομένου ἄνθους κύπρου. Ἀστύνομος δέ φησι κύπτον κεκλῆσθαι, διὰ τὸ κρύπτεσθαι πολλάκις ὑπὸ τῆς θαλάσσης. εἶτα κύπρος. ἐκαλεῖτο δὲ καὶ κεραστὶς, ἀπὸ τοῦ πολλὰ ἄκρα ἔχειν, καὶ κεραστιὰς, καὶ ἀμαθουσία, καὶ μηϊονὶς, καὶ σφήκεια, καὶ ἀκαμαντίς. τὸ ἐθνικὸν, κύπριος, καὶ κυπρία, καὶ κύπριον, καὶ κυπριακὸς, καὶ κυπριδὶς, καὶ κυπρίτης. ἔστι καὶ λιβυκὴ κύπρος. τὸ ἐθνικὸν, κυπρίτης.

Κ υραυνὶς, νῆσος κατὰ γύραντας τοὺς ἐν λιβύῃ. ἡρόδοτος τετάρτῃ. ὁ νησιώτης, κυραυνίτης.

Κ ύρβασα, ὡς πόδασα, μέδμασα, πόλις καρίας. ὁ πολίτης, κυρβασεύς.

Κ ύρβη, πόλις παμφυλίας. ἑκαταῖος ἀσίᾳ. ὁ πολίτης, κυρβαῖος.

Κ ύρη, νῆσος ἐν τῷ περσικῷ πόντῳ. ἑκαταῖος ἐν περιηγήσεως δευτέρῳ. ὁ νησιώτης, κυραῖος, ὡς ἀσκραῖος.

Κ υρήνη, πόλις λιβύης, ἀπὸ κυρήνης τῆς ὑψέως, ἢ κύρης πηγῆς ἐγχωρίας. ἔστι καὶ ἰβηρίας, καὶ μασσαλίας ἄλλη. τὸ ἐθνικὸν, κυρηναῖος. ἐντεῦθεν ἦν Ἐρατοσθένης Ἀγακλέους παῖς ὁ ἱστορικός. καὶ κυρηναεὺς, ὡς θηβαεὺς, καὶ κυρηνίτης.

Κ ύρης, κύρητος, πόλις, ὡς φάγρης, μένδης, ἀβδύμης. τὸ ἐθνικὸν, κυρήσιος.

Κ υρὶς, μητρόπολις σαβίνων. τὸ ἐθνικὸν, κυρίτης. τὸ κτητικὸν, κυρήτιος, καὶ κυρητία ἡ ἥρα.

Κ ύρνος, νῆσος πρόσβορρος ἰαπυγίας. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, κύρνιοι, καὶ κυρναῖοι. φασὶ δὲ τοὺς κυρναίους πολυχρονιωτάτους εἶναι. οἰκοῦσι γὰρ οὗτοι περὶ τὴν σαρδόνα, διὰ τὸ μέλιτι ἀεὶ χρῆσθαι. πλεῖστον δὲ τοῦτο γίγνεται παρ' αὐτοῖς.

Κ ύρου πόλις, ἣ καὶ κυρέσχατα καλεῖται, πόλις πρὸς τοῖς ἐσχάτοις περσίδος. ὁ πολίτης, καθ' ἡμᾶς κυροπολίτης, κατὰ δὲ πέρσας, κυρεσχατηνοὶ, ὡς ἀρραξηνοὶ, καὶ καμβυσηνοί.

Κ ύρρος, πόλις συρίας, ἡ ἀκρόπολις σίνδαρος. ὁ πολίτης, κυρρέστης, ὡς πολύβιος πέμπτῳ. καὶ κυρρέστις ἡ ἀθηνᾶ, καὶ ἡ χώρα κυρρεστική. στράβων ἑκκαιδεκάτῃ. δημήτριος δὲ ὁ ἀντιγόνου, τὸ κυρρέστης διὰ τοῦ η. φησί.

Κ υρταία, πόλις ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, εἰς ἣν ὑπερώρισεν Ἀρταξέρξης Μεγάβαζον. κτησίας τρίτῳ περσικῶν. τὸ ἐθνικὸν, ἐκ τῆς τέχνης κυρταιανὸς, ἐκ δὲ τῆς χώρας, κυρταιηνὸς, ὡς σοφηνὸς, καὶ ἀρραξηνός.

Κ ύρτος, πόλις αἰγύπτου ἐν τῷ μεσογείῳ. ἐκ ταύτης Διονύσιος ἦν διάσημος ἰατρὸς ἀπὸ τῆς πατρίδος, οὐκ ἀπὸ τοῦ σώματος κυρτὸς ὀνομαζόμενος, οὗ μέμνηται ἑρρένιος φίλων ἐν τῷ περὶ ἰατρικῶν. ὁ τόνος τοῦ μὲν ἐπιθετικοῦ ὀξὺς, ὁμόφωνος τῷ πάθει. τοῦ δὲ κυρίου τῆς πόλεως, βαρὺς, ὡς τὸ πόντος, καὶ κόντος.

Κ ύρτωνες, πόλις βοιωτίας. παυσανίας ἐνάτῳ. τὸ δὲ ἀρχαῖον πολισμάτιον, κυρτώνη. τὸ ἐθνικὸν, κυρτώνιος. τοῦ δὲ πολιχνίου, κυρτῶνες.

Κ υρτώνιος, πόλις ἰταλίας. πολύβιος τρίτῳ. τὸ ἐθνικὸν, τῷ τῆς χώρας ἔθει κυρτωνῖνος, ὡς ταρεντῖνος.

Κ ύτα, πόλις κολχικὴ, πατρὶς Μηδείας. ἔστι καὶ ἄλλη σκυθίας. ὁ πολίτης, κυταῖος, ἐξ οὗ καὶ κυταιεύς. πύργους εἰσόψεσθε κυταιέος αἰήταο. τὸ ἐθνικὸν, κυταιῒς, καὶ κυταία. λυκόφρων, ὃς εἰς κυταίαν τὴν λιβυστίνην μολών. οἱ λιβυστῖνοι γὰρ ἔθνος παρακείμενον κόλχοις. λέγεται καὶ κυταιῒς, ἀπὸ τοῦ κυταῖος. οἱ δὲ, ὅτι δύο εἰσὶ ταῦτα καὶ τῆς εὐρώπης. ἔστι καὶ κύταιον πόλις κρήτης.

Κ υτέριον, πόλις οἰνώτρων ἐν τῇ μεσογείᾳ. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, κυτεριώτης. δύναται καὶ τῷ τῆς χώρας ἔθει κυτερῖνος.

Κ ύτινα, πόλις θεσσαλίας, ὡς θέων ἐν ὑπομνήματι λυκόφρονος. ὁ πολίτης, κυτιναῖος. ἔστι καὶ κυτίνιον μία τῶν τριῶν τῶν δωρικῶν. τὸ ἐθνικὸν, κυτινιάτης.

Κ υτώνιον, πόλις μεταξὺ μυσίας, καὶ λυδίας. θεόπομπος ἑλληνικῶν ὀγδόῳ. τὸ ἐθνικὸν, ὅμοιον τῷ ἡγουμένῳ.

Κ ύτωρος, πόλις παφλαγονίας, ἀπὸ κυτώρου τοῦ φρίξου παιδός. τὸ ἐθνικὸν, κυτωριεύς. καὶ θηλυκὸν, κυτωριάς. λέγονται

καὶ κυτω

καὶ κυτωρίται, καὶ κυτώριος, καὶ κυτωρία θηλυκῶς.

K ύφος, πόλις περραιβίας. γουνεὺς δ' ἐκ κύφου ἦγε δύω καὶ εἴκοσι νῆας. ἀπὸ κύφου τοῦ παιδὸς περραιβοῦ. δύο δ' εἰσὶ κύφοι, ἡ μὲν, περραιβίας, ἡ δὲ, θετταλίας. καὶ ποταμὸς κύφος. ὁ πολίτης, κυφαῖος. λυκόφρων ἐν δεκάτῳ, κυφαίη δύσμορον στρατηλάτην.

K υχρεῖος πάγος, περὶ σαλαμῖνα. σοφοκλῆς τεύκρῳ, ἀπὸ κυχρέως τοῦ σαλαμῖνος, καὶ ποσειδῶνος, ὃς ὄφις ἐπεκλήθη διὰ τὴν τραχύτητα τῶν τρόπων, ὃν λυμαινόμενον τὴν νῆσον, ἀπήλασεν εὐρύλοχος. ἐδέξατο δ' ἐν ἐλευσῖνι δημήτηρ, καὶ ἀμφίπολον ἐποίησεν. ἀπ' αὐτοῦ δὲ καὶ ἡ σαλαμὶς κυχρεία ἐκλήθη, ὡς στράβων. τὸ ἐθνικὸν, κυχρεοπαγίτης.

K ύψελα, φρούριον τετειχισμένον ἐν ἀρκαδίᾳ ὑπὸ μαντινέων. θουκυδίδης πέμπτῃ. ἔστι καὶ κύψελα πόλις θρᾴκης, πλησίον τοῦ ἕβρου ποταμοῦ. τὸ ἐθνικὸν, κυψελῖνος, ἢ κυψεληνός.

τὸ κάππα μετὰ τοῦ . ω . μεγάλου.

K ώβρυς, πόλις θρᾴκης. θεόπομπος φιλιππικῶν ἐνάτῳ. τὸ ἐθνικὸν, κωβρύτης, ὡς αἴγυς, αἰγύτης.

K ώθων, νῆσος, οὐ πόρρω κυθήρων. ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ἕνδεκα. τὸ ἐθνικὸν, κωθώνιος, ὡς σιδώνιος.

K ωλιὰς, ἄκρα, ἤτοι φαληρικὴ ἀκτὴ, ὅπου καὶ ἀφροδίτη κωλιάς. ἔστι δὲ καὶ τόπος ἐγκείμενος, ὅμοιος ἀνθρώπου κώλῳ. τὰ τοπικὰ, κωλιάθεν, καὶ κωλιοῖ, ἐν τόπῳ, καὶ κωλιάδε. τὸ ἐθνικὸν, κωλιεύς. ὅθεν καὶ τὸ κωλιὰς, καὶ κώλιον οὐδέτερον, καὶ κώλιοι, ὡς σούνιοι.

K ῶλοι, ἔθνος πρὸς τῷ καυκάσῳ. ἑκαταῖος ἀσίᾳ. αἱ δὲ ὑπώρειαι τοῦ καυκάσου καλοῦνται κωλικὰ ὄρη. ἡ χώρα, κωλική.

K ώμη, ἐν ταῖς μακραῖς ὁδοῖς μέσα χωρία ἔκτιζον πρὸς τὸ κοιμᾶσθαι νυκτὸς ἐπιγιγνομένης. ὅθεν καὶ ἐπικέκληται, ὡς φιλόξενος. ὁ οἰκήτωρ, ἐγκώμιος. ἡσίοδος, εἰ γάρ τοι καὶ χρῆμα ἐγκώμιον ἄλλο γένοιτο. καὶ κωμαῖος, καὶ κωμίτης ἀρσενικῶς, καὶ θηλυκῶς διὰ τοῦ . ι . καὶ ὁ δῆμος, κώμη. εἴρηται ἀπὸ τοῦ ἐν αὐταῖς κοιμᾶσθαί τε, καὶ αὐλίζεσθαι. λέγεται καὶ κωμήτωρ.

K ωνώπη, πόλις ἀκαρνανίας. πολύβιος πέμπτῳ. τὸ ἐθνικὸν, κωνωπεύς, καὶ κωνωπίτης, καὶ κωνωπαῖος. ἔστι καὶ κωνώπιον τῆς μαιώτιδος λίμνης, ὅπου φασὶ τοὺς λύκους παρὰ τῶν ἁλιέων λαμβάνοντας τροφὴν φυλάττειν τὴν θήραν. ἐὰν δὲ ὑπολάβωσιν ἀδικεῖσθαι, λυμαίνεσθαι καὶ τὰ λίνα, καὶ τὰς ἰχθύας αὐτῶν. τὸ ἐθνικὸν, κωνώπιος, καὶ κωνωπιεύς.

K ῶπαι, πόλις βοιωτιακή. ὅμηρος, κώπας, εὔτρησίν τε. ἀπὸ κώπεως τοῦ ἀπαταλέως, τοῦ ὀγχιστοῦ, τοῦ ποσειδῶνος. ὁ πολίτης, κωπαΐτης, ὡς ἐπαφρόδιτος. ἔστι δὲ ἀπὸ τοῦ κωπαῖος, ὡς ἀθηναῖος, ἀθηναΐτης. λέγεται δὲ καὶ κωπαία λίμνη, καὶ κωπαεύς. καὶ ἡ λίμνη κωπαΐς, ἣ ἐλέγετο λευκωνίς.

K ώρυκος, πόλις κιλικίας. παρθένιος προπεμπτικῷ. παρ' ἣν τὸ κωρύκειον ἄντρον νυμφῶν, ἀξιάγαστον θαῦμα, ᾧ ὁμώνυμον ἐν παρνασσῷ. τὸ ἐθνικὸν, κωρύκιος. ἐκεῖ δὲ τὴν πόλιν κωρύκειαν φασί. λέγεται καὶ κωρυκιώτης. καὶ ἴσως παρὰ τὸ κωρύκιον, ἢ ἀπὸ τοῦ κωρυκία. ἔστι καὶ κώρυκος ὄρος ἀρσενικῶς λεγόμενον, ὑψηλὸν, πλησίον τέω τῆς ἰωνίας, καὶ ἐρυθρὸν, ὡς ἑκαταῖος ἀσίᾳ. καὶ λιμὴν ὁμώνυμος, καὶ νησίον ὁμώνυμον, οὗ κατὰ τὸν παράπλουν λῃστήριόν τι μέγα τῶν κωρυκαίων, ὠτακουστοῦντα ἐν τοῖς αὐτόθι λιμέσι τοὺς φόρτους, καὶ τοὺς πλοῦς τῶν ἐμπόρων, καὶ οὕτως αὐτοῖς ἐπιβουλευόντων. ὅθεν ἡ παροιμία ἐπὶ τῶν περιεργαζομένων τὰ ἀπόρρητα, τοῦ δ' ἄρα ὁ κωρυκαῖος ἠκροάζετο. καὶ ἀκρωτήριον κρήτης κωρυκίη, καὶ λιμὴν αἰθιοπίας.

K ῶς, τὸ ὄρυγμα τὸ ἐν κορίνθῳ, οὗ κατεῖργνυον τοὺς φῶρας καὶ τοὺς δραπέτας. λέγεται καὶ κῶος. κῶοι δὲ οἱ ἐν ταύτῃ ἀνατραφέντες. κώους γὰρ τὰ κοιλώματα τῆς γῆς, καὶ πάντα τὰ σπήλαια ἔλεγον.

K ῶς, πόλις, καὶ νῆσος. καὶ ὅμηρος, καὶ κῶν εὐρύπυλον. ἡ μέροπος ἐκαλεῖτο, ἀπὸ γηγενοῦς μέροπος. κῶς δὲ, ἀπὸ κῶ τῆς μέροπος θυγατρός. ἐκαλεῖτο δὲ καὶ καρία. λέγεται καὶ κόως διὰ δύο . ο . καὶ κόως. ἀφ' οὗ τὸ παρ' ὁμήρῳ τοπικὸν, καί μιν ἔπειτα κόωνδ' εὖ ναιομένην ἀπένεικας. λέγεται καὶ κόος διὰ δύο . ο . ἔοικεν οὖν τὸ πρωτότυπον κέως. οὕτω γὰρ καὶ ὁ κτίστης τῆς κέω. τὸ ἐθνικὸν, κεῖος. καὶ ἐκτάσει, κήϊος, ὡς τῆς τέω, τέϊος, καὶ τήϊος. καὶ κεῖος διὰ διφθόγγου. τῆς δὲ κῶ μονοσυλλάβου, κῶος, καὶ κώϊος, ὡς μινῶος. οὕτω δὲ ἐχρημάτιζον ἱπποκράτης, καὶ ἐρασίστρατος ἰατροί. ἦν δὲ ἱπποκράτης τῶν καλουμένων νεβριδῶν. νεβρὸς γὰρ ἐγένετο ὁ διασημότατος τῶν ἀσκληπιαδῶν, ᾧ καὶ ἡ πυθία ἐμαρτύρησεν. οὗ, γνωσίδικος. γνωσιδίκου, ἱπποκράτης, καὶ αἴνειος, καὶ ποδαλείριος. ἱπποκράτους, ἡρακλείδης. οὗ, ἱπποκράτης ὁ ἐπιφανέστατος, ὁ καὶ θαυμαστὴν σύνταξιν καταλελοιπώς. ἔστι καὶ ἐν αἰγύπτῳ πόλις κῶς.

Κ ωνστάντεια, ἡ ἐν κύπρῳ σαλαμίς· γίνεται ἀπὸ τῆς κώνσταντος γενικῆς, ὡς μαρώνεια, ἀπὸ τοῦ μάρωνος, καὶ καύκωνος, καυκώνεια. ἔστι καὶ βρεττανίας ἄλλη, ὡς διονύσιος ἐν ἑνδεκάτῳ ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν, κωνσταντιάτης. εὕρηται καὶ διὰ τοῦ ι.

Κ ωνσταντίνου πόλις, δύο μέρη λόγου. καὶ ἐξ αὐτῶν ἓν, κωνσταντινουπολίτης, ὡς εἴρηται ἐν τῷ περὶ βυζαντίου.

## ΑΡΧΗ ΤΟΥ ΛΑΜΒΔΑ ΣΤΟΙΧΕΙΟΥ·

### Τὸ λάμβδα μετὰ τοῦ ἄλφα.

Λ Α, πόλις λακωνική. λυκόφρων, καὶ λᾶν πορθήσειας. ταύτην ἑλόντες οἱ διόσκουροι, λαπέρσαι ἐκλήθησαν. λέγεται καὶ ἀρσενικῶς. ταύτην διαλύσας ὅμηρός φησιν, οἵ τε λάαν εἶχον, οἵ τ' οἴτυλον. κεῖται δὲ ἐπὶ πέτρας ὑψηλῆς, διὸ λᾶ καλεῖται. οἱ κατοικοῦντες, λαοί.

Λ άβαι, πόλις, ὡς στέφανος χαττηνίας πόλις. πολύβιος τεσσαρεσκαιδεκάτῳ. τὸ ἐθνικὸν, λαβαῖος, ὡς σεβαῖος. τῆς αὐτῆς χώρας ἀμφότερα. ἡ γὰρ χαττηνία, τῶν γερραίων ἐστὶ χώρα.

Λ άβαρα, πόλις καρίας. ἀλέξανδρος δευτέρῳ περὶ καρίας. τὸ ἐθνικὸν, λαβαρεὺς, ὡς πατρεύς.

Λ άβδαλον, ἄκρον τῶν ἐπιπολαίων, συρακουσίων πλησίον. θουκυδίδης ἕκτῃ.

Λ αβίνιον, πόλις ἰταλίας, αἰνείου κτίσμα. ἰόβας ἐν πρώτῳ. ἀπὸ τῆς τοῦ βασιλέως θυγατρὸς λαβινίας. τὸ ἐθνικὸν, λαβινιάτης. λέγονται καὶ λαβινιᾶται.

Λ άβρανδα, κώμη καρίας. στράβων τεσσαρεσκαιδεκάτῃ. τὸ ἐθνικὸν, λαβρανδηνὸς, καὶ λαβράνδιος, καὶ λαβρανδεύς.

Λ αγαρία, φρούριον σικελίας, πλησίον θουρίων τοῦ ἐπειοῦ, καὶ φωκέων κτίσμα, ὡς στράβων. ὁ πολίτης, λαγαριτανός. ὅθεν καὶ λαγαριτανὸς οἶνος.

Λ αγινία, πολίχνιον καρίας. ἀπολλόδωρος καρικῶν ἑνδεκάτῳ. τὸ ἐθνικὸν, λαγιναῖος, καὶ λαγινίτης, καὶ λαγινῖτις. ἔστι καὶ λαγίνεια βιθυνίας.

Λ άγουσα, νῆσος περὶ κρήτην. στράβων δεκάτῃ. τὸ ἐθνικὸν, λαγουσαῖος, ἢ λαγούσιος.

Λ άδεστα, ἢ λάδεστον, μία τῶν λιβυρνίδων νήσων. θεόπομπος κα. φιλιππικῶν. τὸ ἐθνικὸν, λαδεστανὸς, ὡς τὸ αὐγούστας, αὐγουστανός.

Λ αδεψοὶ, καὶ ζανιψοὶ, ἔθνη βιθυνῶν. θεόπομπος ὀγδόῳ ἑλληνικῶν.

Λ άδη, νῆσος αἰολίδος. ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, λαδαῖος.

Λ αδισεκίτης, κόλπος ἐν τῇ περσικῇ θαλάσσῃ. μαρκιανὸς ἐν περίπλῳ αὐτῆς.

Λ άεια, πόλις καρίας. ἑκαταῖος ἀσίᾳ. ὁ πολίτης, λαεάτης, ὡς παυσανίας πέμπτῳ.

Λ αέρτης, κιλικίας χωρίον. στράβων. ιδ. ἀλέξανδρος δὲ, καὶ ὄρος καὶ πόλιν φησί. τὸ ἐθνικὸν, λαερτῖνος. ἄμεινον δὲ λαέρτιος.

Λ αζοὶ, σκυθῶν ἔθνος. ἔστι καὶ λαιὰ λαζική, ὡς ἀρριανός.

Λ αῖνοι, ἔθνος παιονικόν. θουκυδίδης δευτέρᾳ.

Λ αιστρυγόνες, πρῶτοι μετὰ κυκλώπων ᾤκησαν σικελίαν. θουκυδίδης ς. λέγεται καὶ λαιστρυγονὶς, καὶ λαιστρυγόνιος οὐδετέρως, καὶ θηλυκῶς.

Λ ακεδαίμων, πόλις ἐνδοξοτάτη τῶν ἐν πελοποννήσῳ. ἡ σπάρτη πρότερον, ἀπὸ σπάρτου τοῦ ἀμύκλαντος, τοῦ λέλεγος τοῦ σπαρτοῦ. ἢ διὰ τὸ τοὺς πρώτους συνοικίσαντας τὴν πόλιν λέλεγας διεσπαρμένους εἰς ταυτὸν συνελθεῖν, καὶ μίαν οἴκησιν ποιήσασθαι. λακεδαίμονα δὲ, οἱ μὲν, ἀπὸ λακεδαίμονος. ἢ ὅτι μετὰ τὴν τῶν ἡρακλείων κάθοδον συντιθεμένων κλήρῳ διανείμασθαι τὴν χώραν, καὶ τὸν λαχόντα πρώτην ταύτην λαβεῖν, καὶ λαχεδαίμονα κληθῆναι. ἔστι καὶ ἑτέρα λακεδαίμων κύπρου μεσόγειος. ὁ πολίτης, λακεδαιμόνιος. καὶ κτητικὸν, λακεδαιμονικός. λέγεται καὶ κατὰ συγκοπὴν λάκων, ὡς ἀπολλόδωρός φησιν, ὡς τοῦ κυδωνιάτου, τὸ κύδωνος. ἔοικε δὲ πρωτότυπον εἶναι, καὶ οὐ συγκοπή. τινὲς δὲ τὸ λάκων ὑποκοριστικῶς φασιν. οὗ τὸ θηλυκὸν, λάκαινα. καὶ κτητικὸν, λακωνικὸς, καὶ λακωνικὴ τὸ θηλυκὸν, εἶδος ὑποδήματος. ἔστι καὶ ὄρχησις λακωνική, ὡς ἐν τῷ περὶ μαντινείας εἴρηται. εἰσὶ καὶ μάστιγες λακωνικαί. ἔστι καὶ εἶδος κλειδὸς λακωνικῆς. καὶ οὐδέτερον τὸ λακωνικὸν σιδήριον. στομωμάτων γὰρ τὸ μὲν, χαλυβδικὸν, τὸ δὲ, σινωπικὸν, τὸ δὲ, λύδιον, τὸ δὲ, λακωνικόν. καὶ ὅτι σινωπικὸν καὶ χαλυβδικὸν εἰς τὰ τεκτονικά. τὸ δὲ λακωνικὸν, εἰς ῥίνας, καὶ σιδηροτρύπανα, καὶ χαρακτῆρας, καὶ εἰς τὰ λιθουργικά. τὸ δὲ λύδιον, καὶ αὖ τὸ εἰς ῥίνας, καὶ μαχαίρας, καὶ ξυρία, καὶ ξυστῆρας, ὡς φησι δαΐμαχος ἐν πολιορκητικοῖς ὑπομνήμασι. λέγεται καὶ λακωνίζω, καὶ λακωνιστής. λέγεται καὶ λακεδαιμονιάζω, ὡς ἀριστοφάνης βαβυλωνίοις. λέγεται καὶ λακεδαιμονάδε ἐπίρρημα.

Λ ακέρεια, πόλις μαγνησίας. ἑλλάνικος δευκαλιωνείας πρώτῳ. ἔστι καὶ τῆς ἰταλίας ἄλλη. τὸ ἐθνικὸν, λακερειεὺς, καὶ λακέρεια τὸ θηλυκὸν ὁμοφώνως τῷ πρωτοτύπῳ.

Λ ακιάδαι, δῆμος τῆς οἰνηΐδος φυλῆς. ὁ δημότης, λακιάδης ἀναγράφεται. ὁ δῆμος, λακία. καὶ ὁ δημότης, λακιεύς. τὰ τοπικὰ, ἐκ τῆς γενικῆς τῶν πληθυντικῶν μετὰ τῶν προθέσεων.

Λ ακίνιον, ὄρος κρότωνος. λυκόφρων, καὶ λακινίους μυχούς. τὸ ἐθνικὸν, λακίνιος. καὶ τὸ κύριον τοῦ ἥρωος,

τοῦ ἥρωος, ἀφ' οὗ τὸ ὄρος. τὸ θηλυκὸν, λακινιάς. καὶ ἡ χώρα λακινία, ὡς κυδωνία. καὶ τὸ ἐθνικὸν, λακινιάτης.

Λ άκμων, ἄκρα τοῦ πίνδου ὄρους, ἐξ ἧς ὁ ἴναχος καὶ αἴας ῥεῖ ποταμὸς, ὡς ἑκαταῖος ἐν πρώτῳ. ἔστι δὲ παρώνυμον, ὡς ἀπὸ τοῦ λάκμωνος. τὸ τοπικὸν, λακμώνιος.

Λ αλίσανδα, πόλις ἰσαυρική, ὡς καπίτων ἰσαυρικῶν πρώτῳ. τὸ ἐθνικὸν, λαλισανδεύς. οἱ νῦν δὲ, δαλίσανδα ταύτην φασὶ, καὶ δαλισανδεώτας.

Λ άμια, πόλις θετταλίας τῶν μηλιέων. πολύβιος. οἱ μὲν, ἀπὸ λαμίου τοῦ ἡρακλέους φασίν. οἱ δὲ, ἀπὸ λαμίας γυναικὸς, ἣ ἐβασίλευσε τραχινίων. ἐν ᾗ καὶ λαμικὸς πόλεμος. ἔστι καὶ ἄλλη κιλικίας. τὸ ἐθνικὸν, λαμιεῖς, καὶ λαμιῶται.

Λ αμητῖνοι, πόλις, ἀπὸ λαμήτου ποταμοῦ πρὸς κρότωνι. ἑκαταῖος εὐρώπῃ. ἐκ δὲ λάμητος ποταμοῦ, λαμητῖνοι. ὁ πολίτης, λαμητῖνος.

Λ άμος, ποταμὸς κιλικίας. καὶ ἡ παρ' αὐτὸν χώρα λαμουσία, ὡς ἀλέξανδρος ὁ πολυΐστωρ ἐν πρώτῳ λυκιακῶν. τὸ ἐθνικὸν, λαμούσιος.

Λ άμεια, ὄρος ἀρκαδίας. παρθένιος αὐθίππῃ. τὸ ἐθνικὸν, δύναται καὶ λαμεάτης διὰ τοῦ ι.

Λ αμπέτεια, πόλις βρεττίας. πολύβιος τεσσαρεσκαιδεκάτῳ. τὸ ἐθνικὸν, λαμπετειάτης, ἢ λαμπετειανὸς τῷ ἐπιχωρίῳ τύπῳ. λαμπετῖνος γὰρ οὐ δύναται εἶναι διὰ τὴν παράληξιν τῆς διφθόγγου.

Λ αμπέτειον, σῆμα ἐν λέσβῳ, ἀπὸ λαμπετοῦ τοῦ ἴρου.

Λ άμπη, πόλις κρήτης, ἀγαμέμνονος κτίσμα, ἀπὸ λάμπου τοῦ ταρραίου. τὸ ἐθνικὸν, λαμπαῖος. κλαύδιος δὲ ἰούλιος λαμπέας αὐτούς φησιν. ἔστι καὶ δευτέρα τῆς ἀκαρνανίας, καὶ τρίτη, τῆς ἀργολίδος, ὡς φίλων. ξενίων δὲ ἐν κρήτῃ διὰ δύο ππ. γράφει τὴν πόλιν τὴν κρητικὴν, καὶ διὰ δύο λλ, καὶ διὰ τοῦ η.

Λ αμπώνεια, πόλις τρωάδος. ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, λαμπωνεύς. ἑλλάνικος δὲ λαμπώνιον αὐτήν φησι. καὶ τὸ ἐθνικὸν, λαμπωνιεύς.

Λ άμυρα, πόλις λυκίας, καὶ ποταμὸς λάμυρα, ἀπὸ θαλάσσης ὑπὲρ μετεώρου λόφου. ὁ πολίτης, λαμυρεύς.

Λ άμψακος, πόλις κατὰ τὴν προποντίδα, ἀπὸ λαμψάκης ἐπιχωρίας τινὸς κόρης. ἔστι καὶ φωκαέων κτίσμα, πάλαι πιτύουσα λεγομένη, ὡς δηΐοχος ὁ κυζικηνός. ἐπαφρόδιτος δὲ πιτύειαν ὑφ' ὁμήρου ταύτην κληθῆναι, διὰ τῶν πιτύων ἔχειν πλῆθος, λαομεδοντίαν καλουμένην. ἔστι δ' εὔοινος. ὅθεν θεμιστοκλεῖ παρὰ τοῦ τῶν περσῶν ἐδόθη βασιλέως εἰς εὔνοιαν. δημοσθένης δὲ διὰ τὸ εὔοινον καὶ πριάπου κτίσμα ταύτην φησὶ, τοῦ υἱοῦ ἀφροδίτης, καὶ διονύσου. τὸ ἐθνικὸν, λαμψακηνός.

Λ άμψος, μοῖρα τῆς κλαζομενῶν χώρας, ἀπὸ λάμψου παιδὸς καλλισθένους, ὡς ἔφορος τρίτῳ. τὸ ἐθνικὸν, λάμψιος, ὡς θάψιος, σάμιος, κίψιος.

Λ αοδαμάντεια, νῆσος ἐν λιβύῃ. ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ἐνδεκα. ἐκαλεῖτο δὲ λαομεδόντεια. ἴσως ἀπὸ λαομέδοντος τοῦ τρωός. τὰ ἐθνικὰ ἀμφότερα, λαομεδοντίτης, καὶ λαοδαμαντίτης.

Λ αοδίκεια, πόλις τῆς συρίας, ἡ πρότερον λευκὴ ἀκτὴ λεγομένη, καὶ πρὸ τούτου ῥάμιθα. κεραυνωθεὶς γάρ τις ποιμὴν, ἔλεγε ῥαμανθας, τουτέστιν, ἀφ' ὕψους ὁ θεός. ῥάμαν γὰρ τὸ ὕψος, ἄθας δὲ ὁ θεός. οὕτω φίλων. λέγεται δὲ ἀπὸ λαοδίκης τῆς μητρὸς σελεύκου τοῦ νικάτορος. ἔστι δ' εὐοινοτάτη, καὶ πάσης εὐκαρπίας ἀνάμεστος. ἔστι δὲ καὶ ἑτέρα λυδίας, ἀντιόχου κτίσμα τοῦ παιδὸς τῆς στρατονίκης. τῇ γὰρ γυναικὶ αὐτοῦ ὄνομα λαοδίκη, διὸ μετώνυμα δι' ἑρμοῦ, ὄναρ διὰ χρησμοῦ ἀπόλλωνος. ἀντιόχῳ βασιλεῖ τάδε χρᾷ φοῖβος ἀπόλλων, κτιζέμεναι πτολίεθρον ἀγακλεὲς ὥς ἐκέλευσε ζεὺς ὑψιβρεμέτης πέμψας ἑρμείου ἑρμῆν. ἔστι δὲ καὶ ἄλλη λυκαονίας, καὶ μηδίας ἑτέρα.

Λ αὸς, πόλις λευκανίας. ἀπολλόδωρος ἐν τῷ περὶ γῆς δευτέρῳ, ἀπὸ λαοῦ ποταμοῦ. τὸ ἐθνικὸν, λαῖνος, ὡς ῥηγῖνος.

Λ αούντιον, μητρόπολις τῶν λατίνων. διονύσιος ε. ῥωμαϊκῆς ἱστορίας. τὸ ἐθνικὸν, λαουντῖνος.

Λ απέρσαι θηλυκῶς, ὄρος λακωνικῆς, οὗ μέμνηται ῥιανὸς ἐν ἠλιακῶν πρώτῳ, ἀπὸ τῶν λαπερσῶν διοσκούρων. τὸ ἐθνικὸν, λαπερσαῖος.

Λ άπηθος, πόλις κύπρου, ἔφορμον ἔχουσα, καὶ νεώρια. ἀλέξανδρος ἐφέσιος, βῆλος δ' αὖ κτίζοντι καὶ ἱμερόεσσαν λάπηθον. τὸ ἐθνικὸν, λαπήθιος, καὶ λαπηθεύς.

Λ απίθη, πόλις θετταλίας, ὡς ἐπαφρόδιτος ἐν τοῖς ὁμηρικοῖς, ἀπὸ λαπίθου τοῦ περιφάντος. οἱ οἰκήτορες, λαπίθαι. οὐκ ἀπὸ τῆς πόλεως, ἀλλ' ἀπὸ τοῦ ἔθνους, ὡς πισίδαι, καὶ ἴωνες, καὶ θετταλοί. λαπίθαι γὰρ ἔθνος θετταλίας. ἔστι καὶ λαπίθαι ὄνομα ὄρους τῆς λα

Λ άρανδα, πόλις λυκαονίας. ὁ ( κωνικῆς. πολίτης, λαρανδεύς. χάραξ τρίτῳ χρονικῶν. τὸ θηλυκὸν, λαρανδίς.

Λ άρινα, πόλις λαβινίων. τὸ ἐθνικὸν, λαριναῖος, ὡς τέρινα, τεριναῖος.

Λ άρισσα, πόλις τρίτη θετταλίας, ἡ πρὸς τῷ πηνειῷ, ἣν ἀκρίσιος ἔκτισε. δευτέρα, ἡ κρεμαστή. ὑπό τινων δὲ, πελασγία. τρίτη, ἐν τῇ ὄσσῃ χωρίον. τετάρτη, τῆς τρωάδος, ἥν φησιν ὅμηρος, τῶν οἱ λάρισσαν ἐριβώλακα. πέμπτη,

αὐλίδος, περὶ κύμην τὴν νίδα. ἕκτη, συρίας, ἣν σύροι σίζαρα καλοῦσιν. ἑβδόμη, λυδίας. ὀγδόη, θεσσαλίας, πρὸς τῇ μακεδονίᾳ. ἐννάτη, κρήτης. καὶ ἐν τῇ ἀττικῇ ἔστι λάρισσα. καὶ ἡ ἀκρόπολις τοῦ ἄργους, λάρισσα. καὶ ὁ πολίτης, λαρισσαῖος, καὶ λαρισσεὺς ζδύσ. στράβων δὲ κώμην φησὶν ἐφέσου, ἐν ᾗ ἀπόλλων λαρισσηνός.

## τὸ λάμβδα μετὰ τοῦ ἦτα.

Λῆμνος, νῆσος πρὸς τῇ θρᾴκῃ, δύο πόλεις ἔχουσα, ἡφαιστίαν, καὶ μύριναν, ὡς ἑκαταῖος εὐρώπῃ. ἀπὸ τῆς μεγάλης λεγομένης θεοῦ, ἣν λῆμνόν φασι. ταύτῃ δὲ καὶ παρθένους ἔθυον. ᾠκίσθη δὲ πρῶτον ὑπὸ θρᾳκῶν, οἳ σίντιες ἐκαλοῦντο, ὡς στράβων. οἱ δ' αὐτοὶ οὗτοι καὶ σαΐοι. ὁ οἰκήτωρ, λήμνιος, καὶ λημνιὸς κτητικόν.

Λήναιος, ἀγὼν διονύσου ἐν ἀγροῖς, ἀπὸ τῆς ληνοῦ. ἀπολλόδωρος ἐν τρίτῳ χρονικῶν. καὶ ληναϊκὸς, καὶ ληναιεύς. ἔστι δὲ καὶ δῆμος.

Λῆνος, χώρα τῆς πισάων. ὁ πολίτης, ληναῖος. φλέγων τεσσαρακοστῇ ὀγδόῃ ὀλυμπιάδι.

Λητὴ, πόλις μακεδονίας, ἀπὸ τοῦ πλησίον ἱδρυμένου λητοῦς ἱεροῦ, ὡς θεαγένης μακεδονικοῖς. τὸ ἐθνικὸν, λητaῖος. οὕτω γὰρ ἱστορεῖται νίκαρχος λητaῖος τῶν ἀλεξάνδρῳ τῷ μεγάλῳ συστρατευσαμένων ὁ διασημότατος.

Λητοῦς πόλις, πόλις αἰγύπτου. ἔστι δὲ μοῖρα μέμφιδος, καθ' ἣν αἱ πυραμίδες λητοῦς ἱερόν. ἀλέξανδρος τρίτῳ περὶ αἰγύπτου. τὸ ἐθνικὸν, λητοπολίτης. οὕτω γὰρ πολύστρατος, καὶ ἀπολλώνιος ὁ ἀρχιφέως λεγόμενος ἀναγράφεται.

Λητωΐδης, δῆμος ἐν ἀλεξανδρείᾳ, ὡς τρύφων ἐν τῷ περὶ παρωνύμων, ὅτι παρὰ τὸ λητῶ κτητικὸν σχηματίζεται.

Λητήμανδος, πολίχνιον καρίας. τὸ ἐθνικὸν, λητημανδεύς. κρατερὸς ἐννάτῳ περὶ ψηφισμάτων.

## τὸ λάμβδα μετὰ τοῦ ἰῶτα.

Λιβανὰ, πόλις συρίας, ταῖς ἄραις γειτνιάζουσα. ἀρριανὸς παρθικῶν ἐννάτῳ. ἔστι καὶ λίβανος ὄρος τῆς συρίας. τὸ ἐθνικὸν, λιβανίτης.

Λιβύη, χώρα πολυώνυμος, ὡς πολυΐστωρ. γῆ ὀλυμπία, ὠκεανία, ἐσχατιὰ, κορυφὴ, ἑσπερία, ὀρτυγία, ἀμμωνὶς, αἰθιοπία, κυρήνη, ὀφιοῦσα, λιβύη, κηφηνία, ἀερία. τὸ ἐθνικὸν, λίβυσσα.

Λιβυρνοὶ, ἔθνος προσεχὲς τῷ ἐνδοτέρῳ μέρει τοῦ ἀδριακοῦ κόλπου. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, λιβυρνὶς, καὶ λιβυρναῖοι. ὠνομάσθησαν δὲ ἀπό τινος λιβυρνοῦ ἀττικοῦ. εὕρηνται τὰ λιβυρνικὰ σκάφη. καὶ λιβυρνικὴ μανδύη, εἶδος ἐσθῆτος.

Λίβυς, κύριον. κλίνεται λίβυος. ἀφ' οὗ λιβύη. τὸ ἐθνικὸν, λίβυς, λίβυσσα. λίβυ. λιβυκός. λιβυκή. καὶ λιβύστιον, ὡς ἀπὸ τοῦ λίβυσος τοῦ ἀπὸ τοῦ λίβυος ὄντος κατὰ πλεονασμόν. καὶ λιβυστικόν. καὶ λιβυστῖνος, καὶ λιβυστίνη. καὶ λιβυστιὰς, καὶ λιβυστὶς, καὶ λιβυσσαία, ἀπὸ τοῦ λίβυσσα. καὶ κτητικὸν, λιβυστικὰς πλάκας, λυκόφρων. οἱ τινὲς δὲ διὰ τοῦ γ. γράφουσι, κακῶς.

Λίβυσσα, φρούριον βιθυνίας ἐπιθαλάσσιον, ὡς πολυΐστωρ ἀλέξανδρος. τὸ ἐθνικὸν, λίβυς.

Λιβυστῖνοι, ἔθνος παρακείμενον κόλχοις. σαΐοις, ὡς διόφαντος ἐν πολιτικοῖς. οὗ θηλυκὸν λιβυστίνη.

Λίγγος, φρούριον κατανδρέων. ἀπολλόδωρος ἐν χρονικῶν τρίτῳ, ὅσ καὶ τὸ ἐθνικὸν, λιγγαῖος. ἔστι καὶ λίγγιος. καὶ λίγγιος κόλπος.

Λὶγξ, ποταμὸς μαυριτανίας, καὶ πόλις. τινὲς δὲ λίξον γράφουσι, καὶ λίξους τοὺς πολίτας.

Λίγυρος, ἔθνος προσεχὲς τοῖς τυρρηνοῖς. ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ἕνδεκα. ἀπὸ λιγύρου ποταμοῦ.

Λιγυστίνη, πόλις λιγύων, τῆς δυτικῆς ἰβηρίας ἐγγὺς, καὶ τῆς ταρσοῦ πλησίον. οἱ οἰκοῦντες, λίγυες καλοῦνται.

Λίκβειρ, πόλις φοινίκων, ὡς ἡρωδιανός. τὸ ἐθνικὸν, λικβειρίτης. ἑκαταῖος περιηγήσει αἰγύπτου.

Λιθήσιος, ὁ ἀπόλλων, ἐν τῷ μαλέᾳ λίθῳ προσιδρυμένος ἐκεῖ. ῥιανὸς ἰλιακῶν τρίτῳ. ὡς γὰρ ἀπὸ τοῦ μάραθος, μαραθήσιος, οὕτω καὶ τοῦτο.

Λίλαια, πόλις φωκίδος. λυκόφρων, γάζαν λίλαιαν, κἀνεμωρείας πέδον. ὁ πολίτης, λιλαιεύς.

Λιλύβαιον, ἡ πρὸς δύσιν ἄκρα τῆς σικελίας. ἑκαταῖος εὐρώπῃ. ἔστι καὶ πόλις. καὶ τὸ ἐθνικὸν, λιλυβαῖος, καὶ λιλυβαΐτης, καὶ λιλυβηΐς.

Λιμενῶτις, χερρόνησος κελτική.

Λιμὴν, ὁ ἔφορμος τόπος. καὶ λιμενίτης, ὁ ἐν αὐτῷ ἱδρυμένος.

Λιμναία, κώμη τοῦ ἄργους. τὸ ἐθνικὸν, λιμναῖος. θουκυδίδης δὲ διὰ τοῦ ν. τὴν δισυλλαβίαν.

Λίμναι, πόλις ἑλλησπόντου περὶ σηστόν. ἑκαταῖος εὐρώπῃ.

Λίμυρα, πόλις λυκίας, ἀπὸ λιμύρου ποταμοῦ. ὁ πολίτης, λιμυρεύς.

Λινδόνιον, πόλις τῆς βρεττανίας. μαρκιανὸς ἐν περίπλῳ αὐτῆς. τὸ ἐθνικὸν, λινδονῖνος.

Λίνδος, πόλις ἐν ῥόδῳ κερκάφου τοῦ ἡλείου καὶ κυδίππης τῆς ὀχίμου θυγατρός. τὸ ἐθνικὸν, λίνδιος.

Λίνον, χωρίον τῆς Ἑλλησποντίας· Στράβων τρισκαιδεκάτῃ. μεταξὺ δὲ κεῖται τοῦ Παρίου, καὶ τοῦ Πριάπου· καὶ οἱ οἰκοῦντες, Λινούσιοι.

Λίξα, πόλις Λιβύης, ὡς Ἀλέξανδρος ἐν πρώτῳ Λιβυκῶν, ἀπὸ Λίξου ποταμοῦ· τὸ ἐθνικὸν, Λίξιοι, Λιξίτης, καὶ Λιξάται παρά τισι.

Λίπαξος, πόλις Θράκης· Ἑκαταῖος· τὸ ἐθνικὸν, Λιπάξιος.

Λιπάρα, νῆσος μεγίστη τῶν ἑπτὰ τῶν Αἰόλου, ἣ Μελιγουνὶς ἐκαλεῖτο, πλησίον Σικελίας, ἀπὸ Λιπάρου τοῦ Αὔσονος υἱοῦ· λέγεται καὶ πληθυντικῶς· τὸ ἐθνικὸν, Λιπαραῖος.

Λιρνύτεια, πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ· τὸ ἐθνικὸν, Λιρνυτειεύς.

Λίσσος, πόλις Ἰλλυρίας, καὶ ἄκρον Λίσσον· τὸ ἐθνικὸν, Λίσσιος, καὶ Λισσεύς.

Λιταί, πόλις Λακωνική· Ἀπολλόδωρος ἑβδόμῳ. οἱ πολῖται, Λιταεῖς.

Λίχνιδος, πόλις Σικελική· Φίλιστος Σικελικῶν τρίτῳ· τὸ ἐθνικὸν, Λιχνιδῖνος.

Τὸ λάμβδα μετὰ τοῦ ο μικροῦ.

Λογγώνη, Σικελίας πόλις· ὁ πολίτης, Λογγωναῖος· Φίλιστος δεκάτῳ.

Λόκοζος, πόλις Φρυγίας, ἣν ᾤκουν Θρᾷκες Λοκόζιοι· καὶ ἐκλύσθη δὲ ὡς Ξάνθος ὁ Λυδὸς, ὃς καὶ διὰ τοῦ ξ γράφει ἐν τούτοις Λοκοξίτας τούτους καλῶν.

Λοκροὶ Ἐπιζεφύριοι, πόλις Ἰταλίας· Ἑκαταῖος Εὐρώπῃ. οἱ πολῖται, Λοκροὶ ὁμωνύμως· τὸ ἐθνικὸν, Λόκριος, ὡς Κύπριος.

Λοπαδοῦσσα, νῆσος κατὰ Θάψον τῆς Λιβύης, ὡς Ἀρτεμίδωρος ἑβδόμῳ γεωγραφουμένων· τὸ ἐθνικὸν, Λοπαδουσσαῖος.

Λούγδουνα, πόλις Κελτογαλατίας· Πτολεμαῖος ἐν περίπλῳ. καὶ Λουγδουνησία ἐπαρχία.

Λουκαρία, πόλις Ἰταλίας· Πολύβιος τρίτῳ. παρὰ δὲ Διονυσίῳ διὰ τοῦ ε γράφεται· οἱ οἰκοῦντες, Λουκερῖνοι.

Λουσία, τῶν Ὑακίνθου θυγατέρων ἦν· ἀφ' ἧς ὁ δημότης Οἰνηΐδος φυλῆς Λουσιεύς.

Λουσιτανία, μέρος τῆς Βαιτικῆς· Μαρκιανὸς ἐν περίπλῳ αὐτῆς· τὸ ἐθνικὸν, Λουσιτανοί.

Λουσοί, πόλις Ἀρκαδίας, ὅπου Μελάμπους ἔλουσε τὰς Προίτου θυγατέρας, καὶ ἔπαυσε τῆς μανίας· ὁ πολίτης, Λούσιος, καὶ Λουσιεύς, καὶ Λουσιάτης.

Τὸ λάμβδα μετὰ τοῦ υ ψιλοῦ.

Λύγκος, πόλις ἠπείρου· Στράβων ἑβδόμῃ. ἐκλήθη ἀπὸ Λυγκέως· τὸ ἐθνικὸν, Λυγκισταί· τὸ θηλυκὸν, Λυγκιστίς. λέγεται καὶ Λύγκιος, ὡς Λύττιος. λέγεται καὶ Λυγκεύς.

Λύγξ, πόλις Λιβύης πρὸς τοῖς Γαδείροις μετὰ τὸν Ἄτλαντα· καὶ νῆσος Ἄτλαντος, καὶ πόλις Λυγξώ· Ἀρτεμίδωρος· τὸ ἐθνικὸν, Λυγξίτης, καὶ Λύγγιος.

Λυδία, ἡ χώρα· Ξάνθος ἐν Λυδιακῶν πρώτῳ· τὸ ἐθνικὸν, Λυδὸς, καὶ Λυδαῖος.

Λύξεια, πόλις Ἀκαρνανίας· Ἑκαταῖος Εὐρώπῃ, ἀπὸ Λύξεός τινος· τὸ ἐθνικὸν, Λυξεὺς, καὶ Λύξα.

Λύκαια, πόλις Ἀρκαδίας· Θεόπομπος πεντηκοστῷ ἕκτῳ. παρὰ δὲ Μενελάῳ Λύκαιθα μετὰ τοῦ θ. ὁ οἰκήτωρ, Λύκαιος· καὶ Λύκειον τὸ γυμνάσιον, καὶ Λύκειος ὁ Ἀπόλλων.

Λυκαονία, χώρα Λυκίας τε καὶ Ἰσαυρίας· τὸ ἐθνικὸν, Λυκαόνιος, καὶ Λυκάων ὁμοφώνως τῷ οἰκιστῇ, καὶ Λυκαὼν, ὡς Μεγιστάν.

Λύκαστος, πόλις Κρήτης· Ὅμηρος, Λύκτον, Μίλητόν τε, καὶ ἀργινόεντα Λύκαστον· ἀπὸ Λυκάστου αὐτόχθονος· ὁ πολίτης, Λυκάστιος.

Λύκαψος, κώμη πλησίον Λυδίας· Εὐφορίων Διονύσῳ· τὸ ἐθνικὸν, Λυκάψιος, ὡς Δαψήγιος, Γαλήψιος.

Λύκειον, τὸ γυμνάσιον, καὶ Λύκειος ὁ Ἀπόλλων. λέγεται καὶ Λυκήϊον.

Λυκία, ἡ χώρα, ἀπὸ Λύκου τοῦ Πανδίονος· ἔστι καὶ Λυκία ἡ πρὸς Κιλικίαν, ἧς ἦρχε Σαρπηδών· οἱ οἰκήτορες, Λύκιοι, ὡς Φύσιοι.

Λύκοα, πόλις Ἀρκαδίας· Παυσανίας ὀγδόῃ· τὸ ἐθνικὸν, Λυκοάτης· καὶ θηλυκῶς διὰ τοῦ ι.

Λυκόζεα, πόλις Θράκης· τὸ ἐθνικὸν, Λυκοζεοι, ὡς Πείσανδρος τεσσαρεσκαιδεκάτῃ.

Λυκόρμας, ποταμὸς, ὃν τινες Εὔηνόν φασι· τὸ ἐθνικὸν, Λυκορμαῖος.

Λυκοσθένη, πόλις Λυδίας· Ξάνθος πρώτῃ Λυδιακῶν· ἣν καὶ Λυκοσθένειαν Νικόλαός φησιν. ὁ πολίτης, Λυκοσθενεύς, ὡς Βερονικεύς. παρὰ δὲ Λυδοῖς, Λυκοσθενίτης, ὡς Δικαιαρχίτης.

Λυκόσουρα, πόλις Ἀρκαδίας ἐπὶ τῷ Λυκαίῳ ὄρει· ὁ πολίτης, Λυκοσουρεύς.

Λύκτος, πόλις Κρήτης, ἀπὸ Λύκτου τοῦ Λυκάονος. ἔνιοι Λύττον φασὶν αὐτὴν, διὰ τὸ κεῖσθαι ἐν μετεώρῳ τόπῳ· τὸ γὰρ ἄνω καὶ ὑψηλὸν, λύττον φασί. τὸ ἐθνικὸν, Λύττιος· καὶ θηλυκὸν, Λυκτηΐς.

Λύκων, πόλεις δύο· ἡ μὲν, ἐν τῷ Λυκοπολίτῃ νομῷ τῆς Αἰγύπτου· ἡ δὲ ἑτέρα, τοῦ Σεβεννύτου νομοῦ παραθαλάσσιος· τὸ ἐθνικὸν, Λυκοπολῖται.

Λυκώνη, πόλις Θράκης· Εὐφορίων Ἱππομέδοντι. τὸ ἐθνικὸν, Λυκωναῖος, ὡς Κιώνη, Κιωναῖος. δύναται καὶ Λυκωνεύς, ὡς Σινωπεύς.

Λυκώρεια, κώμη ἐν Δελφοῖς· Καλλίμαχος τρίτῳ, ἀπὸ Λυκωρέως τοῦ βασιλέως. ὁ πολίτης, Λυκωρεύς, καὶ Λύκωρος, καὶ Λυκωρείτης. ἔστι καὶ Λυκωραῖος Ζεύς, καὶ Λυκώρειον διὰ διφθόγγου.

Λύλη, πόλις ἀρκαδίας· ἀλέξανδρος δευτέρῳ περὶ λυκωρείας· τὸ ἐθνικὸν, λυλαῖος·

Λύρκειον, ὄρος ἀργοῦς· καλλίμαχος ἑκάλῃ· τὸ τοπικὸν, λύρκειον ὕδωρ, καὶ λυρκήϊον· τὸ ἀρσενικὸν, λύρκειος, ὡς ῥοίτειος.

Λυρναῖα, χερρόνησος, καὶ χωρίον λυκίας· ἀλέξανδρος δευτέρῳ περὶ λυκίας· τὸ ἐθνικὸν, λυρνατιδεὺς, ὡς οἰχαλία, οἰχαλιεύς· ἀρκάδιος δὲ διὰ τῆς ει διφθόγγου·

Λυρνησσὸς, πόλις τρωϊκὴ μία τῶν ἕνδεκα τῶν ἐν τῇ τρωάδι· τὸ ἐθνικὸν, λυρνήσσιος. αἰσχύλος δὲ περὶ... ὡς ἀπὸ τοῦ λύρνα, ἢ λύρνη, λυρναῖος·

Λυσιμάχεια, πόλις τῆς θράκης χερρόνησος, ἡ πρότερον καρδία· ὁ πολίτης, λυσιμαχεύς· ἔστι καὶ πόλις αἰτωλίας·

Λυσαί, χωρίον θετταλίας, διὰ τὸ λῦσαι τὰ τέμπη ποσειδῶνα, καὶ σκεδάσαι τὸ ἀπὸ τοῦ κατακλυσμοῦ ὕδωρ·

Λυχνίδος, πόλις ἰλλυρίας ἀρσενικῶς λεγομένη, καὶ λίμνη θηλυκῶς· ἡρωδιανὸς λυχνιτὸν αὐτόν φησι· τὸ ἐθνικὸν, λυχνίδιος, καὶ λυχνία λίμνη, καὶ λυχνίτης· ἔστι δὲ καὶ ἀρμενίας λυχνίτις χωρίον·

τὸ λάμβδα μετὰ τοῦ ·ω· μεγάλου·

Λωμεντὸς, πόλις ἰταλίας, ὀξυτόνως· καὶ ὅσα εἰς τος, τῇ ἐν συλλαβῇ παραλήγει· ἣν καὶ λωρεντὸν φασι μετὰ τοῦ ·ρ·

Λώρυμα, πόλις καρίας· ἑκαταῖος ἀσίᾳ· ἔστι καὶ λιμὴν ῥόδου, ὃς λώρυμα λέγεται· τὸ ἐθνικὸν, λωρυμαῖος·

Λῶς, νῆσος περὶ θετταλίαν, ὡς κῶς· ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ἕνδεκα· λῶος, ὁ νησιώτης·

Λωτοφόρος χώρα, καὶ λωτοφαγῖτις γυνή·

ΑΡΧΗ ΤΟΥ ΜΥ ΣΤΟΙΧΕΙΟΥ·

τὸ μῦ μετὰ τοῦ ἄλφα·

μ Αγαρσος, μέγιστος ὄχθος ἐν κιλικίᾳ πρὸς τῇ μαλλῷ· τὸ τοπικὸν, μαγάρσιος, καὶ μαγαρσία ἀθηνᾶ ἐκεῖ ἵδρυται· ὡς λυρνησσὸς, λυρνήσσιος·

Μαγδωλὸς, πόλις αἰγύπτου· ἑκαταῖος περιηγήσει· τὸ ἐθνικὸν, μαγδωλίτης, διὰ τὸν αἰγύπτιον τύπον· κανωβίτης· διολιβίτης· πενταχοινίτης·

Μαΐα, πόλις ἰλλυρίας· τὸ ἐθνικὸν, δύναται καὶ μαϊάτης, καὶ μαϊανός· εἰσὶ καὶ μάγοι ἔθνος περὶ μηδίαν·

Μαγισσρική, χώρα τῶν ταυρίσκων τῶν πρὸς τὰ ἄλπεια ὄρη· οἱ οἰκήτορες, μαγισσρικοὶ, οἱ τοῖς γερμανοῖς ὁμοροῦσι·

Μάγνα, νῆσος λιβυκή. ἀλέξανδρος ἐν τρίτῳ λιβυκῶν· ἣ κατὰ τὴν λιβύων φωνὴν σαμαθῶ, ὅ ἐστι μεγάλη. τὸ ἐθνικὸν, μαγνίτης διὰ τὸν λιβυκὸν τύπον, καὶ τὸν αἰγύπτιον·

Μαγνησία, πόλις παρὰ τῷ μαιάνδρῳ, καὶ χώρα, ἀπὸ μάγνητος· ὁ πολίτης, μάγνης ὁμωνύμως τῷ οἰκιστῇ· τὸ ἐθνικὸν, μάγνησσα παρὰ καλλιμάχῳ, καὶ μάγνησις παρὰ παρθενίῳ, καὶ μαγνῆτις παρὰ σοφοκλεῖ·

Μαδρηνοὶ, καὶ μανδιανῖται, ἔθνος ἀραβίας· εἴπομεν διότι οἱ ἄραβες τοῖς δυσὶ τύποις χρῶνται·

Μαδυτὸς, πόλις ἑλλησποντία· ἑκαταῖος εὐρώπῃ, καὶ ἄλλοι· τὸ ἐθνικὸν, μαδύτιος, ὡς βηρύτιος, σήστιος· καὶ ἀπὸ τοῦ μάδυτα, μαδυτεύς·

Μάζακα, πόλις καππαδοκίας, ἡ νῦν καισάρεια· τὸ ἐθνικὸν, μαζακηνός· λέγεται καὶ μαζακεὺς, ὡς τύανα, τυανεύς· λέγεται καὶ ἀπὸ μαζάκων·

Μαζαρή, φρούριον σελινουντίων· τὸ ἐθνικὸν, μαζαραῖος, ὡς ἐνναῖος, ἰμβραῖος·

Μάζυες, οἱ λιβύης νομάδες· ἑκαταῖος περιηγήσει· εἰσὶ δὲ καὶ ἕτεροι μάξυες, καὶ ἕτεροι μάχλυες·

Μάζαινα, πόλις παλαιστίνης, ἀπὸ μαζαίνου· οἱ πολῖται, μαζαινηνοί·

Μαία, πόλις ἑλλησποντία· τὸ ἐθνικὸν, μαιάτης κατὰ πρόσθεσιν τοῦ της·

Μαιανδρόπολις, μαγνησίας πόλις, ὡς φλέγων ἐν ὀλυμπιάδι· τὸ ἐθνικὸν, μαιανδροπολίτης· εἰ δὲ ἔστι μαίανδρος ἡ πόλις, τὸ ἐθνικὸν, μαιάνδριος·

Μαιδοὶ, ἔθνος θράκης, πλησίον μακεδονίας· ἐκ τούτων μεταβάντες τινὲς εἰς μακεδόνας, μαιδοβίθυνοι ἐκλήθησαν· τὸ ἐθνικὸν, μαιδικὸς, καὶ μαιδική·

Μ αίναλος, πόλις ἀρκαδίας, ἀπὸ Μαινάλου τοῦ λυκάονος. τὸ ἐθνικὸν, μαινάλιος. καὶ θηλυκὸν, μαιναλία. καὶ μαιναλίτης, ὡς ἴναχος, ἰναχίτης. καὶ μαιναλεὺς, ὡς σουνιεὺς, παρὰ τὸ ὄρος τὸ μαίναλον. ἔστι καὶ μαιναλία πόλις γαλατίας.

Μ αινόβωρα, πόλις μαστιηνῶν. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, μαινοβωραῖος.

Μ αιονία, ἡ λυδία, ἀπὸ μαίονος ποταμοῦ τοῦ περὶ τὴν ἀχαιΐδα γῆν ῥέοντος. τὸ ἐθνικὸν, μαιόνιος, καὶ μαιονία θηλυκόν. καὶ μαίων ὁμωνύμως τῷ οἰκιστῇ, ἀφ' οὗ ἡ χώρα.

Μ αιῶται, ἔθνος σκυθικὸν, μέγιστον, καὶ πολυάνθρωπον. καὶ τὸ θηλυκὸν, ὡς μαιῶτις λίμνη, ἣν φασὶ κληθῆναι ἀπὸ τοῦ εὐξείνου πόντου. ἔστι καὶ μαιῶτις ἰχθῦς τις. λέγεται καὶ κτητικὸν μαιωτικός.

Μ άκη, κελτικὴ πόλις. εὕρηται καὶ μαινάκη κελτικὴ πόλις. τὸ ἐθνικὸν, μαινακηνός.

Μ άκαι, ἔθνος μεταξὺ καρμανίας, καὶ ἀραβίας.

Μ άκελλα, πόλις ἰταλίας. κέκληται ἀπὸ τοῦ μαλακισθῆναι ἐν αὐτῇ φιλοκτήτην. τὸ ἐθνικὸν, μακελλαῖος, ὡς τογιλαῖος.

Μ ακαρέαι, πόλις ἀρκαδίας, ἀπὸ Μακαρέως τοῦ λυκάονος. τὸ ἐθνικὸν, μακαρεὺς, καὶ μακαρεάτης, καὶ μακαρία. κατὰ δὲ ῥωμαίους, βέατα. τὸ ἐθνικὸν, μακαριεύς.

Μ ακεδνὸν, χωρίον ἐν πίνδῳ, ὡς ἡρόδοτος ἐν πρώτῃ. τὸ ἐθνικὸν, ὁμοίως.

Μ ακεδονία, ἡ χώρα, ἀπὸ Μακεδόνος τοῦ διὸς, καὶ θυίας τῆς δευκαλίωνος. τὸ ἐθνικὸν, μακεδὼν ὁμοφώνως τῷ κτίστῃ. κοινὸν τῷ γένει. καὶ μακεδονὶς θηλυκῶς. καὶ μακεδὼν, αὐτὸ τὸ μακεδονικός. λέγεται καὶ μακεδόνιος, καὶ μακεδονικὴ ἡ χώρα. λέγεται καὶ μακέτης ἀρσενικόν. ἡ μακετὶς γυνὴ, καὶ μάκεσσα ἐπιθετικῶς, ὡς ἡρακλείδης, καὶ μακετία διὰ δύο. τ, καὶ δι' ἑνός.

Μ άκιστος, πόλις τῆς τριφυλίας, ἣν ᾤκισαν καύκωνες, ἀπὸ Μακίστου τοῦ ἀδελφοῦ φρίξου, ἀφ' οὗ καὶ ἡ φρίξα πόλις ἐπ' ὄρους ὑψηλοῦ κειμένη πρὸς ἕω τῆς λεπρεατικῆς. ὁ πολίτης, μακιστεύς. τὸ ἐθνικὸν, μακίστιος, καὶ μακιστία. εὕρηται καὶ μακέστιος διὰ τοῦ ε ψιλοῦ.

Μ ακκάραι, χώρα ὑπὲρ φάρσαλον. θεόπομπος πέμπτῳ φιλιππικῶν. τὸ ἐθνικὸν, μακκαραῖος.

Μ άκαρα, νῆσος λυκίας, ὡς ἀλέξανδρος ἐν περίπλῳ αὐτῆς. τὸ ἐθνικὸν, μακαρονησίτης, καὶ μακαραῖος, καὶ μακαρήσιος.

Μ άκρις, ἡ εὔβοια. οἱ οἰκοῦντες, μάκρωνες. ὁ οἰκήτωρ, μακριεὺς, καὶ μακρηΐς.

Μ ακροκέφαλοι, πρὸς τοῖς κόλχοις. ὡς γὰρ ἡ μίκρωνες, καὶ μακροκέφαλοι, καὶ πυγμαῖοι.

Μ άκρυες, ἔθνος λιβύης. ῥιανὸς δ' μάκριας διὰ τοῦ ι. τούτους φησί.

Μ άκρωνες, οἱ νῦν σάννοι. στράβων ἐν δεκάτῃ, καὶ ἑκαταῖος ἀσίᾳ, καὶ ἀπολλώνιος δευτέρῳ.

Μ ακτώριον, πόλις σικελίας. φίλιστος πρώτῳ, ἣν ἔκτισε μόνιμος. τὸ ἐθνικὸν, μακτωρῖνος.

Μ ακρύνεια, πόλις αἰτωλίας. στράβων δεκάτῃ. τὸ ἐθνικὸν, μακρυνεὺς τῷ κοινῷ τύπῳ.

Μ αλάκη, πόλις ἰβηρίας. μαρκιανὸς ἐν β. τῶν ἐπιτομῶν ἀρτεμιδώρου. τὸ ἐθνικὸν, μαλακιτανός.

Μ αλαΐνος, πόλις μεσογείας τῶν οἰνώτρων, τῶν ὑπὸ ἑκαταίου καταλεχθεισῶν ἐν εὐρώπῃ. τὸ ἐθνικὸν, μελαΐνιος, καὶ μελαινεύς.

Μ αλέα, ἄκρα πρὸς πελοποννήσῳ, καὶ μάλεια διὰ διφθόγγου, καὶ μαλιείτης, ὡς ἀσινήτης, καὶ μαλεᾶτις. καὶ ἀπὸ τοῦ μάλεια, μαλειαῖος ζεύς. καὶ θηλυκὸν, μαλειαία ἄκρα.

Μ αλιεὺς, πόλις ἐπώνυμος τῶν μαλιέων, ἀπὸ Μάλου τοῦ ἀμφικτύονος υἱοῦ, ἢ ἀμύρου τοῦ βοιωτοῦ. ὁ πολίτης, μαλιεύς. ἔστι καὶ μαλιακὸς κόλπος. λέγεται καὶ μαλεάτης. ἀνδροτίων πέμπτῳ.

Μ αλλάδα, πόλις περσική. μαρκιανὸς ἐν περίπλῳ τοῦ περσικοῦ κόλπου. τὸ ἐθνικὸν, μαλλαδηνός.

Μ αλλὸς, πόλις κιλικίας. καλλίμαχος αἰτιῶν πρώτῳ, ἀπὸ Μάλλου κτίσαντος αὐτήν. ὁ πολίτης, μαλλώτης. καὶ θηλυκὸν, μαλλῶτις.

Μ αλλόεις ἀπόλλων ἐν λέσβῳ. καὶ ὁ τόπος τοῦ ἱεροῦ, μαλόεις, ἀπὸ τοῦ μήλου τῆς μαντοῦς, ὡς ἑλλάνικος ἐν λεσβικῶν πρώτῳ.

Μ αλοὶ, ἔθνος ἰνδικὸν τῶν ἀνθεστηκότων τῷ διονύσῳ μετὰ δηριάδου, ὡς διονύσιος βασσαρικῶν πρώτῳ.

Μ αλίχνη, πόλις τῆς εὐδαίμονος ἀραβίας. τὸ ἐθνικὸν, μαλιχνίτης. ἐπιχώριος γὰρ ὁ τύπος.

Μ αμάρκινα, πόλις αὐσονική. τὸ ἐθνικὸν, μαμαρκιναῖος, ὡς τερινναῖος, καὶ τὰ ὅμοια.

Μ αμέρτιον, πόλις ἰταλίας. τὸ ἐθνικὸν, μαμερτῖνος, ὡς μεταποντῖνος, καὶ ῥηγῖνος.

Μ ανδαραὶ, μέρος τῆς μακεδονικῆς κύρου. οἱ οἰκήτορες, μανδαραί.

Μ ανδρόπολις, φρυγίας πόλις. τὸ ἐθνικὸν, μανδροπολίτης.

Μ ανδύριον, πόλις ἰαπυγίας. ὁ πολίτης, μανδυρῖνος, ὡς λεοντῖνος.

Μ ανήσιον, πόλις φρυγίας. ἀλέξανδρος, ἀπὸ Μάνου σφόδρα εὐπόρου κτίσου.

Μ ανθυρέα, κώμη ἀρκαδίας. τὸ ἐθνικὸν, μανθυρεὺς, διὰ τὸ ἐπάλληλον τῶν δύο εε.

Μ αννάκαρτα, πόλις ἀραβίας. ὁ οἰκήτωρ, μαννακαρτηνὸς, ὡς μηδαβηνός.

Μ άννεως, χώρα μέση τῶν ποταμῶν, ἐν ᾗ οἰκοῦσιν ἄραβες μαννεῶται, ὡς οὐράνιός φησι.

Μ άνταλος, πόλις φρυγίας, ὡς ὁ πολυΐστωρ ἀλέξανδρος, ἀπὸ Μαντάλου κτίσου αὐτῆς.

τὸ ἐθνικὸν, μανταλινός.

Μ αντίνεια, πόλις ἀρκαδίας. ὅμηρος, οἵ τε γε αἵ τ᾽ εἶχον, καὶ μαντινέην ἐνέμοντο. τὸ ἐθνικὸν, μαντινεὺς, καὶ μαντινίς. τὸ κτητικὸν, μαντινικός.

Μ άντυα, πόλις ῥωμαίων. τὸ ἐθνικὸν, μαντυανός. πολύβιος ἑκκαιδεκάτῳ. γράφεται καὶ μάντουα τῷ τῶν ῥωμαίων ἔθει. ἐξ αὐτῆς ἦν βιργίλιος ὁ ποιητὴς μαντούης χρηματίζων. ἔστι καὶ κατὰ συγκοπὴν, ὡς τὸ ζελεῖτ᾽.

Μ αραθήσιον, πόλις καρίας. τὸ ἐθνικὸν, μαραθήσιοι, ὡς βυζάντιοι. ἔστι δὲ πόλις ἐφεσίων.

Μ άραθος, πόλις ἀκαρνανίας. ὁ πολίτης, μαραθηνός. τὸ ἐθνικὸν, μαραθούσιος, ὡς κάρδος, καρδούσιος.

Μ αράθουσα, νῆσος πρὸς κλαζομεναῖς. ὁ πολίτης, μαραθούσιος.

Μ αραθὼν, δῆμος τῆς λεοντίδος φυλῆς. καὶ μαραθώνιος, καὶ μαραθωνία, καὶ μαραθώνιον. τοπικὸν, μαραθωνόθεν. καὶ κτητικὸν, μαραθωνιακός.

Μ αραθωνία, πόλις θρᾴκης, οὐκ ἄποθεν αὐδήρων. τὸ ἐθνικὸν, μαραθωνιάτης.

Μ αράχη, πόλις ἰνδική. τὸ ἐθνικὸν, μαράχιος τῷ κοινῷ τύπῳ.

Μ αργαῖαι, πόλις ἠλείας, ὡς ἡραῖα. καὶ τὸ ἐθνικὸν, μαργαιεὺς, ὡς ἡραιεύς.

Μ άργανα, πόλις τῆς ἰνδικῆς. μαρκιανὸς ἐν περίπλῳ. ἔστι καὶ μάργαναι πληθυντικῶς. τὸ ἐθνικὸν, μαργανεύς.

Μ άρδοι, ἔθνος ὑρκανῶν. ἀπολλόδωρος περὶ γῆς δευτέρῳ. λῃσταὶ δ᾽ οὗτοι, καὶ τοξόται.

Μ αρδόνες, ἠπειρωτικὸν ἔθνος. εὔπολις πόλεσι, καὶ χαόνων, καὶ παιόνων, καὶ μαρδόνων.

Μ άρεια, πόλις καὶ λίμνη, τῇ ἀλεξανδρείᾳ παρακειμένη, ἣ καὶ μαρεῶτις λέγεται. ἀφ᾽ ἧς καὶ μαρεώτης οἶνος.

Μ άρδοι, ἔθνος προσεχὲς τοῖς μοσσυνοίκοις. ἑκαταῖος ἀσίᾳ.

Μ αρίαβα, μητρόπολις σαβίνων, πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ. στράβων πεντεκαιδεκάτῃ.

Μ αριαμμία, πόλις φοινίκων. οἱ πολῖται, μαριαμῖται, ὡς παυσανίας ἕκτῳ.

Μ αριανδυνία, χώρα. εὔπολις. χρυσῷ γένει δ᾽ ὁρῶ, θέων νῦν τὴν μαριανδυνίαν. ἀπὸ μαριανδυνοῦ τινος αἰολέως. τὸ ἐθνικὸν, μαριανδυνὸς βαρυτόνως, καὶ μαριανδυνὶς, καὶ μαριανδύνη θηλυκόν. τοῦ δὲ μαριάνδυνος κτητικὸν, καὶ μαριανδυνή.

Μ άριον, πόλις κύπρου, ἡ μετονομασθεῖσα ἀρσινόη, ἀπὸ μαριέως. ὁ πολίτης, μαριεύς. ὅθεν καὶ τὸ κύριον ὁ κινύρου μαριεύς.

Μ άρκαιον, ὄρος τῆς τρῳάδος, πρὸς τῇ γέργηθι. οἱ οἰκήτορες, μαρκαιΐσιοι.

Μ άρμακες, ἔθνος αἰθιοπικόν. ἑκαταῖος ἀσίᾳ.

Μ αρμάριον, πόλις εὐβοίας. ὁ πολίτης, μαρμάριος, ὡς βυζάντιος.

Μ άρμη, πόλις φοινίκης. τὸ ἐθνικὸν, μαρμαῖος, ὡς βαρκαῖος.

Μ άρπησσα, ὄρος πάρου, ἀφ᾽ οὗ οἱ λίθοι ἐξαίρονται. ὁ οἰκήτωρ, μαρπήσσιος.

Μ άρσιππος, πόλις φοινίκης. τὸ ἐθνικὸν, μαρσίππιος.

Μ αρσοὶ, ἔθνος ἰταλικόν. τὸ ἐθνικὸν, μαρσικοί.

Μ αρσύα, πόλις φοινίκης, ὡς ἀλέξανδρος, καὶ φίλων, ἀπὸ μαρσύου. τὸ ἐθνικὸν, μαρσυηνὸς τῷ τῆς ἀσίας τύπῳ.

Μ αρώνεια, πόλις κικονίας κατὰ τὴν ἐν θρᾴκῃ χερρόνησον. ἐν δὲ, λίμνη μάρις. ἐν δὲ, μαρώνεια πόλις. τὸ ἐθνικὸν, μαρωνείτης. καὶ θηλυκῶς διὰ τοῦ τ. καὶ μαρωνῖς, ἀπὸ τῆς μάρωνος γενικῆς. καὶ μαρωναῖος, ὡς ἀπὸ τοῦ μαρώνη.

Μ ασαισυλία, χώρα λιβύης, προσεχὴς τῇ τῶν μαυρουσίων. τὸ ἐθνικὸν, μασαισύλιοι, καὶ μασαισυλεῖς, καὶ μασαισυλῖται.

Μ ασσανωράδα, πόλις καρίας, ἀπὸ μασσανωράδου τοῦ κινδάψου παιδός. τὸ ἐθνικὸν, μασσανωραδεύς.

Μ άσης, πόλις ἀργείων. παυσανίας δευτέρῳ, ὁδός ἐστιν ἐπὶ μάσῃ. ὅμηρος, οἵ τ᾽ ἔχον αἴγιναν μάσητά τε κοῦροι ἀχαιῶν. λέγεται καὶ ἡ πόλις μάσητος. οἱ πολῖται, μασήτιοι. ἔστι καὶ λίμνη, καὶ κώμη μασῆτις, καὶ νῆσος.

Μ άσιον ὄρος, ὑπὲρ τοῦ νισίβιος. στράβων ἑνδεκάτῃ. οἱ οἰκοῦντες, μασιηνοί. ἢ ὡς πάρις, παριανός.

Μ άσκωτος, πόλις λιβύης. ἑκαταῖος περιηγήσει. ἔστι δὲ πλησίον τῶν ἑσπερίδων. τὸ ἐθνικὸν, μασκωτίτης λιβυκῷ καὶ αἰγυπτίῳ τύπῳ.

Μ άσποι, ἔθνος περσικὸν, ὡς εἴρηται ἐν τῷ περὶ μαραφί ρεταίων, καὶ πασαργάδων.

Μ ασσαγέται, ἔθνος σκυθῶν, ἔνθα κῦρος ἐτελεύτησε. τὸ ἐθνικὸν, λέγεται μασσαγέτις. καὶ ἴσως διὰ τὸ μέσον.

Μ ασσαλία, πόλις τῆς λιγυστικῆς, κατὰ τὴν κελτικὴν, ἄποικος φωκαέων. ἑκαταῖος εὐρώπῃ. τίμαιος δέ φησιν, ὅτι προσπλέων ὁ κυβερνήτης, καὶ ἰδὼν ἁλιέα, κελεῦσαι μάσαι τὸ ἀπόγειον σχοινίον. μάσσαι γὰρ τὸ δῆσαι φασὶν αἰολεῖς. ἀπὸ οὖν τοῦ ἁλιέως καὶ τοῦ μάσαι ὠνόμασται. τὸ ἐθνικὸν, μασσαλιώτης, καὶ μασσαλιεύς. καὶ μασσαλία, καὶ μασσαλιῶτις γυνή.

Μ άσσακα, πόλις ἰνδῶν. ἀρριανὸς ἐν ἰνδικοῖς. τὸ ἐθνικὸν, μασσακηνὸς, ὡς μάζακα, μαζακηνός.

Μ ασσία, χώρα ἀποκειμένη τοῖς ταρτησίοις. τὸ ἐθνικὸν, μασσιανός. θεόπομπος τεσσαρακοστῷ τρίτῳ.

Μάσταυρα, πόλις Λυδίας, ἀπὸ Μᾶς. Μᾶ δὲ τὴν ῥέαν εἶπεν, ἣ παρέδωκε Ζεὺς Διόνυσον τρέφειν. καὶ ἡ Μᾶ παρὰ τῆς Ἥρας ἐρωτηθεῖσα τίνος εἴη τὸ βρέφος, Ἄρεος ἔφη. καὶ παρὰ Καρσὶν ὁ Διόνυσος Μάσαρις ἐντεῦθεν ἐκλήθη. ἐκαλεῖτο δὲ καὶ ἡ ῥέα Μᾶ. καὶ ταῦρος αὐτῇ ἐθύετο παρὰ Λυδοῖς, ἀφ' ἧς ἡ πόλις. ποταμὸς δὲ τῆς μέσης πόλεως ῥεῖ Χρυσορόας λεγόμενος. τὸ ἐθνικὸν, Μασταυρεὺς, ὡς Πηγασεύς. εἴρηται καὶ Μασταυρίτης.

Μασιανοὶ, ἔθνος πρὸς ταῖς Ἡρακλείαις στήλαις. Ἑκαταῖος Εὐρώπῃ. εἴρηνται ἀπὸ Μαστίας πόλεως.

Μαστραμέλλη, πόλις, καὶ λίμνη τῆς Κελτικῆς. Ἀρτεμίδωρος ἐν τῇ ἐπιτομῇ τῶν ἕνδεκα.

Μασύλοι, Λιβυκὸν ἔθνος. Ἀπολλόδωρος. Πολύβιος ἐν ἑβδόμῳ Μασσυλεῖς αὐτούς φησι.

Μασχάνη, πόλις πρὸς τῶν Σκηνιτῶν Ἀράβων. Κουάδρατος ὀγδόῳ Παρθικῶν. τὸ ἐθνικὸν, Μασχανεύς.

Μάταυρος, πόλις Σικελίας, Λοκρῶν κτίσμα. τὸ ἐθνικὸν, Ματαυρῖνος. Στησίχορος Εὐφήμου παῖς Ματαυρῖνος γένος, ὁ τῶν μελῶν ποιητής.

Ματιανὴ, μοῖρα τῆς Μηδίας. Στράβων ἑνδεκάτῃ. τοῦτο δὲ γίνεται καὶ τῆς Μηδίας ἐν τῇ Ματιανῇ.

Ματυκέται, ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ.

Μαυριτανίαι, δύο. ἡ μὲν, Τιγγιτανή. ἡ δὲ, Καισαρισία, ὡς Μάρκης ἐν Περίπλῳ.

Μαυρούσιοι, καὶ Μαῦροι, ἔθνος μέγα Λιβύης, ὡς Κουάδρατος ἐν πρώτῳ Παρθικῶν. τὸ ἐθνικὸν, Μαυρουσίς.

Μαυσὸς, κώμη Κορίνθου. Θεόπομπος τριακοστῷ δευτέρῳ. τὸ ἐθνικὸν, Μαυσεῖς.

Μαυσωλοὶ, οἱ Κᾶρες, ἀπὸ Μαυσώλου. Δημοσθένης δεκάτῳ Βιθυνιακῶν, Δαίδαλα Μαυσωλῶν.

Μαχαιροῦς, φρούριον τῆς Ἰουδαίας, ὡς Ἰώσηπος. τὸ ἐθνικὸν, ὤφειλεν ὡς Ἱδρουχούντιος. αὐτὸς δὲ, Μαχαιρίτας αὐτούς φησι.

Τὸ μ μετὰ τοῦ ·ε· ψιλοῦ.

Μεγάλη πόλις, Ἀρκαδίας, ἣν συνῴκισαν αὐτοὶ Ἀρκάδες μετὰ τὰ Λευκτρικά. ἐκαλεῖτο δὲ κατὰ τὸ ἥμισυ μέρος Ὀρεστία, ἀπὸ τῆς Ὀρέστου παρουσίας. οἱ δὲ πολῖται, Ὀρέστιοι, καὶ Μεγαλοπολῖται. ἀφ' ἧς Κερκίδας ἄριστος νομοθέτης, καὶ μελιάμβων ποιητὴς, καὶ Αἰνησίας περιπατητικὸς, ὁ Θεοφράστου μαθητὴς, καὶ Ἀκεσόδωρος, περὶ πόλεων συγγεγραφὼς, καὶ Πολύβιος τεσσαράκοντα βιβλία γράψας. οὐχὶ Μεγαλοπολῖται. τὸ κτητικὸν, Μεγαλοπολιτικός. δευτέρα, πόλις Καρίας, ἡ νῦν Ἀφροδισιὰς, ἡ πρότερον Λελέγων πόλις. ὠνομάσθη καὶ Νινόη, ἀπὸ Νίνου. ὁ πολίτης, Νινοήτης. ἔστι καὶ Ἰβηρίας μεγάλη πόλις, ὡς Φίλων. ἔστι καὶ μεγάλη νῆσος, ἡ νῦν Λυκίας.

Μέγαρα, πόλις περὶ τὸν Ἰσθμὸν, μέση Πελοποννήσου, καὶ Ἀττικῆς, καὶ Βοιωτίας. ἧς ἐπίνειον Νισαία. ἐκλήθη δὲ ἀπὸ Μεγαρέως τοῦ Ἀπόλλωνος, ἢ τοῦ Αἰγέως τοῦ Πανδίονος, τοῦ Ἐρεχθέως, τοῦ Ἡφαίστου. ἢ διὰ τὸ ταχὺ τῆς χώρας. ὁ πολίτης, Μεγαρεύς. ἀφ' ἧς Θέογνις ὁ τὰς παραινέσεις γράψας. ἦν δὲ σχολὴ φιλοσόφων Μεγαρικῶν λεγομένη, διαδεξαμένη Εὐκλείδην Μεγαρέα Σωκρατικὸν, ὡς Στράβων ἐννάτῃ. τὸ θηλυκὸν ἀπὸ τῆς χώρας, Μεγαρὶς, καὶ Μεγαρηΐς. καὶ κτητικὸν, Μεγαρικός. οὕτω δὲ καὶ τοὺς Μεγαρικοὺς κεράμους διὰ τοῦ ·ε· χρὴ λέγειν, οὐ διὰ τοῦ α, ὡς οἱ ἔμποροι τὴν ἀρχουσαν παραφθείροντες. τὰ τοπικὰ, Μεγαρόθεν ἐκ τόπου. ἐν τόπῳ, Μεγαροῖ, ὡς Πυθοῖ. ἔστι καὶ Μέγαρα ἐν Θετταλίᾳ τῇ ἐν Πόντῳ. τετάρτη, ἐν Ἰλλυρίδι. πέμπτη, ἐν Μολοσσίδι. ἕκτη, ἐν Σικελίᾳ, ἡ πρότερον Ὕβλη, ἀπὸ Ὕβλωνος βασιλέως. καὶ Ὑβλαῖοι οἱ πολῖται.

Μεγαρικὸν πολίχνιον, ὃ συγκαταλέγεται ταῖς Βιθυνῶν πόλεσιν. Ἀρριανὸς πέμπτῳ, Ἀστακός τε, καὶ Ἥραια, καὶ τὸ Μεγαρικὸν ἔθνος.

Μέγασα, ὡς Γέρασα, πόλις Λιβύης. Ἑκαταῖος Περιηγήσει Ἀσίας. ἐξ αὐτῆς Σιτοφάγοι, καὶ ἀροτῆρες.

Μεγίστη, πόλις καὶ νῆσος τῆς Λυκίας, ὡς Πολυΐστωρ, ἀπὸ Μεγιστέως τινός. τὸ ἐθνικὸν, Μεγιστεύς.

Μεδεὼν, Βοιωτικὴ πόλις, καὶ Φωκικὴ ἑτέρα. Στράβων ἐννάτῃ. ἐκλήθη δὲ ἀπὸ Μεδεῶνος τοῦ Πυλάδου, καὶ Ἠλέκτρας. τὸ ἐθνικὸν, Μεδεώνιος. ἔστι καὶ τῆς Ἠπείρου πόλις, καὶ κώμη.

Μεδιόλανον, πόλις Ἀκυτανίας. οἱ οἰκοῦντες, Μεδιολάνιοι.

Μεδίων, πόλις πρὸς τῇ Αἰτωλίᾳ. Πολύβιος ὀκτωκαιδεκάτῳ. τὸ ἐθνικὸν, Μεδιώνιος.

Μέδμασος, πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν, Μεδμασεὺς τῷ τύπῳ τῆς χώρας, ὡς Πηγασεύς.

Μέδμη, πόλις Ἰταλίας, καὶ κρήνη ὁμώνυμος. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Μέδμης κρήνης τινός. ὁ πολίτης, Μεδμαῖος. ὅθεν ἦν Φίλιππος ὁ ἀξιόλογος ἀνὴρ, ὁ περὶ ἀνέμων γεγραφώς. ἔστι καὶ ἑτέρα πόλις τῆς Λιγυστικῆς.

Μεδυλλία, πόλις, Ἀλβανῶν κτίσις, Ῥωμαίων ἀποικία. Διονύσιος Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν, Μεδυλλῖνος.

Μεθουριάδες, νῆσοι μεταξὺ Αἰγίνης, καὶ Ἀττικῆς, πλησίον Τροιζῆνος. Θέων πέμπτῳ Ἀτθίδος. τὸ ἐθνικὸν, Μεθουριεύς.

Μεθύδριον, πόλις ἀρκαδίας. ὁ πολίτης, μεθυδριεύς. ἔστι καὶ ἑτέρα πόλις θεσσαλίας, ὡς φιλόξενος.

Μεθώνη, πόλις θράκης. ὅμηρος διὰ τοῦ η ταοἳ δ' ἄρα μηθώνην, καὶ θαυμακίην ἐνέμοντο. ὁ πολίτης, μεθωναῖος. ἔστι καὶ μακεδονίας. ἐκλήθη ἀπὸ τοῦ μέθυ. πολύοινος γάρ ἐστι. καὶ τῆς λακωνικῆς. ἧς τὸ ἐθνικὸν, μεθωναιεὺς, ὡς κρωναιεύς. τετάρτη, ἐν περσίδι. πέμπτη, εὐβοίας.

Μελάγχλαινοι, ἔθνος σκυθικόν. ἑκαταῖος εὐρώπῃ. κέκληνται ἀφ' ὧν φοροῦσιν, ὡς ἱππομολγοὶ, παρὰ τὸ τοὺς ἵππους ἀμέλγειν. καὶ μοσύνοικοι, παρὰ τὰς οἰκήσεις.

Μέλαιναι, πόλις ἀρκαδίας, ἀπὸ μελαινέως τοῦ λυκάονος, ὡς παυσανίας. ὁ πολίτης, μελαινεὺς, ὡς τῆς ἡραίας, ἡραιεύς. ῥιανὸς ἐν ἠλιακῶν πρώτῳ. γόρτυναν, ἡραίαν τε, πολυδρόμους τε μελαίνας. εἰσὶ δὲ καὶ λυκίας μέλαιναι πόλις, ὡς ἀλέξανδρος λυκιακοῖς. δύναται τὸ ἐθνικὸν μελαινίτης, ἢ κελαινίτης.

Μελαινεῖς, δῆμος τῆς ἀντιοχίδος φυλῆς. καλλίμαχος δὲ, μελαινάς φησι τὸν δῆμον κεκλῆσθαι. ὁ δημότης, ὁμοίως μελαινεύς. τὸ ἐθνικὸν, μελαινῆς. τὰ τοπικὰ, ἐκ μελαινῶν. εἰς μελαινῶν. ἐν μελαινῶν.

Μελάμπεια, πόλις λυδίας, ἀπὸ μελάμπου, ὡς ξάνθος ἐν λυδιακοῖς. τὸ ἐθνικὸν, μελαμπεὺς, ὡς σελευκεὺς, ἀλεξανδρεύς.

Μελανδία, χώρα σικυωνίας. θεόπομπος τεσσαρακοστῷ πέμπτῳ φιλιππικῶν. τὰ ἐθνικὰ, μελάνδιος, καὶ μελανδία.

Μελανίππιον, ποταμὸς παμφυλίας. ἑκαταῖος ἀσίᾳ. τινὲς δὲ, λυκίας φασί. τὸ ἐθνικὸν, μελανιππεὺς, καὶ μελανίππιος.

Μελήτου κόλπος, ὃς σμυρναῖος ἐκαλεῖτο, ἀπὸ μελήτου ποταμοῦ, ὡς ἑκαταῖος ἐν αἰολικοῖς.

Μελία, πόλις καρίας. ἑκαταῖος γενεαλογιῶν πρώτῳ. τὸ ἐθνικὸν, μελιεὺς, ὡς ὑριεύς.

Μελίβοια, πόλις θετταλίας. στράβων ἐννάτῳ. τὸ ἐθνικὸν, μελιβοεὺς, ὡς θεόπομπος.

Μελιγουνὶς, μία τῶν αἰόλου νήσων. καλλίμαχος ἐν τῷ εἰς ἄρτεμιν ὕμνῳ. τὸ ἐθνικὸν, μελιγουνεύς.

Μέλινα, πόλις ἄργους. ἀφ' ἧς ἀφροδίτη μελιναία τιμᾶται. λυκόφρων, τὴν καστνίαν τε μελιναίαν θεόν.

Μελινοφάγοι, ἔθνος θράκης. ξενοφῶν ἐν ἀναβάσεως ἑβδόμῳ, καὶ θεόπομπος ἐν τῷ τεσσαρακοστῷ ἐννάτῳ.

Μέλισσα, πόλις λιβύων. ἑκαταῖος ἀσίᾳ. ὁ οἰκήτωρ, μελισσαῖος. ἡ χώρα, μελισσαία. ἔστι καὶ ἐν κυμαικῷ κώμη μέλισσα. τὸ ἐθνικὸν, μελισσηνὸς, ὡς κυρηνηνός.

Μελιτταία, πόλις θετταλίας. ἀλέξανδρος ἀσίᾳ. θεόπομπος δὲ μελίτειαν αὐτήν φησιν. ὁ πολίτης, μελιταιεύς. ἔφορος λ. οἱ δὲ τύραννοι τῶν φερῶν, καὶ μελιτταιεῖς φίλοι πρότερον ὑπάρχοντες.

Μελίτεια, φίλων ἐπιγράφει τὰ αὐτὰ πράγματα τῇ εἰρημένῃ προσάπτων. τὸ ἐθνικὸν, μελιτεύς.

Μελίτη, νῆσος μεταξὺ ἠπείρου, καὶ ἰταλίας. ὅθεν τὰ κυνίδια μελιταῖά φασιν. ὁ οἰκήτωρ, μελιταῖος. ἔστι καὶ πόλις ἄποικος καρχηδονίων, καὶ δῆμος οἰνηΐδος φυλῆς. ὁ δημότης, μελιτεύς. τὰ τοπικὰ, εἰς μελίτην. ἐκ μελίτης, καὶ ἐν μελίτῃ.

Μελιτηνὴ, πόλις καππαδοκίας. στράβων ἐν δεκάτῃ. τὸ δ' ἄβανον ὄρος μέχρι τοῦ εὐφράτου καὶ τῆς μελιτηνῆς πρόεισι, καθ' ὃ ἡ κομμαγηνὴ καππαδοκίᾳ παράκειται. οἱ πολῖται, μελιτηνοὶ, ὡς κομμαγηνοί.

Μελίτουσσα, πόλις ἰλλυρίας. πολύβιος εἰκοστῷ δεκάτῳ. τὸ ἐθνικὸν, μελιτουσσαῖος, ὡς σκοτουσσαῖος. καὶ μελιτούσιος, ὡς σκοτούσιος.

Μεμβλίαρος, νῆσος πλησίον θήρας, καὶ ἀνάφης. ἀπὸ μεμβλιάρου τοῦ θήραν οἰκήσαντος φοίνικος, τῶν μετὰ κάδμου ἑνός. λέγεται καὶ κατὰ ἀφαίρεσιν βλίαρος. τὸ ἐθνικὸν, μεμβλιάριος.

Μέμφις, ἡ διασημοτάτη αἰγύπτου μητρόπολις. καὶ κλίνεται μέμφιδος, καὶ μέμφιος. ὁ πολίτης, μεμφίτης. καὶ μεμφιτικὸς κτητικόν.

Μέμνονες, ἔθνος αἰθιοπικὸν, ὃ ἑρμηνεύεται ὡς ὁ πολυΐστωρ φησὶν, ἀγρίους τινὰς, ἢ μαχίμους, καὶ χαλεπούς.

Μέναι, πόλις σικελίας, ἐγγὺς παλικῶν. ἀπολλόδωρος ἐν δευτέρῳ χρονικῶν. τὸ ἐθνικὸν, μεναῖος, ὡς λύκαι, λυκαῖος.

Μένδη, πόλις θράκης, ἀπὸ μένδης γυναικός. ἀπολλόδωρος μένδιν αὐτήν φησι. τὸ ἐθνικὸν, μενδαῖος οἶνος.

Μένδης, πόλις αἰγύπτου, περὶ τὴν λύκων πόλιν. στράβων ιζ. καὶ λύκων πόλις. καὶ μένδης, ὅπου τὸν πᾶνα τιμῶσι, καὶ τὸν τράγον. ὁ πολίτης, μενδήσιος. καὶ μενδησία θηλυκόν. λέγεται καὶ μενδίτης.

Μενεδήμιον, πόλις λυκίας. καπίτων ἐν ἰσαυρικῶν τετάρτῳ. τὸ ἐθνικὸν, μενεδήμιος, ἢ μενεδημιεύς.

Μενεκίνη, πόλις οἰνώτρων ἐν μεσογείᾳ. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, μενεκιναῖος, καὶ μενεκινηνὸς διὰ τὴν χώραν.

Μενέλαος, πόλις αἰγύπτου. στράβων τεσσαρεσκαιδεκάτῃ. καὶ ἡ χώρα μενελαΐτης. ἔστι καὶ χωρίον σπάρτης μενελάϊον. τὸ ἐθνικὸν, μενελαεὺς, ὡς κοπιάειον, κοπαεύς. καὶ κτητικὸν μενελαϊκός.

μενελαϊκός. τῆς δ' αἰγυπτίας, μενελαΐτ.

M ένουθις, αἰγυπτία κώμη πρὸς τῷ κανώβῳ, καὶ νῆσος αἰθιοπίας μενουθιάς. τὸ ἐθνικὸν, μενουθίτης τοῦ μένουθις διὰ τὸν τῆς χώρας χαρακτῆρα. τὸ δὲ μενουθιάς, μενουθιεύς.

M έντορες, ἔθνος πρὸς τοῖς λιβύρνοις. ἑκαταῖος εὐρώπῃ.

M έντυρνα, πόλις ἐν ἰταλίᾳ σαυνιτῶν. διονύσιος ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν, μεντυρναῖος.

M ερμησσὸς, πόλις ἰωϊκὴ, ἀφ' ἧς ἡ ἐρυθραία σιβύλλα. ἦν γὰρ καὶ ἡ πόλις αὐτὴ ἐρυθρὰ τῷ χρώματι. τὸ ἐθνικὸν, μερμήσσιος, καὶ μερμησσεύς.

M ερόη, πόλις αἰθιόπων. ἡρόδοτος δευτέρᾳ, ἀπὸ Μερόης. ἔστι καὶ νῆσος. ὁ πολίτης, μεροΐτης, ὡς τῆς ἀρσινόης, ἀρσινοΐτης. ἔστι καὶ μερόη κατὰ ἀνατολὰς τῆς περὶ δάφνην ἀντιοχείας. τὸ ἐθνικὸν, μεροαῖος, ἢ μερούσιος κατὰ τὸ τῆς ἑορτῆς ὄνομα. καὶ τὸ κτητικὸν, μερουσιακός. ἔστι καὶ μερόη πόλις λυκίας.

M ερούσιον, χωρίον, ὡς θεόπομπος φιλιππικῶν τεσσαρακοστῷ ἐνάτῳ. οἱ οἰκήτορες ὁμοίως μερούσιοι. καὶ μερουσία ἡ ἄρτεμις. ἀπέχει δὲ ὁ τόπος συρακουσίων στάδια ἑβδομήκοντα. τινὲς δὲ ἀπὸ τῆς μερόης τῆς αἰθιοπίας.

M έροψ, τριόπα παῖς, ἀφ' οὗ μέροπες οἱ κῷοι. καὶ νῆσος μεροπίς.

M εσενίτης, κόλπος. μαρκιανὸς ἐν περίπλῳ τῆς περσικῆς θαλάσσης.

M εσημβρία, πόλις ποντική. νικόλαος πέμπτῳ. ἐκλήθη ἀπὸ μέλσου. βρία γὰρ τὴν πόλιν φασὶ θρᾷκες. ὡς οὖν σηλυμβρία ἡ τοῦ σήλυος πόλις, πολτυμβρία, ἡ πόλτυος, οὕτω μελσημβρία ἡ μέλσου πόλις. καὶ διὰ τὸ εὐφωνότερον λέγεται μεσημβρία. ὁ πολίτης, μεσημβριανός. ἔστι καὶ θρᾴκης μεσημβρία πρὸς τῷ τέλει τῆς χερρονήσου, ὡς ἡρόδοτος ἑβδόμῃ. τὸ ἐθνικὸν, ὅμοιον.

M έση τῶν ποταμῶν, χώρα μεταξὺ εὐφράτου, καὶ τίγριδος. καὶ ἀδιαβηνὴ ἐκαλεῖτο, ὡς ἱστορεῖ κουάδρατος. τὸ ἐθνικὸν, μεσοποταμίτης.

M έσμα, πόλις ἰταλίας. ἀπολλόδωρος ἐν ξί τῷ χρονικῶν. τὸ ἐθνικὸν, μεσμανὸς, ὡς τῆς νώλου, νωλανός.

M έσολα, πόλις                νης, μία τῶν πέντε. νικόλαος τετάρτῳ. τὸ ἐθνικὸν, μεσολάτης, ὡς τῆς μεσόας, μεσοάτης.

M εσοπόντιος ποσειδῶν, ὁ ἐρέσιος. οὕτω γὰρ ἐν ἐρέσῳ τιμᾶται πόλει τῆς λέσβου. καλλίμαχος αἰτιῶν πρώτῳ.

M έσσαβα, πόλις καρῶν. ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, μεσσαβεὺς τῷ τύπῳ τῶν καρικῶν πόλεων.

M εσσαπέαι, χωρίον λακωνικόν. τὸ ἐθνικὸν, μεσσαπεύς. οὕτω γὰρ ὁ ζεὺς ἐκεῖ τιμᾶται. θεόπομπος πεντηκοστῷ ἑβδόμῳ.

M εσσαπία, χώρα ἰαπυγίας, προσεχὴς τάραντι. τὸ ἐθνικὸν, μεσσάπιος. παυσανίας δεκάτῳ.

M εσσάπιον, ὄρος εὐβοίας. καὶ μεσσαπικὸς, ἀπὸ μεσσαπίου τοῦ μετοικήσαντος εἰς ἰταλίαν.

M εσσήνη, καὶ χώρα, καὶ πόλις. στράβων ὀγδόῃ. χώρα δὲ ἡ μεσσηνία, καὶ μέση κατὰ συγκοπὴν, ἢ μέση καὶ μεσήνη, ὡς τινές. τὸ ἐθνικὸν, καὶ ὁ πολίτης, μεσσήνιος. καὶ θηλυκὸν, μεσσηνίς. ἔστι καὶ ἄλλη μεσήνη τῆς σικελίας. καὶ χώρα μεσήνη δι' ἑνὸς σ. ἀπὸ τῶν δύο στομάτων αὐτοῦ μεσαζομένη, ὡς ἀσίνιος κουάδρατός φησι.

M έσσα, τόπος λακωνικῆς. στράβων ἑβδόμῃ. ἔστι καὶ φυλὴ λακωνική. τὸ ἐθνικὸν, μεσσοάτης.

M εσσωγὶς, ὄρος λυδίας. τὸ τοπικὸν, μεσσωγίτης. στράβων τεσσαρεσκαιδεκάτῃ. ὅθεν ἄριστος μεσσωγίτης οἶνος, ὁ ἀρομεύς.

M εταπώνιον, πόλις λιβύης. ἑκαταῖος ἀσίᾳ. θηλυκῶς δὲ ταύτην φασί. τὸ ἐθνικὸν, μεταπωνίτης.

M έταον, πόλις λέσβου, ἣν μέτας τυρρηνὸς ᾤκησεν, ὡς ἑλλάνικος.

M έταπα, πόλις ἀκαρνανίας. πολύβιος πέμπτῳ. τὸ ἐθνικὸν, μεταπαῖος, ἢ μετάπατος διὰ τὸ ἐπιχώριον.

M εταπόντιον, πόλις ἰταλίας, ἡ πρότερον σίρις, ἀπὸ μετάβου τοῦ σισύφου, τοῦ αἰόλου. τὸν γὰρ μετάποντον οἱ βάρβαροι μέταβον ἔλεγον. ὁ πολίτης, μεταποντῖνος. ἀφ' οὗ φίλων ὁ αὐλητὴς, καὶ ποιητής. λέγεται καὶ μεταπόντιος, ὡς βυζάντιος, καὶ μεταποντίνη.

M ετάχοιον, φρούριον βοιωτίας, μεταξὺ ὀρχομενοῦ, καὶ κορωνείας. ἔφορος τριακοστῷ. τὸ ἐθνικὸν, ἐκ μεταχοίου, ὡς τοῦ οἴου, τὸ ἐξ οἴου. οἶον δὲ δῆμος ἀττικῆς, ὡς λέλεκται. ἢ μεταχοιάτης. καὶ γὰρ οἶος πολίχνιον, ἧς τὸ ἐθνικὸν, οἰάτης. ἀνδροτίων δὲ τὴν ζ. μετάχοιρον αὐτῆς φησι. καὶ ἴσως περιφραστικῶς.

M έτηλις, πόλις αἰγυπτία, πλησίον ἀλεξανδρείας, ἣ νῦν βήχις λέγεται. τὸ ἐθνικὸν, μετηλίτης νόμος.

τὸ μῦ μετὰ τοῦ ἦτα.

M ήδαβα, πόλις τῶν ἀβαταίων. ὁ πολίτης, μηδαβηνός, ὡς οὐράνιος ἐν ἀραβικῶν δευτέρῳ.

M ηδία, χώρα, ταῖς κασπίαις παρακειμένη πύλαις. ἑκαταῖος ἀσίᾳ. ἀπὸ μήδου υἱοῦ

Μηδίας. τὸ ἐθνικὸν, Μῆδος ὁμοφώνως τῷ πρωτοτύπῳ. καὶ θηλυκὸν, Μηδίς. καὶ Μηδικὸς, καὶ Μήδιοι λέγονται. ὁ Μηδικὸς ὀπὸς, ἡ Μηδικὴ βοτάνη. Στράβων. φέρει δὲ σίλφιον ἡ χώρα, ἀφ' οὗ ὁ Μηδικὸς καλούμενος ὀπὸς, οὐ πολὺ λειπόμενος τοῦ Κυρηναϊκοῦ. καὶ πάλιν καὶ τὴν βοτάνην τὴν μάλιστα τρέφουσαν τοὺς ἵππους, τὴν Μηδικὴν καλοῦμεν.

Μήθυμνα, πόλις ἐν Λέσβῳ τῇ νήσῳ, ἀπὸ Μηθύμνης τῆς Μάκαρος θυγατρὸς, καὶ γυναικὸς Λεπετύμνου. ὁ πολίτης, Μηθυμναῖος. οὕτω γὰρ ἀναγράφει Ἐχεκρατίδης περιπατητικὸς, Ἀριστοτέλους συνήθης, καὶ Μυρσῖνος συγγραφεὺς, καὶ Ἀρίων, καὶ ἄλλοι πολλοὶ Μηθυμναῖοι. καὶ θηλυκὸν, Μηθυμναία χώρα, καὶ γυνή.

Μήκιστον, πόλις Τριφυλίας. Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ ἄλλη τῆς Ἤλιδος. τὸ ἐθνικὸν, Μηκίστιος.

Μηκύβερνα, πόλις Παλλήνης τῆς ἐν Θρᾴκῃ χερρονήσου. Ἑκαταῖος Εὐρώπῃ. ὁ πολίτης, Μηκυβερναῖος. οὕτω γὰρ ἀναγράφει Ἡγήσιππος ὁ τὰ Παλληνιακὰ συντεταχὼς, καὶ Φιλωνίδης, καὶ οἱ ἄλλοι.

Μῆλος, νῆσος μία τῶν Κυκλάδων, ὁμώνυμον ἔχουσα πόλιν. Φοίνικες ταύτην ᾤκησαν πρότερον. ὅθεν καὶ Βύβλος ἐκλήθη ἀπὸ τῶν Βιβλίων Φοινίκων, ἀλλὰ καὶ Ζεφυρία. ὁ πολίτης Διαγόρας ὁ Μήλιος, καὶ Σωκράτης, καὶ Ἀριστοφάνης. οἱ δὲ ἐν Θετταλίᾳ Μηλιεῖς. ἔστι καὶ κώμη τῆς Ἀκαρνανίας, ἧς τὸ ἐθνικὸν Μηλιεύς. καὶ διὰ τοῦ ᾱ δωρικῶς. γίνεται καὶ ἀπὸ τοῦ Μήλιος, Μηλιεὺς, καὶ Μηλιακὸς. καὶ Μηλὶς ἡ χώρα.

Μηλοῦσσα, νῆσος κατὰ Ἰβηρίας. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν, Μηλουσσαῖος.

Μῆνιγξ, νῆσος περὶ τὰς Σύρτεις, καὶ πόλις. τὸ ἐθνικὸν, Μηνίγγιος.

Μητρόπολις, Φρυγίας, ἀπὸ τῆς μητρὸς τῶν θεῶν οἰκισθεῖσα, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Φρυγίας. ἔστι καὶ ἄλλη Φρυγίας ὁμώνυμος. τρίτη, Λυδίας. τετάρτη, Θεσσαλίας. πέμπτη, Ἀκαρνανίας. τὸ ἐθνικὸν, Μητροπολίτης. ἕκτη, Δωριέων. ἑβδόμη, ἐν τῷ Πόντῳ Μοσυνικῶν. ὀγδόη, Σκυθίας. ἐννάτη, Εὐβοίας. δεκάτη, τῆς ἄνω Θετταλίας.

## Τὸ μῦ μετὰ τοῦ ἰῶτα.

Μιάκωρος, πόλις Χαλκιδική. Θεόπομπος κέ. Φιλιππικῶν. ὁ πολίτης, Μιακώριος.

Μιδάειον, πόλις Φρυγίας. ἐν δευτέρῳ Δευκαλιωνίας, καὶ Μιδαεῖς λέγονται. τὸ ἐθνικὸν, Μιδαειεὺς, καὶ Μιδαεὺς, καὶ Μιδάϊον.

Μίδεια, πόλις ἐν Ἄργει, ἡ νῦν κώμη, ἡ πρότερον Περσέως πόλις, ἀπὸ Μιδείας τῆς Ἀλέως θυγατρός. λέγεται καὶ χωρὶς τοῦ ι, Μίδεα. ὁ πολίτης, Μιδεάτης. καὶ θηλυκὸν, Μιδεᾶτις. καὶ Μιδεαῖος. ἔστι δὲ καὶ ἑτέρα πόλις Βοιωτίας. Ὅμηρος, οἵ τε πολυστάφυλον Ἄρνην εἶχον, οἵ τε Μίδειαν. ἔστι καὶ Λυκίας ἄλλη.

Μίεζα, πόλις Μακεδονίας, ἣ Στρυμόνιον ἐκαλεῖτο, ἀπὸ Μιέζης θυγατρὸς Βέρητος τοῦ Μακεδόνος, ὡς Θεαγένης ἐν Μακεδονικοῖς. Βέρης γὰρ τρεῖς ἐγέννησε, Μίεζαν, Βέρροιαν, Ὄλγανον. ἀφ' οὗ ποταμὸς ὁμώνυμος, καὶ πόλις Βερόη, καὶ τόπος Στρυμόνος. τὸ ἐθνικὸν, Μιεζεὺς, καὶ Μιεζαῖος. οὕτω γὰρ χρηματίζει Νικάνωρ καθαλούσιος.

Μίλητος, πόλις ἐπιφανὴς ἐν Καρίᾳ τῶν Ἰώνων. Ἑκαταῖος Ἀσίᾳ. Δίδυμος δὲ ἐν συμποσιακῷ φησιν, ὅτι πρῶτον Λελεγηῒς ἐκαλεῖτο, ἀπὸ τῶν ἐνοικησάντων. εἶτα Πιτύουσα, ἀπὸ τῶν ἐκεῖ πιτύων, καὶ ὅτι ἐκεῖ πρῶτον πίτυς ἔφυ. οἱ γὰρ ἐν τοῖς Θεσμοφόροις πίτυος κλάδον ὑπὸ τὴν στιβάδα. καὶ εὐθὺ τὰ τῆς Δήμητρος ἱερὰ κλάδον πίτυος ἐτίθεσαν, διὰ τὸ ἀρχαῖον τῆς γενέσεως. μετὰ δὲ ταῦτα ἀπὸ Ἄνακτος τοῦ γῆς καὶ οὐρανοῦ ὠνομάσθη Ἀνακτορία. ὁ πολίτης, Μιλήσιος. οὕτω καὶ Θαλῆς ὁ ἐξ Ἀμοίου παιδὸς Μιλήσιος ἐχρημάτιζε, καὶ Φωκυλίδης, καὶ Τιμόθεος κιθαρῳδὸς, ὃς ἐποίησε νόμων κιθαρῳδικῶν βίβλους ὀκτωκαίδεκα, εἰς ἐπῶν ὀκτακισχιλίων τὸν ἀριθμὸν, καὶ προνόμια ἄλλων χίλια. θνήσκει δ' ἐν Μακεδονίᾳ ἐπιγέγραπται δ' αὐτῷ τόδε, Πάτρα Μίλητος τίκτει Μούσαισι ποθεινὸν Τιμόθεον, κιθάρας δεξιὸν ἡνίοχον.

Μιλητούπολις, πόλις μεταξὺ Κυζίκου, καὶ Βιθυνίας, περὶ τὸν Ῥύνδακα. ἔστι καὶ ἄλλη ἐν Περσίδι. ὁ πολίτης, Μιλητοπολίτης. καὶ τὸ θηλυκὸν, ἡ Μιλητοπολῖτις. Στράβων δυοκαιδεκάτῃ.

Μίλκωρος, Χαλκιδικὴ πόλις ἐν Θρᾴκῃ. ὁ πολίτης, Μιλκώριος. Θεόπομπος εἰκοστῷ πέμπτῳ Φιλιππικῶν.

Μιλύαι, αἱ πρότερον Σόλυμοι, ὡς Τιμαγένης πρώτῳ Βασιλέων. καὶ ἡ χώρα Μιλυὰς, ὡς Μινυάς. λέγονται καὶ Μιλύαι, ἀπὸ Μιλύης τῆς γυναικὸς Σολύμου, καὶ ἀδελφῆς. ὕστερον δὲ Κράγου γυναικός. τὸ ἐθνικὸν, Μιλυεὺς, καὶ Μιλυΐτης.

Μιλωνία, πόλις Σαυνιτῶν ἐπιφανεστάτη. Διονύσιος ἑπτακαιδεκάτῳ. τὸ ἐθνικὸν, Μιλωνιά

Μίμαλκες, ἔθνος Λιβυκόν. Φίλιστος (της. Σικελικῶν ὀγδόῳ.

Μιμνηδὸς, πόλις Λυδῶν. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν, Μιμνήδιος, ὡς τῆς Λυχνίδος, Λυχνίδιος.

Μινναῖοι, ἔθνος ἐν τῇ παραλίᾳ τῆς Ἐρυθρᾶς θαλάσσης. Μαρκιανὸς ἐν Περίπλῳ αὐτῆς.

Μινύα,

M ινύα, πόλις θετταλίας, ἡ πρότερον ἁλμωνία, ἀφ᾽ ἧς ἡ μινύα, ἀπὸ Μινύου κληθεῖσα. καὶ μινύειον, καὶ μινυηῒς, καὶ μινυήϊος. ἔστι καὶ ἑτέρα φρυγίας ἐν τοῖς ὁρίοις λυδίας. τὸ ἐθνικὸν, μινύαι.

M ίνωα, ἐν ἀμοργῷ τῇ νήσῳ, μία τῶν κυκλάδων. δευτέρα, πόλις σικελίας. τρίτη, ἐν σίφνῳ, μία τῶν κυκλάδων. ἔχει δὲ μικρολίαν. ἐκαλεῖτο καὶ ἡ γάζα μινώα. ἔστι καὶ ἀραβίας, ἧς οἱ πολῖται, μινωῖται, ἀπὸ Μίνωος. ἔστι καὶ ἄλλη νῆσος, οὐ πόρρω μεγάρων. καὶ ἡ πάρος μινώα. οἱ πολῖται, μινῶαι.

M ίσγητες, ἔθνος ἰβήρων. ἑκαταῖος εὐρώπῃ.

M ισγομεναὶ, πόλις θετταλίας. ἑλλάνικος πρώτῳ δευκαλιωνείας. τὸ ἐθνικὸν, μισγομένιος, ὡς κλαζομένιος.

M ισητὸς, πόλις μακεδονίας. θεαγένης μακεδονικοῖς. τὸ ἐθνικὸν, μισήτιος, ὡς βηρύτιος.

M ίσκερα, πόλις σικανίας. θεόπομπος τεσσαρακοστῷ ἐννάτῳ φιλιππικῶν. τὸ ἐθνικὸν, μισκερεὺς, ὡς μεγαρεύς.

M ίσπλα, πόλις μήδων. ξενοφῶν τρίτῳ ἀναβάσεως. τὸ ἐθνικὸν, μισπλάτης.

Τὸ μῦ μετὰ τοῦ ο μικροῦ.

M όκαρσος, θρᾴκης χωρίον. θεόπομπος πρώτῳ φιλιππικῶν. τὸ ἐθνικὸν, μοκαρσσός.

M όκατα, βιθυνίας πόλις, ὡς δομίτιος καλλίστρατος ἐν τῷ περὶ ἡρακλείας τετάρτῳ. τὸ ἐθνικὸν, μοκατηνός.

M όκκλη, κώμη φρυγίας. οἱ οἰκήτορες, μοκκληνοί.

M ολορκία, πόλις νεμέας, ἀπὸ Μολόρκου τοῦ ξενίσαντος ἡρακλέα ἀπιόντα ἐπὶ τὸν ἀγῶνα. τὸ ἐθνικὸν, μολορκίτης.

M ολοσσία, ἡ χώρα τῆς ἠπείρου. ὁ οἰκήτωρ, μολοσσός. καὶ θηλυκὸν, μολοσσὶς, καὶ μόλοσσα οὐδετέρως, καὶ μολοττοὶ διὰ δύο τ. μολοττὸς, ὁ τόπος. τὸ κτητικὸν, μολοττικός.

M ολυβδίνα, πόλις μαστιηνῶν. ἑκαταῖος εὐρώπῃ.

M ολυκρία, πόλις αἰτωλίας. στράβων δεκάτῃ. θουκυδίδης μολύκρειον αὐτὴν καλεῖ. εὐφορίων δὲ, μολυκρίαν αὐτήν φησι. τὸ ἐθνικὸν, μολύκρειος. καὶ θηλυκῶς, καὶ οὐδετέρως. καὶ μολυκρεῖσαι, μολυκρειάς. λέγεται καὶ μολυκρειεύς. ἀρποκρατίων δὲ μολυκραίους φησί.

M ολυνδεια, πόλις λυκίας, ἀπὸ Μολυνδέως. ἀλέξανδρος ἐν τῷ περὶ λυκίας πρώτῳ. τὸ ἐθνικὸν, μολυνδεύς.

M οναβαὶ, πόλις ἰσαυρίας. καπίτων ἐν ἰσαυρικοῖς. τὸ ἐθνικὸν, μοναβάτης.

M ονόγισσα,            ἄρτεμις μονογισσηνὴ, ἵδρυμα δαιδάλου. μεγίσσα γὰρ τῇ καρῶν φωνῇ, λίθος ἑρμηνεύεται. νῦν δὲ τοὺς πλακώδεις καὶ μαλακώδεις λίθους γίσσα λέγομεν.

M όνοικος, πόλις λιγυστική. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, μονοίκιος.

M οργέντιον, πόλις ἰταλίας, ἀπὸ μοργήτων. λέγεται καὶ μοργεντία. τὸ ἐθνικὸν, μοργεντῖνος, καὶ μοργήτης λέγεται.

M όργυνα, πόλις σικελῶν. φίλιστος δευτέρῳ. τὸ ἐθνικὸν, μοργυναῖος.

M οσυνοικοι, ἔθνος, περὶ οὗ εὔδοξος ἐν πρώτῳ γῆς περιόδου. τὸ κτητικὸν, μοσυνοικικός.

M όσυλον, ἀκρωτήριον καὶ ἐμπόριον αἰθιοπίας. μαρκιανὸς ἐν πρώτῳ περιόδου.

M όσχοι, κόλχων ἔθνος, προσεχὲς τοῖς ματιηνοῖς. ἑκαταῖος ἀσία.

M οτηνοὶ, χωρίον ἰβηρίας, ἄποικον ῥωμαίων. πολύβιος τρίτῳ. φλέγων δὲ μουτηνὸν αὐτήν φησι. τὸ ἐθνικὸν, μοτηνός.

M οτύη, πόλις σικελίας, ἀπὸ Μοτύης γυναικὸς μηνυσάσης ἡρακλεῖ τοὺς ἐλάσαντας τοὺς αὐτοῦ βοῦς. ἑκαταῖος εὐρώπῃ. φίλιστος δὲ φρούριον αὐτήν φησι σικελίας παραθαλάττιον. τὸ ἐθνικὸν, μοτυαῖος.

M οτύλαι, σικελίας φρούριον περὶ τὴν μοτύλην. φίλιστος σικελῶν πέμπτῳ. τὸ ἐθνικὸν,

M ουκισσὸς, πόλις καππαδοκίας. μοτυλαῖος. καπίτων ἰσαυρικῶν ἕκτῳ.

M ούμαστις, ὡς βύβαστις, πόλις καρίας. ἀλέξανδρος δευτέρῳ καρικῶν. ὁ πολίτης, μουμαστίτης.

M ουνυχία, λιμὴν ἀττικῆς, ἀπὸ μουνύχου. καὶ ἱερὸν μουνυχίας ἀρτέμιδος. ὁ οἰκήτωρ, μουνύχιος, καὶ μουνυχιάς. τὰ τοπικὰ, μουνυχιάθεν, καὶ μουνυχίαζε, καὶ μουνυχίασι.

M οῦρσα, πόλις ἰωνίας, κτίσμα ἀδριανοῦ. τὸ ἐθνικὸν, μουρσαῖος, ὡς παρθένιος φωκαεύς. λέγεται καὶ μούρσιον.

M ούσειον, τόπος περὶ τὸν ὄλυμπον τὸν ἐν μακεδονίᾳ. πολύβιος τριακοστῷ ἑβδόμῳ. τὸ τοπικὸν, ἀναλόγως μουσειεὺς, ὡς στγειεύς.

M όψιον, πόλις τῆς πελασγιώτιδος χώρας θετταλίας. στράβων ἐννάτῃ. ἄλλος δέ ἐστι μόψος, ἀφ᾽ οὗ οἱ ἀττικοὶ μοψοπίαι. τὸ ἐθνικὸν, μόψιος.

M οψοπία, ἡ ἀττική, ἀπὸ Μόψοπος. καλλίμαχος, ἄρρητος, ἢ μόψοψ. ὁ πολίτης, μοψόπειος διὰ διφθόγγου, καὶ διὰ τοῦ ι. καὶ μοψοπιεύς. ἡρακλείδης ὁ ποντικὸς ἐν πρώτῳ μοψοπίτης φησί. καὶ ἔδει μοψοπιώτης. ἴσως δὲ καθ᾽ ὕφεσιν τοῦ ω. τὸ θηλυκὸν, μοψοπίς.

M οψουεστία, κιλικίας, ἐπὶ τῷ πυράμῳ ποταμῷ, ἀπὸ Μόψου τοῦ μάντεως. ὁ πολίτης, μοψεάτης κατὰ παραγωγὴν μιᾶς τῶν λέξεων. ἀφ᾽ οὗ ὁ γραμματικὸς ἡρακλείδης ὁ μοψεάτης.

Μυγδονία, μοῖρα μακεδονίας, καὶ ἑτέρα Φρυγίας τῆς μεγάλης, ἀπὸ Μύγδονος. τινὲς δὲ μαρδόνους αὐτούς φασι. τὸ κτητικὸν, μυγδονικός. καὶ θηλυκῶς, καὶ οὐδετέρως. λέγεται καὶ μυγδόνιος, καὶ μυγδονία. ἐλέγετο καὶ μυχθονία.

Μύγισσοι, πόλις καρίας. ἑκαταῖος τετάρτῃ γενεαλογιῶν. τὸ ἐθνικὸν, μυγίσιος, καὶ μυγισία ἀθηνᾶ, καὶ μυγισσαῖς.

Μύης, μύητος, ὡς φράγης, φράγητος, πόλις ἰωνική. ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, μυήσιος, ὡς φραγήσιος.

Μυκάλη, πόλις καρίας. ἡρόδοτος ἐν κλειοῖ. τὸ ἐθνικὸν, μυκαλήσιος, ὡς ἰθακήσιος. τρύφων δὲ μυκαλεύς φησιν ἐν παρωνύμοις. λέγεται καὶ θηλυκῶς μυκαλησὶς, ὡς σωσίστρατος ὁ φαναγορίτης. δίδυμος δὲ ὄρος τὴν μυκάλην φησίν. ἐκλήθη δὲ, ἐπεὶ αἱ λοιπαὶ γοργόνες τὸ σῶμα μυκώμεναι, τὴν κεφαλὴν μεδούσης ἀνεκαλοῦντο. οἱ δὲ, μυχάλην αὐτήν φασιν, ἐπεὶ ἐν μυχῷ κεῖται τῆς καρικῆς ἁλός. ἔστιν οὖν ἡ μυκάλη καὶ πόλις, καὶ ὄρος.

Μυκαλησσὸς, πόλις μεσογεία βοιωτίας. θουκυδίδης ἑβδόμῃ. ἐκλήθη δὲ ὅτι ἡ βοῦς ἐκεῖ ταῦθα ἐμυκήσατο ἡ τὸν κάδμον καὶ τὸν σὺν αὐτῷ στρατὸν ἀγαγοῦσα εἰς θήβας. ἔστι καὶ ἄλλη καρίας, ὡς ἔφορος τετάρτῳ. τὸ ἐθνικὸν, μυκαλήσιος, καὶ μυκαλησία. ἔστι καὶ ὄρος μυκαλησσὸς ἐναντίον σάμου. καὶ μυκαλησσὶς τὸ θηλυκόν.

Μυκῆναι, πόλις πελοποννήσου. ὅμηρος, οἱ δὲ μυκήνας εἶχον. ἀπὸ μυκηναίου τοῦ σπάρτωνος, τοῦ φορωνέως ἀδελφοῦ, ἢ ἀπὸ μύκητος τοῦ ξίφους, ὃ ἐφόρει περσεύς. οὗ πεσόντος κατὰ κέλευσιν χρησμοῦ, τὴν πόλιν ἔκτισεν. ἢ ἀπὸ τοῦ μυκήσασθαι τὴν ἰὼ βοῦν ἐκεῖ γενομένην. ὁ πολίτης, μυκηναῖος. καὶ θηλυκὸν, μυκηνὶς, καὶ μυκηνεύς.

Μυκοὶ, ἔθνος, περὶ οὗ ἑκαταῖος ἐν ἀσίᾳ. ἐκ μυκῶν εἰς ἀράξην ποταμόν.

Μύκονος, μία τῶν κυκλάδων, ἀπὸ μυκόνου τοῦ αἰνείου, τοῦ καρυστοῦ καὶ ῥυοῦς τῆς ζαρίκος. θουκυδίδης τρίτῃ, καὶ στράβων τρίτῃ. μύκονος δέ ἐστιν, ἐφ᾽ ἣ μυθεύονται κεῖσθαι τῶν γιγάντων τοὺς ὑστάτους ὑφ᾽ ἡρακλέους καταλυθέντας, ἀφ᾽ ὧν ἡ παροιμία, πάντα ὑπὸ μίαν μύκονον, ἐπὶ τῶν ὑπὸ μίαν γραφὴν ἀγαγόντων τὰ διῃρημένα τῇ φύσει. καὶ τοὺς φαλακροὺς δέ τινες μυκονίους καλοῦσιν, ἀπὸ τοῦ τὸ πάθος τοῦτο ἐπιχωριάζειν τῇ νήσῳ. ὁ νησιώτης, μυκόνιος.

Μυλαὶ, πόλις σικελίας. ἑκαταῖος εὐρώπῃ. ὁ πολίτης, μυλαΐτης, ὡς τῶν θηβῶν, θηβαΐτης. ἀθῆναι, ἀθηναΐτης. εἰσὶ γὰρ οἱ οὕτω λέγουσι. καὶ τὸ θηλυκὸν, μυλαΐτις. εἰσὶ δὲ μυλαὶ καὶ θετταλίας, ἧς τὸ ἐθνικὸν, μυλαῖος.

Μύλακες, ἔθνος ἠπειρωτικόν. λυκόφρων, κράθης δὲ γείτων, ἤγουν, μυλάκων ὄρος.

Μυλαντία, ἄκρα ἐν καμείρῳ τῆς ῥόδου. μυλάντιοι θεοί. ἀπὸ μύλαντος ἀμφότερα, τοῦ καὶ πρώτου εὑρόντος ἐν τῷ βίῳ τὴν τοῦ μύλου χρῆσιν.

Μύλασα, πόλις καρίας, ἀπὸ μυλάσσου τοῦ χρυσάορος, τοῦ γλαύκου, τοῦ σισύφου, τοῦ αἰόλου. λέγεται καὶ μύλας, ὡς αἰσχύλος ἐν καρσίνῃ. εὐρώπῃ. τὸ ἐθνικὸν, μυλασεύς. οὕτω γὰρ ἀναγράφουσι πολλοὶ, ὡς μένανδρος κατὰ ψευδομένων.

Μύλισιν, ἔθνος φρυγίας. ἑκαταῖος ἀσίᾳ.

Μύλων, πόλις αἰγύπτου. ἑκαταῖος. ὁ πολίτης, μυλοπολίτης.

Μύνδος, πόλις καρίας. ἑκαταῖος ἀσίᾳ. ἔστι καὶ πόλις καρίας ἄλλη παλαιὰ μύνδος, ἧς τὸ ἐθνικὸν, μύνδιος, καὶ μυνδία. ἀπολλώνιος καὶ ζήνων μύνδιοι γραμματικοί.

Μύνδονες, ἔθνος λιβύης. ἔφορος εἰκοστῷ ὀγδόῳ. μύνδονες εὐγνωμονέστατοι, δοκοῦσι δὲ εἶναι πλουσιώτατοι τὸν βίον.

Μυονία, πόλις φωκίδος. παυσανίας. οἱ πολῖται, μυονεῖς. θουκυδίδης μυονέας αὐτούς φησι.

Μυόννησος, πόλις μεταξὺ τέω, καὶ λεβέδου. ἑκαταῖος ἀσίᾳ. ἀρτεμίδωρος δὲ χωρίον αὐτήν φησιν. ὁ νησιώτης, μυοννήσιος.

Μυοῦς, πόλις ἰωνίας, ὡς φίλων, καὶ ἀπολλόδωρος ἐν α. χρονικῶν. στράβων ιβ. ἡ περὶ μαγνησίαν, καὶ μυοῦντα. τὸ ἐθνικὸν, μυούσιος.

Μύρων, πόλις λυκίας, ἀπὸ μύρα, ἢ ἀπὸ μύρωνος, ἢ ἀπὸ μύρου ποταμοῦ παραῤῥέοντος. ἄμεινον δὲ τὸ πρῶτον. λέγεται καὶ θηλυκὸν, καὶ οὐδέτερον. τὸ ἐθνικὸν, μυρεύς.

Μυργέται, ἔθνος σκυθικόν. ἑκαταῖος εὐρώπῃ. ἔν τισι τοῦ ἡρωδιανοῦ γράφεται κακῶς.

Μυρίκη, νῆσος ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ. μαρκιανὸς ἐν περίπλῳ αὐτῆς.

Μυρίανδρος, πόλις συρίας, πρὸς τῇ φοινίκῃ. ξενοφῶν ἐν πρώτῳ ἀναβάσεως. τὸ κτητικὸν, μυριανδρικὸς κόλπος.

Μυρικοῦς, πόλις καταντικρὺ τενέδου, καὶ λέσβου τῆς τροίας. ἑκαταῖος, ἐς μυρικόεντα τῆς τρωϊκῆς. οἱ πολῖται, μυρικούσιοι.

Μύρινα, πόλις ἐν λήμνῳ. ἑκαταῖος εὐρώπῃ. ἔστι καὶ τῆς αἰολίδος ἄλλη, ἀπὸ μυρίνης ἀμφότεραι, ἢ ἀπὸ μυρίνου. τὸ ἐθνικὸν, μυριναῖος. μυριναία δὲ, ἐπὶ τῆς χώρας. καὶ οὐδετέρως, μυριναῖον.

Μύριννος, τόπος, καὶ πόλις κτισθεῖσα παρὰ τῷ στρύμονι ποταμῷ. τὸ ἐθνικὸν, μυρκίννιος, καὶ μυρ

καὶ μυρκιννία. παρθένιος δὲ μυρκιννίαν αὐτήν φησι.

Μύρλεια, πόλις βιθυνίας, ἡ νῦν λεγομένη ἀπάμεια, ἀπὸ μύρλου τοῦ κολοφωνίων ἡγεμόνος. Νικομήδης δὲ ὁ ἐπιφανὴς, Προυσίου δὲ υἱὸς, ἀπὸ τῆς μητρὸς Ἀπάμας ἀπάμειαν ὠνόμασεν. οἱ δὲ, ἀπὸ Μυρλείας ἀμαζόνος. ὁ πολίτης, μυρλεανὸς, ὡς ἀσκληπιάδης μυρλεανὸς ἀναγράφεται. στράβων δὲ μυρλεάτιν καλεῖ τὴν χώραν. ἴσως ἀπὸ τούτου μυρλεάτης ἐστὶ, καὶ μυρλεανὸς κόλπος.

Μυρμήκιον, πολίχνιον τῆς ταυρικῆς. στράβων ἑβδόμῃ. ἡρωδιανὸς διὰ διφθόγγου γράφει, καὶ περισπᾷ τὸ ἐθνικόν. ἐὰν μὲν δίφθογγον, μυρμηκεύς. εἰ δὲ διὰ τοῦ ι, μυρμήκιος. ἀρτεμίδωρος δὲ μυρμηκίαν αὐτήν φησι.

Μυρμιδονία, χώρα τῶν μυρμιδόνων. οὕτω γὰρ ἡ αἴγινα ἐκλήθη.

Μυρμισσὸς, πόλις περὶ λάμψακον, ὡς πολέμων. τὸ ἐθνικὸν, μυρμίσσιος.

Μυρινοῦς, δῆμος τῆς πανδιονίδος φυλῆς. ὁ δημότης, μυρινούσιος. τὰ τοπικὰ, μυρινουντόθεν. μυρινουντάδε. μυρινουντίσι. διονύσιος δὲ ὁ ζύφωνος μυρινοῦντά φησιν. ὁ δημότης, ἐκ μυρινούττης διὰ δύο ττ.

Μυρσῖνος, πόλις ἤλιδος. καὶ μύρσινος ἐκαλεῖτο ὡσαύτως. ὕστερον δὲ μυρτώντιον ἐκλήθη. τὸ ἐθνικὸν, εὕρηται μυρσίνιος.

Μύρτουσα, ὄρος λιβύης. ὁ οἰκήτωρ, μυρτουσαῖος, καὶ μυρτίασιος.

Μύρωνος, νῆσος τοῦ ἀραβικοῦ κόλπου. τὸ ἐθνικὸν, μυρωνονησίτης, ἢ μυρωνονησιώτης.

Μυσία, χώρα, καὶ πόλις. λυδοὶ γὰρ τὴν ὀξύην μυσὴν φασι. λέγονται καὶ μυσοὶ, καὶ μύσιοι, καὶ μυσέδιος αἰολικῶς.

Μυστία, πόλις σαυνιτῶν. φίλιστος ἑνδεκάτῳ. οἱ οἰκήτορες, μυστιανοὶ, ὡς τῆς ὠστίας, ὠστιανοί.

Μυτιλήνη, πόλις ἐν λέσβῳ μεγίστη. ἑκαταῖος εὐρώπῃ. ἀπὸ μυτιλήνης τῆς Καίσαρος θυγατρὸς, ἢ πέλοπος. οἱ δὲ, ὅτι μυτίλης ἦν ὁ οἰκιστής. οἱ δὲ, ἀπὸ μύτωνος τοῦ ποσειδῶνος, καὶ μυτιλήνης. ὅθεν μυτωνίδα καλεῖ τὴν λέσβον καλλίμαχος ἐν τῷ τετάρτῳ. παρθένιος δὲ μυτωνίδας τὰς λεσβικάς φησι. λέγονται καὶ μύτωνες, καὶ μυτωναῖοι, καὶ μυτιληναῖος.

Μυτίστρατα, φρούριον σικελίας. φίλιστος δεκάτῃ. τὸ ἐθνικὸν, μυτιστρατῖνος, ὡς αὐτός.

Μυτίστρατον, πολίχνιον περὶ καρχηδόνα. πολύβιος πρώτῳ. τὸ ἐθνικὸν, μυτιστράτιος, ὡς στρατὸς, στράτιον ἡ ἀκαρνανικὴ πόλις.

Μύων, πόλις λοκρῶν ἐν τῇ ἠπείρῳ. οἱ πολῖται, μύωνες, ὡς θουκυδίδης τρίτῃ. λέγονται καὶ μυωνεῖς.

Τὸ μυ μετὰ τοῦ ω μεγάλου.

Μῶβα, μοῖρα τῆς ἀραβίας. οὐράνιος ἐν ἀραβικῶν δευτέρῳ. οἱ οἰκοῦντες, μωβηνοί. καὶ θηλυκῶς, μωβηνή. ἔοικε δ' ἐνδεῖν τὸ πρῶτον. ἦν γὰρ μώαβα. καὶ τὸ ἐθνικὸν, μωαβίτης. τὸ θηλυκὸν, μωαβῖτις.

Μωθὼ, κώμη ἀραβίας, ἐν ᾗ ἔθανεν Ἀντίγονος ὁ μακεδὼν ὑπὸ Ραβίλου τοῦ βασιλέως τῶν ἀραβίων, ὡς οὐράνιος ἐν πέμπτῳ. ὅ ἐστι τῇ ἀράβων φωνῇ, τόπος θανάτου. οἱ κωμῆται, μωθηνοὶ κατὰ τὸν ἐγχώριον τύπον.

Μῶλυς, λίβυσσα πόλις. ἑκαταῖος περιηγήσει λιβύης. τὸ ἐθνικὸν, μωλύτης τῷ τύπῳ τῶν λιβυσσῶν πόλεων, καὶ μωλυάτης.

Μωμεμφις, πόλις αἰγύπτου. ἡρόδοτος δευτέρᾳ. κλίνεται μωμέμφεως, ὡς ἀρίσταρχος. καὶ μωμεμφίτης νόμος.

Μωνυχία, λιμὴν τῆς ἀττικῆς, οὗ τὴν εἰς τόπον θέσιν φησὶ θουκυδίδης ὁ τῶν μουνυχίασι τεταγμένος ἄρχων.

Μωρεῖς, ἔθνος ἰνδικὸν, ἐν ξυλίνοις οἰκοῦντες οἴκοις, ὡς εὐφορίων.

## ΑΡΧΗ ΤΟΥ ΝΥ ΣΤΟΙΧΕΙΟΥ.

Τὸ νυ μετὰ τοῦ ἄλφα.

ν Νααρδα, πόλις συρίας, πρὸς τῷ εὐφράτῃ, ὡς ἀρριανὸς παρθικῶν ἑνδεκάτῳ. τὸ ἐθνικὸν, νααρδηνὸς τῷ ἐγχωρίῳ τύπῳ.

Ναβαταῖοι, ἔθνος τῶν εὐδαιμόνων ἀράβων, ἀπὸ ναβάτου τινός. ναβάτης δέ ἐστιν ὁ ἐκ μοιχείας γενόμενος. ἀπὸ οὖν τοῦ ναβάτης, ναβαταῖος, καὶ ναβατηνὴ ἡ χώρα. καὶ Ναβατηνὸς ὄνομα κύριον.

Νάγιδος, πόλις μεταξὺ κιλικίας, καὶ παμφυλίας. ἑκαταῖος ἀσίᾳ. μετὰ δὲ, νάγις πόλις, ἀπὸ τοῦ Νάγιδος κυβερνήτου. καὶ νῆσος ναγιδοῦσα. νάγιδος δ' ἐκλήθη διὰ τὸ Νάγιν αὐτὴν κτίσαι. ὁ πολίτης, ναγιδεύς.

Ναϊσσὸς, πόλις θρᾴκης, κτίσμα, καὶ πατρὶς Κωνσταντίνου τοῦ βασιλέως. τὸ ἐθνικὸν, ναϊσσηνός. καὶ ἔοικεν ἀπὸ τοῦ ναΐσσος, ναϊσσίτης, καὶ κατὰ παραγωγὴν ἐπιχωρίως ναϊσσηνός.

Ναρήκασος, δῆμος, καὶ πόλις καρίας. ἀπολλόδωρος δεκάτῳ καρικῶν. ὁ δημότης, καὶ ὁ πολίτης, ναρηκασεύς.

N ακολία, πόλις φρυγίας. στράβων δυοκαιδεκάτῃ. καὶ ἔστιν οὐδέτερον. ἀπὸ Νακόλης νύμφης. καὶ ὡς παρ' ἀπὸ τοῦ νύμφης, νύμφαι, καὶ ἥρας, ἧραι, οὕτω νακόλας, νακόλαι. τὸ ἐθνικὸν, νακολεύς. εἰ δ' ἐστὶ νακόλεια διὰ διφθόγγου, παρὰ τὸν Νάκολον τὸν Δασκόλου παῖδα. τὸ ἐθνικὸν, νακολεὺς, ὡς τὸ σέλευκος, σελευκεύς.

N ακόνη, ὡς ἀλκόνη, πόλις σικελίας. τὸ ἐθνικὸν, νακοναῖος. φίλιστος ἕκτῳ σικελικῶν.

N αξία, πόλις καρίας. ἐν πρώτῳ περὶ καρίας. τὸ ἐθνικὸν, ναξιεὺς τῷ τύπῳ τῆς χώρας, καὶ ναξιάτης.

N άξος, νῆσος τῶν κυκλάδων, ἡ διάσημος, ἀπὸ τοῦ Νάξου καρῶν ἡγεμόνος. ἄλλοι δὲ ἀπὸ Νάξου τοῦ Ενδυμίωνος. εὐφορίων. παρὰ τὸ νάξαι, ὅ φασι θῦσαι ζῆνες. ἀσκληπιάδης ἱστορεῖ τὰς ναξίνας γυναῖκας μόνας ὀκτάμηνα τίκτειν. ἢ διὰ τὸ τὴν ἥραν φίλην γενομένην τῷ διονύσῳ, ταῖς ναξίαις τοῦτο δῶρον παρασχεῖν, ἢ ὅτι καὶ αὐτὸς ὁ διόνυσος οὕτως ἐτέχθη. καὶ ὅτι ἐστὶν ἐκεῖ κρήνη, ἐξ ἧς οἶνος ῥεῖ μάλα ἡδύς. ἔστι καὶ πόλις σικελίας, καὶ ἄλλοι τόποι νάξοι. τὰ ἐθνικὰ, νάξιοι, ἀφ' οὗ καὶ ναξία λίθος, ἡ κρητικὴ ἀκόνη. λέγεται καὶ θηλυκὸν ναξιάς, ἀπὸ τοῦ νάξιος. ἡ δὲ κρητικὴ ἀκόνη ἐὰν διὰ τοῦ ·ι· γράφεται, ἡ διακρίνουσα, καὶ φανδροῦσα σημαίνει.

N απάται, πόλις λιβύης, πρὸς τῇ αἰθιοπίᾳ. τὸ ἐθνικὸν, ἔδει ναπατίτης, ἔστι δὲ ναπαταῖος, ὡς ἀλέξανδρος ἐν πρώτῳ αἰγυπτιακῶν.

N άπη, πόλις λέσβου. ἑλλάνικος ἐν δευτέρῳ λεσβιακῶν. ὁ πολίτης, ναπαῖος. καὶ ἀπόλλων ναπαῖος. εἰσὶ καὶ Ναπαῖοι ἠπείρου. ἔστι καὶ μέρος ὄρους νάπη, καὶ ναπαῖος τὸ ἐκ τούτου.

N άπις, κώμη σκυθίας. ὁ οἰκήτωρ, ναπάτης, ἢ ναπίτης τῆς κώμης. καὶ ναπῖται ἐθνικόν.

N αρβὼν, ἐμπόριον καὶ πόλις κελτική. στράβων τετάρτῃ. μαρκιανὸς δὲ ναρβονησίαν αὐτήν φησι. τὸ ἐθνικὸν, ναρβωνίτης, ὡς ἀσκαλωνίτης. ἔστι καὶ λίμνη ναρβωνῖτις, ὡς ἀσκαλωνῖτις. καὶ ποταμὸς ἀτακός. ἑκαταῖος δὲ ναρβαίους αὐτούς φησι.

N αρβὶς, ἰλλυρίας πόλις.

N άρθηκις, νησίδιον ἐγγὺς σάμου, ἐν δεξιᾷ τοῖς προσπλέουσι πρὸς τὴν πόλιν. τὸ ἐθνικὸν, ναρθη

N άρμαλις, πόλις πισιδίας, ὡς κάβαλις. οἱ πολῖται, ναρμαλεῖς, ὡς καβαλεῖς, ὡς ἔφορός φησι.

N αρυία, πόλις σαυνιτῶν, ἀπὸ τοῦ παραῤῥέοντος ποταμοῦ νάρνου, ὡς διονύσιος ὁ κτωκαιδεκάτῳ ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν, ναρνιάτης, ὡς καυλωνιάτης.

N άρυξ, πόλις λοκρίδος, θηλυκῶς λεγομένη. τινὲς δὲ ναρύκιον τὴν πόλιν φασὶν, ἐξ ἧς Αἴας. ὁ πολίτης, ναρύκιος. καὶ ναρυκία δὲ οὐδετέρως. λέγεται καὶ ναρύκη, καὶ ναρυκαῖος θηλυκῶς, καὶ οὐδετέρως.

N ασαμῶνες, ἔθνος ἐν λιβύῃ, ὡς καλλίμαχος. καὶ νασαμονὶς, ἀπὸ Νασαμῶνος τινός.

N άπος, πόλις θρᾴκης. γράφεται καὶ νέστος. ἀπολλόδωρος δευτέρᾳ περιηγήσει.

N αύκρατις, πόλις αἰγύπτου, ἀπὸ μιλησίων τότε θαλασσοκρατούντων. καὶ στράβων ἑπτακαιδεκάτῃ. ὁ πολίτης, ναυκρατίτης. καὶ θηλυκῶς. καὶ ναυκρατιώτης, ὡς πηλουσιώτης. ἴσως ἀπὸ τοῦ ναυκράτιον. ἢ ναυκρατία, ὡς ἰταλία, ἰταλιώτης.

N αύπακτος, πόλις αἰτωλίας, ἀπὸ ναυπηγίας τῶν ἡρακλειδῶν, ὡς ἔφορος, καὶ στράβων. ὁ πολίτης, ναυπάκτιος, καὶ ναυπακτία.

N αυπλία, πόλις ἄργους. στράβων ὀγδόῃ. ἀπὸ τοῦ ταῖς ναυσὶ προσπλεῖσθαι. οἱ οἰκοῦντες, ναυπλιεῖς, ὡς στράβων, καὶ ναυπλία.

τὸ νῦ μετὰ τοῦ ·ε· ψιλοῦ.

N έαι, νῆσος πλησίον λήμνου, ἐν ᾗ φιλοκτήτης καταλείναις ἐδήχθη ὑπὸ ὕδρου. ἐκλήθη δὲ ἀπὸ τοῦ προσνήξασθαι ἡρακλέα. τὸ ἐθνικὸν, νεαῖος. ἔστι καὶ νέα κώμη, καὶ φρούριον μυσίας. τὸ ἐθνικὸν, τὸ αὐτό.

N εάνδρεια, πόλις τρῳάδος ἐν ἑλλησπόντῳ, ὡς χάραξ. ἔνιοι δὲ λέανδρος γράφει διὰ τοῦ ·λ· κακῶς. λέγεται καὶ νεάνδριον οὐδετέρως, ὡς θεόπομπος. ὁ πολίτης, νεανδρεὺς, ὡς στράβων.

N εάπολις, πόλις ἰταλίας διάσημος, ἐν ᾗ Παρθενόπη ἥρηται μία τῶν σειρήνων. ὁ πολίτης, νεαπολίτης. ἔστι καὶ ἄλλη λιβύης, καὶ ἄλλαι.

N έγλα, πολίχνιον ἀραβίας. γλαῦκος δευτέρῳ ἀραβικῆς γενεαλογίας. τὸ ἐθνικὸν, νέγλιος, ἢ νεγλίτης τῷ ἔθει τῆς χώρας.

N έδη, πόλις ἀρκαδίας, ἀπὸ νύμφης Νέδης. εὐφορίων δὲ νεδέην καὶ αὐτός φησι. τὸ κτητικὸν, νεδήσιος.

N έδων, πόλις, καὶ τόπος τῆς λακωνικῆς. τὸ τοπικὸν, νεδούσιος, καὶ νεδουσία ἡ ἀθηνᾶ. κλίνεται δὲ νέδοντος.

N εῖλος, πόλις αἰγύπτου. ἑκαταῖος περιηγήσει αὐτῆς. καὶ ἱερὸν νείλου ποταμοῦ. τὸ ἐθνικὸν τῆς πόλεως, νειλοπολίτης. εἰ δὲ ἡ πόλις μόνη κέκληται, ὀφείλει εἴπεσθαι τῷ κτητικῷ

κτητικῷ τοῦ ποταμοῦ νειλαῖος, ὡς ἀπολλώνιός φησιν· ὅσα γὰρ τῶν κτητικῶν πρὸ τοῦ ·ι·, ἢ τὴν γενικὴν ποιεῖ τοῦ πρωτοτύπου, ἢ τὴν εὐθεῖαν, ταῦτα μόνον διὰ τοῦ ·ι· ἐκφέρονται· ποσειδώνιος· ἑλικώνιος· ῥόδιος· σάβιος. τὰ δὲ φύσει διὰ διφθόγγου παραληγόμενα, οὐδέποτε τὸ προκείμενον σχῆμα ἀποτελεῖ· οὔτε γὰρ τὸ κηπαῖος, ἢ νειλαῖος ἐθνικὸν αὐτὸ ὁμολόγως παραλαμβάνει.

N έμαυσος, πόλις ἰταλίας, ἀπὸ Νεμαύσου ἡρακλείδου, ὡς παρθένιος· τὸ ἐθνικὸν, νεμαύσιος, ἢ νεμαυσῖνος διὰ τὴν χώραν.

N εμέα, χώρα τῆς ἤλιδος. ἐν ταύτῃ δρύοπες ᾤκησαν· τὸ ἐθνικὸν, νέμεος, καὶ νεμεαῖος· στράβων ὀγδόῃ· καὶ νεμέα λέγεται, καὶ νεμεήτης ζευξις, καὶ νεμεῆται· οἱ πολῖται τῆς λοκρίδος πόλεως, νέμειοι· καὶ νεμεῆθεν ἐπίρρημα.

N εοκαισάρεια, ποντικὴ πόλις· τὸ ἐθνικὸν, νεοκαισαρεὺς, ὡς φλέγων πεντεκαιδεκάτῳ ὀλυμπιάδος· οἱ αὐτοὶ καὶ ἀδριανοπολῖται· ἔστι καὶ βιθυνίας.

N έον τεῖχος, τῆς αἰολίδος, ὡς χωλὸν τεῖχος· τὸ ἐθνικὸν, νεοτειχίτης, ὡς χωλοτειχίτης, ὡς ἡρόδοτος ἐν ὁμήρου βίῳ.

N έπετος, πόλις ἰταλίας· διονύσιος τεσσαρεσκαιδεκάτῳ ῥωμαϊκῆς ἀρχαιολογίας· τὸ ἐθνικὸν, νεπετῖνος· ἡ συνήθεια τοῦ ·τ· εἰς ·σ· ἰδιάζουσα, καὶ σεσημείωται.

N έστων, πόλις θετταλίας· διονύσιος τετάρτῳ γιγαντιάδος· τὸ ἐθνικὸν, νεστωνίτης τῷ κοινῷ τύπῳ.

N έστος, πόλις, καὶ ποταμὸς ἰλλυρίας· τὸ ἐθνικὸν, νέστιος, ὡς ἀρτεμίδωρος δευτέρῳ γεωγραφουμένων· καὶ νεστὶς ἡ χώρα.

N εῦροι, ἔθνος τῆς σαρματίας· διονύσιος ἐν περιηγήσει. καὶ νευρὶς ἡ χώρα· λέγονται καὶ νευρεῖται.

N εφελοκοκκυγία, πόλις κωμικῶς ἐπινοηθεῖσα παρὰ ἀριστοφάνους, καὶ ἑνικῶς, καὶ πληθυντικῶς λεγομένη· τὸ ἐθνικὸν, νεφελοκοκκυγιεύς.

N εφθαλῖται, ἔθνος κρατιστεῦον τῆς ἕω, ὡς ἰώσηπος· καὶ θηλυκῶς, νεφθαλῖτις.

N έων, πόλις φωκίδος· ἡρόδοτος ὀγδόῃ· τὸ ἐθνικὸν, νεώνιος, ὡς ἐλεὼν, ἐλεώνιος· καὶ νεωνία, καὶ νεωναῖος.

## τὸ νῦ μετὰ τοῦ ἦτα.

N ήϊον, ὄρος ἰθάκης, ἀφ' οὗ καὶ ἡ κράτηνα αἱ νηϊάδες· οἱ δὲ, τὰς διατριβούσας ἐπὶ τὰ νάματα· τὸ δὲ ὑπονήϊον, συνθετὸν, ὡς τὸ ὑπὸ τὸ ἐπικνημίδιον· αἱ δὲ νηϊάδες, ἀπὸ τοῦ νηΐος, ἢ ἀπὸ τοῦ νηΐδος.

N ηκουΐα, πόλις ὀμβρικῶν· διονύσιος ἑπτακαιδεκάτῳ ῥωμαϊκῆς ἀρχαιολογίας· τὸ ἐθνικὸν, νηκουϊάτης.

N ήραβος, πόλις συρίας· νικόλαος τετάρτῳ. τὸ ἐθνικὸν, νηράβιος, ὡς τοῦ τόῤῥηβος, τοῤῥήβιος.

N ήρικος, πόλις ἀκαρνανίας, ἣν ὅμηρος ἀκτήν φησιν ἠπείροιο, ἥτις ἐστὶν ἀκαρνανία· λούπερκος δὲ ταύτην νήριτός φησιν, ἢ νήριτος, ὡς τὸ ὄρος· ὁ πολίτης, νηρίκιος, καὶ νηρικία· καὶ τὸ κτητικὸν τοῦ ὄρους, νηρίτιος.

N ηΐς, πόλις μεσήνης· νικόλαος τετάρτῳ.

N ησαῖον, πεδίον· ἀφ' οὗ παρὰ μήδοις οἱ νησαῖοι ἵπποι.

N ῆσος, ἡ ἐν θαλάσσῃ πόλις· ὁ ταύτην οἰκῶν, νησίτης, ὡς κάνωβος, κανωβίτης· τοῦ δὲ νησίου, νησιώτης, καὶ νησιῶτις θηλυκῶς· καὶ νησαῖος, ὡς χερσαῖος· τὸ κτητικὸν, νησιωτικός· ἔστι καὶ νῆσος πόλις ἰβηρική.

## τὸ νῦ μετὰ τοῦ ἰῶτα.

N ισώπη, νῆσος λέσβου, ἡ τὸν σίγειον λιμένα ποιοῦσα· τὸ ἐθνικὸν, νισωπαῖος.

N ίβις, πόλις αἰγύπτου· φλέγων ἑκατοστῷ τεσσαρακοστῷ ὀλυμπιάδος· τὸ ἐθνικὸν, νιβίτης, ὡς μεμφίτης.

N ίγρητες, ἔθνος λιβύης, ἀπὸ ποταμοῦ νίγρητος· διονύσιος, καὶ ἀγχέμαχοι νίγρητες.

N ίκαια, πόλις βιθυνίας, βοττιαίων ἄποικος· ἐκαλεῖτο δὲ πρότερον ἀγκώρη· εἶτα, ἀντιγόνεια· ὕστερον δὲ ἀπὸ τῆς λυσιμάχου γυναικὸς νίκαια ἐκλήθη. δευτέρα, τῶν ἐπικνημιδίων λοκρῶν· τρίτη, ἐν ἰλλυρίδι· δ, ἐν ἰνδοῖς· πέμπτη, ἐν κύρνῳ τῇ νήσῳ· ἕκτη, ἐν λεύκτροις τῆς βοιωτίας· ἑβδόμη, κελτικῆς, μασσαλιωτῶν ἄποικος· ὀγδόη, θρᾴκης· εἰσὶ καὶ ἄλλαι, αἱ περὶ θερμοπύλας, καὶ θρᾴκας· λέγεται δὲ προπαροξυτόνως· εἰ δ' ἔστι νικαῖος, τὸ θηλυκὸν, νικαία· ὁ πολίτης, νικαιεὺς, καὶ νικαεὺς διχῶς· ἐξ αὐτοῦ, ἀρηγόνος, καὶ ἀσκληπιάδης, καὶ παρθένιος, καὶ ἀπολλόδωρος, καὶ Επιθέρσης γραμματικὸς γράψας περὶ λέξεων ἀττικῶν, καὶ κωμικῶν, καὶ τραγικῶν.

N ικασία, νησίδιον μικρὸν πλησίον νάξου. τὸ ἐθνικὸν, νικάσιος, ὡς θηράσιος· καὶ θηλυκῶς, καὶ οὐδετέρως· ἔστι καὶ ὄνομα κύριον Νικάσιος.

N ικάτορις, πόλις συρίας πρὸς τῇ εὐρώπῃ, κτίσμα Σελεύκου τοῦ νικάτορος· τὸ ἐθνικὸν, νικατορίτης.

N ικηφόριον, οὕτως ἡ κωνσταντίνα ἡ περὶ ἔδεσσαν πόλις. τὸ ἐθνικὸν, νικηφόριος, ὡς βυζάντιος.

N ικίου κώμη, αἰγύπτου. Ἀρισταγόρας αἰγυπτιακῶν δευτέρῳ. ὁ οἰκήτωρ, νικιώτης, ὡς φησιν ὧρος ἐθνικῶν πρώτῳ.

N ικομήδεια, πόλις βιθυνίας, ἀπὸ Νικομήδους τοῦ ζήλα παιδὸς ἐπισημοτάτου βασιλέως. ἣ καὶ ὀλβία ἐκλήθη. ὁ πολίτης, νικομηδεύς. καὶ τὸ κτητικὸν, νικομήδειος. καὶ θηλυκῶς, καὶ οὐδετέρως, ὡς ἀρριανός.

N ικομήδειον, ἐμπόριον βιθυνίας. ἀρριανὸς πέμπτῳ βιθυνιακῶν. τὸ ἐθνικὸν, νικομηδεύς. δύναται καὶ νικομηδειεύς.

N ικόπολις, πόλις ἠπείρου, ὡς μαρκιανός. ἔστι καὶ βιθυνίας. ἔστι καὶ ἄλλη τῆς μικρᾶς ἀρμενίας. ὁ πολίτης, νικοπολίτης, ὡς παυσανίας δεκάτῳ.

N ικωνία, πόλις ἐν τῷ πόντῳ πρὸς ταῖς ἐκβολαῖς τοῦ ἴστρου. στράβων ἑβδόμῃ. τὸ ἐθνικὸν, νικωνιάτης, ὡς ῥιθυμνιάτης.

N ίναια, πόλις οἰνώτρων ἐν τῇ μεσογαίᾳ. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, ναιναῖος, ἢ νιναιεύς.

N ινόη, ἡ ἐν καρίᾳ ἀφροδισιὰς, κτισθεῖσα ὑπὸ τῶν πελασγῶν λελέγων. καὶ ἐκλήθη λελέγων πόλις. εἶτα ἐκλήθη μεγαλόπολις. εἶτα ἀπὸ Νίνου, νινόη. τὸ ἐθνικὸν, νινοήτης, ὡς τὸ πύλη, πυλήτης. ὅθεν πυλάτιδες ἀγοραί. καὶ λίμνη, λιμνήτης.

N ῖνος, πόλις ἀσσυρίων, ἣν ἔκτισε Νῖνος Σεμιράμιδος ἀνὴρ ἐν τῇ ἀσσυρίᾳ. οἱ πολῖται, νίνιοι. στράβων πεντεκαιδεκάτῃ.

N ισαία, ἐπίνειον μεγαρίδος. καὶ αὐτὴ ἡ μεγαρὶς ἀπὸ Νίσου τοῦ πανδίονος. ἑλλάνικος ἐν ἱερειῶν πρώτῳ, καὶ ἐν τῷ δευτέρῳ. καὶ νισαίαν εἷλε, καὶ νίσον τὸν πανδίονος, καὶ μεγαρέα τὸν ἀγχίσιον.

N ίσιβις, πόλις ἐν τῇ ἀραβίᾳ τῇ πρὸς τῷ τίγρητι ποταμῷ. φίλων ἐν φοινικικοῖς, νάσιβις διὰ τοῦ α. οὐράνιος δὲ διὰ τοῦ ε νέσιβις. σημαίνει δὲ ὥς φησι φίλων νάσιβις τὰς στήλας. ὡς δὲ οὐράνιος νέσιβις φησὶ, σημαίνει τῇ φοινίκων φωνῇ λίθοι συγκείμενοι, συμφορητοί. στράβων δὲ ἑκκαιδεκάτῃ διὰ τοῦ ι. τὸ ἐθνικὸν, νισιβηνός. καὶ ἔδει νισιβίτης, ἀλλ᾽ ὁ τύπος αἰγύπτιος, καὶ λιβύης. ὁ δὲ διὰ τοῦ ηνος, παρὰ τὴν εὐφράτην, καὶ τὴν ἕω, ὡς σωφηνός, ταξηνὸς, καμβυσηνός.

N ίσυρος, μία τῶν κυκλάδων. οἵ δ᾽ ἄρα νίσυρόν τ᾽ εἶχον. πολυβώτης γὰρ εἷς τῶν γιγάντων ὑπὸ διὸς βληθεὶς, ἣν εἶχε τὸ. ποσειδῶν δὲ ἐπ᾽ αὐτὸν ἀφεὶς τὴν τρίαιναν, τοῦ μὲν, ἥμαρτε. γέγονε γὰρ νῆσος τὸ βληθὲν νίσυρος. ἐκαλεῖτο καὶ πορφυρὶς, ἀπὸ τῶν ἐν αὐτῇ πορφυρέων. ὁ οἰκήτωρ, νισύριος, καὶ νισυριακός.

N ίτραι, τόπος αἰγύπτου. στράβων ἑπτακαιδεκάτῃ. τὸ ἐθνικὸν, νιτρίτης, καὶ νιτριώτης.

ἔστι καὶ νόμος νιτριώτης.

N ιφάτης, ὄρος ἀρμενίας. οὕτω γὰρ ἀρκάδιος. ἔοικε δὲ παρὰ τὸ νείφειν. ἀλλ᾽ ὀνοματικῶς διὰ τοῦ ι γράφεται. καὶ πείσανδρος ἑβδόμῳ, ταύρου πρυμνώρεια, ἐΰσκολον ἀντινιφάτην.

N ίψα, πόλις θρᾴκης. ὁ πολίτης, νιψαῖος. ἡρωδιανὸς τετάρτῃ.

## τὸ νῦ μετὰ τοῦ ο μικροῦ.

N όαι. τὸ ἐθνικὸν, νοαῖος. ὁ τύπος γὰρ οὐκ ἀήθης αὐτοῖς. ἔστι δὲ πόλις σικελίας. ἀπολλόδωρος δευτέρῳ χρονικῶν.

N ομαντία, πόλις ἰβηρίας. ἰόβας ἐν δευτέρῳ ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν, νουμαντῖνος λέγεται διὰ τῆς ου.

N όμβα, πόλις τῆς ἰουδαίας. ἰώσηπος ἐκ τῷ τῆς ἰουδαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν, νομβαῖος.

N όσσρα, νῆσος ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ. οὐράνιος ἀραβικῶν. ὁ νησιώτης, νοσσρηνός. ἐγχώριος ὁ τύπος.

N οσία, κώμη ἀρκαδίας. θεόπομπος ξιακοστῷ δευτέρῳ φιλιππικῶν. ἔφορος. τὸ ἐθνικὸν, ἑσανικὸς ἔφη. ὥστε κατ᾽ αὐτὸν ἑστιανίαν λέγεσθαι. ἢ αὐτὴ γὰρ τῇ προτέρᾳ, ὡς δῆλον ἐξ ἄλλων.

N ότιον, πόλις ἰωνίας. ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, νοτιεύς.

N οῦβαι, ἔθνος λιβύης παρὰ νείλῳ. ἀπολλόδωρος δευτέρῳ περὶ γῆς. λέγονται καὶ νουβαῖοι, ὡς θηβαῖοι. καὶ νουμίδες οἱ αὐτοί.

N ουκερῖνοι, ἔθνος ἰταλίας. πολύβιος ξίτῳ. τὸ πρωτότυπον αὐτῶν, νουκερία.

N ουκερία, πόλις τυρσηνίας. φίλιστος ιε. ια. καὶ τὸ ἐθνικὸν, νουκερῖνος. εὕρηται καὶ νακερία διὰ τοῦ α.

## τὸ νυ μετὰ τοῦ υ ψιλοῦ.

N υμφαία, θηλυκὸν, ἡ νῆσος καλυψοῦς, παρὰ τῷ ἀδρίᾳ. τὸ ἐθνικὸν, νυμφαῖος, ὡς τῆς αἰαίας, αἰαῖος.

N ύμφαιον, πόλις ταυρικὴ, μεταξὺ παντικαπαίου μητροπόλεως, καὶ θεοδοσίας, ὥς φησι στράβων. τὸ ἐθνικὸν δύναται ὡς ἡραιεὺς, νυμφαιεύς. τὸ δὲ νυμφαῖος κτητικὸν, ἀπὸ τῶν νυμφῶν. λέγεται καὶ νυμφαΐτης.

N υμφὰς, ἀρκαδίας. παυσανίας ὀγδόῳ. τὸ ἐθνικὸν, νυμφάσιος, καὶ νυμφασία πηγή.

N ύραξ, πόλις κελτική. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, νυράκιος, ὡς παρὰ τὴν νάρυκα, ναρύκιος.

N ύσαι, πόλεις πολλαί· πρώτη, ἐν ἑλικῶνι· δευτέρα, ἐν θρᾴκῃ· τρίτη, ἐν καρίᾳ· τετάρτη, ἐν ἀραβίᾳ· πέμπτη, ἐν αἰγύπτῳ· ἕκτη, ἐν νάξῳ· ἑβδόμη, ἐν ἰνδοῖς· ὀγδόη, περὶ τὸ καυκάσου ὄρους· ἐννάτη, ἐν λιβύῃ· δεκάτη, ἐν εὐβοίᾳ, ἔνθα δι᾽ ἡμέρας μιᾶς τὴν ἄμπελόν φασιν ἀνθεῖν, καὶ τὸν βότρυν πεπαίνεσθαι. τὸ ἐθνικὸν, νυσαεύς, καὶ νυσαΐς θηλυκόν. ἀφ᾽ οὗ κτητικὸν, νυσήϊος λέγεται καὶ νυσαῖος. ἐξ αὐτοῦ νυσαιεὺς τρισύλλαβα, καὶ νυσαεὺς ἄνευ τοῦ ι.

τὸ νῦ μετὰ τοῦ ω μεγάλου.

N ῶλα, πόλις αὐσόνων. ἑκαταῖος εὐρώπῃ. νώλην δὲ αὐτὴν πολύβιός φησι. τὸ ἐθνικὸν, νώλιος. πολύβιος δὲ νωλανεῖς αὐτούς φησι.

N ώνακρις, πόλις ἀρκαδίας. ῥιανὸς ἐν ἠλιακῶν πρώτῳ. τὸ ἐθνικὸν, νωνακρίτης. καὶ κατὰ πλεονασμὸν τοῦ α, νωνακριάτης, ὁ ἑρμῆς. λυκόφρων, Νωνακριάτης τρικέφαλος φαιδρὸς θεός. καὶ θηλυκὸν, νωνακριάτις, καὶ νωνακριὰς λέγεται παρὰ ἀριστοφάνει.

N ώνυμνα, πόλις σικελίας. ὁ πολίτης, νωνυμναῖος, ὡς φίλιστος.

N ωμεντον, πόλις οὐ πόρρω ῥώμης. τὸ ἐθνικὸν, νωμεντῖνος. διονύσιος ἐν δευτέρῳ ῥωμαϊκῆς ἀρχαιολογίας.

N ῶρα, πόλις ἐν σαρδοῖ τῇ νήσῳ. τὸ ἐθνικὸν, νωρανός, ὡς νωλανός.

N ωράκος, πόλις πανονίας. ὁ πολίτης, νωράκιος, ὡς ἐπαφρόδιτος ἐν τοῖς ὁμηρικοῖς φησιν, ὅτι γίνεται ἐν πανονίᾳ σίδηρος, ὃς ἀκονηθεὶς, λαμπρότατός ἐστι. ἀφ᾽ οὗ καὶ τὸ νωροπα χαλκόν. καὶ θηλυκὸν, νωρακία. καὶ οὐδέτερον, νωράκιον.

ΑΡΧΗ ΤΟΥ ΞΥ ΣΤΟΙΧΕΙΟΥ.

τὸ ξῦ μετὰ τοῦ ἄλφα.

ξ Ανθοι, ἔθνος θρᾴκιον. ἑκαταῖος εὐρώπῃ.

Ξάνθος, πόλις λυκίας. ἑκαταῖος ἀσίᾳ. παρ᾽ ἣν ξάνθος ἐξίησι ποταμός. ἐκλήθη δὲ ἀπὸ ξάνθου αἰγυπτίου, ἢ κρητὸς οἰκιστοῦ. ἔστι καὶ ξάνθος πόλις ἐν λέσβῳ. ὁ πολίτης, ξάνθιος, ὡς εὐρίπιος. καὶ τοῦ ποταμοῦ τὸ κτητικὸν ὁμοίως.

Ξ αῦρος, τόπος μακεδονίας, ἀπὸ ξαύρου τινός. οἱ οἰκοῦντες, ξαύριοι.

τὸ ξῦ μετὰ τοῦ ε ψιλοῦ.

Ξ ενέφυρις, κώμη λιβύης, πλησίον ἀλεξανδρείας. τὸ ἐθνικὸν, ξενεφυρίτης τῷ τύπῳ τῆς χώρας.

Ξ ερξήνη, ἀπὸ ξέρξου, ἢ καμβυσήνη, ἀπὸ Καμβύσου, τῆς μικρᾶς ἀρμενίας. ὅμηρος.

τὸ ξῦ μετὰ τοῦ ἦτα.

Ξ ηρά, πόλις περὶ τὰς ἡρακλείας στήλας. θεόπομπος τεσσαρακοστῷ τρίτῳ. τὸ ἐθνικὸν, ξηραῖος, ὡς θήρα, θηραῖος.

τὸ ξῦ μετὰ τοῦ ἰῶτα.

Ξ ιλία, πόλις λιβύης. ἀλέξανδρος ἐν τρίτῳ λιβυκῶν. τὸ ἐθνικὸν, ξιλιάτης, ὡς ἰάμνια, ἰαμνιάτης.

Ξ ιφιώνη, χώρα παλαιστίνης. ἰώσηπος ἐν τῷ ἰουδαϊκῆς ἱστορίας. τὸ ἐθνικὸν, ξιφηναῖός φησι.

Ξ ιφωνία, πόλις σικελίας. θεόπομπος φιλιππικῶν τριακοστῷ ἐννάτῳ. τὸ ἐθνικὸν, ξιφωνιάτης, ὡς καυλωνιάτης.

τὸ ξῦ μετὰ τοῦ ο μικροῦ.

Ξ όης, πόλις, καὶ νῆσος αἰγυπτία, ἐν τῷ μεσογειώτῃ, ἀπὸ τοῦ σεβεννυτικοῦ, καὶ φατνιτικοῦ στόματος. ὁ πολίτης, ξοΐτης, ὡς σαΐτης.

Ξ ουθία, πόλις σικελίας. φίλιστος τρίτῳ σικελικῶν. τὸ ἐθνικὸν, ξουθιάτης.

Ξ ούχης, πόλις λιβύης. ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ἕνδεκα. τὸ ἐθνικὸν, ξουχίτης.

τὸ ξῦ μετὰ τοῦ υ ψιλοῦ.

Ξ ύλος, πόλις καρίας. ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, ξύλιος, ἢ ξυλεύς, διὰ τὸ ἰδίωμα τοῦ τόπου. χαίρουσι γὰρ τῷ σ εἰς ευς.

Ξ υνία, θετταλίας πόλις. πολύβιος ἐννάτῳ. τὸ ἐθνικὸν, ξυνιεύς, ὡς ἡλιεύς. καὶ ξυνιὰς λίμνη, ἣν βυβαΐδα φασί.

Ξ υπέτη, δῆμος κεκροπίδος φυλῆς. ὁ δημότης, ξυπετεών, ὡς μακεδών. τὸ τοπικὸν, ἐκ ξυπετεώνων, εἰς ξυπετεώνων, καὶ ἐν ξυπετεώνων. φιλόχορος δὲ ξυπετέωνον τὸν δῆμόν φησι διὰ τοῦ ω, καὶ τοῦ ο μικροῦ ἐν τέλει.

Ξ ύστις, ὡς σάρδις, πόλις καρίας. τὸ ἐθνικὸν, ξυστιανός.

## ΑΡΧΗ ΤΟΥ ·Ο· ΜΙΚΡΟΥ ΣΤΟΙΧΕΙΟΥ·

### Τὸ·ο·μικρὸν μετὰ τοῦ ἄλφα·

ο α, δῆμος τῆς ἀττικῆς τῆς πανδιονίδος φυλῆς· διονύσιος δὲ ὁ τοῦ τύφωνός φησι τὸ πληθυντικὸν ὄεις λέγεσθαι αὐταῖς, ὡς καὶ ἄλλα πολλά. ὁ μέντοι δημότης, ὄαθεν λέγεται· δάμων δαμωνίδου ὄαθεν· καὶ ἐκ τόπου, τὸ αὐτό· τὰ δ' ἄλλα, ὄαζε· ὄασι· λέγεται καὶ ὄη· ἔστι δ' ὄη τῆς οἰνηΐδος φυλῆς· ὁ δημότης, ὄηθεν·

ο ανοσ, πόλις λυδίας· διονύσιος ἐν τρίτῳ βασσαρικῶν·

ο αξοσ, πόλις κρήτης, ἐλευθερονήσου πόρρω, καθὰ ξενίων, ἀπὸ οάξου τοῦ ἀκαλλίδος τῆς θυγατρὸς τοῦ μίνω· τινὲς δὲ διὰ τὸ κατὰ γῆν εἶναι τὸν τόπον, καὶ κρημνώδη ὑπάρχειν· καλοῦσι γὰρ τοὺς τοιούτους τόπους, ἄξους, καθάπερ καὶ ἡμεῖς ἀγμούς· ὁ πολίτης, οάξιος·

### Τὸ·ο·μικρὸν μετὰ τοῦ βῆτα·

ο βοδα, χωρίον ναβαταίων· οὐράνιος ἀραβικῶν τετάρτῳ. ὅπου ὀβόδης ὁ βασιλεὺς, ὃν θεοποιοῦσι, τέθαπται· τὸ ἐθνικὸν, ὀβοδηνὸς, ὡς δαχαρηνός·

ο βόλκων, ὀβόλκωνος, πόλις· τὸ ἐθνικὸν, ὀβολκωνίτης·

### Τὸ·ο·μικρὸν μετὰ τοῦ γάμμα·

ο γκαῖαι, πύλαι θηβῶν· εὐφορίων θρακί· ὄγκα γὰρ ἡ ἀθηνᾶ κατὰ φοίνικας·

ο γκεῖον, χωρίον ἀρκαδίας, ἀπὸ ὄγκου δυνάστου βασιλεύοντος, ὡς παυσανίας ὀγδόῳ· ὁ οἰκήτωρ, ὄγκειος· καὶ θηλυκῶς, ὀγκεία·

ο γχηστός· ὅμηρος, ὀγχηστόν θ' ἱερὸν ποσιδήϊον ἀγλαὸν ἄλσος· κεῖται δὲ ἐν τῇ τῶν ἁλιαρτίων χώρᾳ· ἱδρυθῆναι δ' ἀπὸ ὀγχηστοῦ τοῦ βοιωτοῦ, ὥς φησιν ἡσίοδος· ἔστι καὶ πόλις βοιωτίας, ὡς παυσανίας ἐννάτῳ· ἀπολλώνιος δὲ ὁ ῥόδιος πόλιν μεγάλην φησὶ τὴν ὀγχηστὸν μεταξὺ ἁλιαρτίων, καὶ κραυφίων· ἔστι καὶ ποταμὸς ἐν θεσσαλίᾳ· ὁ πολίτης, ὀγχήστιος· παυσανίας ἐννάτῳ·

ο γχαὴ, πόλις φωκίδος· τὸ ἐθνικὸν, ὀγχαῖος, ὡς τῆς οἰνόης, οἰναῖος, ἢ ὀγχεύς·

### Τὸ·ο·μικρὸν μετὰ τοῦ δέλτα·

ο δησσὸς, πόλις ἐν τῷ πόντῳ, πρὸς τῷ σαλμυδησσῷ· ἀπολλόδωρος δ' ὄρος μέγα τὴν ὀδησσόν φησιν· ὁ πολίτης, ὀδησσίτης, καὶ ὀδησσεύς· ἐχρημάτιζον δὲ ἡρακλείδης ἱστοριογράφος, καὶ δημήτριος ὁ περὶ τῆς πατρίδος γράψας·

ο διούπολις, χωρίον ἡρακλείας τῆς πρὸς τῷ πόντῳ· δομίτιος καλλίστρατος ἕκτῳ τῶν περὶ ἡρακλείας· ὁ πολίτης, ὀδιουπολίτης·

ο δὸς, παρὰ τὸ ἕδος, ἡ πεπατημένη τρίβος· τὸ παράγωγον, ὅδιος, καὶ ἐνόδιος· καὶ ὅδιος ἑρμῆς·

ο δόμαντοι, ἔθνος θρᾳκικὸν· θουκυδίδης δευτέρᾳ· καὶ ὀδομαντίς· ὀδομαντικὴ ἐκ τοῦ ὀδομαντικός·

ο δρύσαι, ἔθνος θρᾴκης· στράβων ἑπτακαιδεκάτῃ· λέγεται ὀδρύσιος, καὶ ὀδρυσία, καὶ ὀδρυσίδαι· καὶ ὀδρυσιάδες θηλυκῶς, καὶ ὀδρυσίς· ἔστι καὶ ὄδρυσα πόλις αὐτῶν· καὶ ὀδρυσία λέγεται· καὶ ὀδρύσης λέγεται, καὶ ὀδρυσίτης·

ο δυσσεῖς, πόλις ἰβηρίας ἀρσενικῶς· καὶ τὸ ἐθνικὸν, ὅμοιον· ἀρσενικὸν δὲ, ὡς ἀταρνεῖς, καὶ διπαιεῖς.

### Τὸ·ο·μικρὸν μετὰ τοῦ ζῆτα·

ο ζόλαι, λοκρῶν μοῖραι τρισκαίδεκά εἰσιν· ἐπικνημίδιοι· ἐπιζεφύριοι, οἱ καὶ ὀπούντιοι, ὧν ἦν αἴας· οἱ δὲ, ὀζόλαι· λέγεται καὶ ὀζολὶς ἡ χώρα·

### Τὸ·ο·μικρὸν μετὰ τοῦ θῆτα·

ο θρωνος, πόλις· οἱ δὲ, νῆσον πρὸς νότον σικελίας· ἄλλοι δὲ μελιτηνῆς· ὁ οἰκῶν, ὀθρώνιος.

### Τὸ·ο·μικρὸν μετὰ τοῦ ἰῶτα·

ο ιάνθη, πόλις λοκρῶν· ἑκαταῖος ἀσίᾳ· ἑλλάνικος δὲ οἰάνθειαν αὐτήν φησιν· οἰανθεὺς δ' ἐστὶ, καὶ οἰάνθειον, καὶ οἰανθὶς ἐξ αὐτοῦ, οἰάνθιος·

ο ιδάντιον, πόλις ἰλλυριῶν· θεόπομπος φιλιππικῶν τριακοστῷ ὀγδόῳ· τὸ ἐθνικὸν, οἰδάντες, ὥς φησιν ἑκαταῖος· καὶ οἰδαντικὴ γῆ·

ο ικος, ἡρωδιανὸς μὲν παρὰ τὸ εἴκω, ἐν τῷ εἶκομεν· δύναται δὲ εἶναι τὸ ἴδιον ἐν διαίτημα, παρὰ τὸ οἰῶ, τὸ μονοῦμαι, κατὰ πλεονασμὸν τοῦ κ, ὡς ὄρος, ὅρκος· ὁ οἰκητὴς, οἰκεῖος, ὡς ἀστὸς, ἀστεῖος, καὶ οἰκεὺς· παρὰ τὸ οἶκος, οἰκία· καὶ οἰκιάτης κατὰ πλεονασμὸν τοῦ κ, ἀπὸ τοῦ οἰκίτης·

ο ικους, καρίας πόλις· τὸ ἐθνικὸν, οἰκούσιος, καὶ οἰκουσία, καὶ οἰκούσιον ἄστυ·

ο ινα, πόλις τυρρηνίας ἐχυρὰ λίαν· μέσον δὲ αὐτῆς λόφος ἐστὶν ὑψηλὸς τριάκοντα σταδίων, ἔχων ἄνω ὕδατα καὶ ὕλην παντοδαπὴν, ὡς ἀριστοτέλης περὶ θαυμασίων ἀκουσμάτων· τὸ ἐθνικὸν, οἰνάτης· οὐκ ἀλλότριος γὰρ ὁ τύπος·

ο ινειάδαι, πόλις ἀκαρνανίας πρὸς τῷ ἀχελώῳ, ἡ καὶ ἐρυσίχη καλουμένη· τὸ ἐθνικὸν,

ἐρυσιχαῖος. λέγεται καὶ οἰνειὰς ἡ χώρα. ἔστι καὶ ἑτέρα τῆς αἰτωλίας πόλις οἰνειάδαι.

o ἰνῶν, λοκρίδος λιμήν. θουκυδίδης τρίτῃ. τὸ ἐθνικὸν, οἰνωνεύς.

o ἰνη, πόλις ἄργους. ἑκαταῖος ἱστοριῶν πρώτῳ. τὸ ἐθνικὸν, οἰναῖος. οἰνεῦσι, οἰναίων. ῥῶρος δὲ οἰνώην αὐτήν φησιν, ἧς τὸ ἐθνικὸν, οἰνωάτης. καὶ θηλυκὸν, οἰνωᾶτις ἄρτεμις, ἡ ἐν οἰνόῃ τῆς ἀργείας ἱδρυμένη ὑπὸ προίτου.

o ἰνόανδα, πόλις λυκίας. ἀλέξανδρος πρώτῳ λυκιακῶν. τὸ ἐθνικὸν, οἰνοανδεύς.

o ἰνόη, μία τῶν ἐν ἰκαρίᾳ δύο πόλεων. τὸ ἐθνικὸν, οἰνοαῖος.

o ἰνους, πολίχνιον λακωνικῆς, ὡς ἀνδροτίων, καὶ δίδυμος. καὶ τὸ ἐθνικὸν, οἰνούντιος, καὶ οἰνουντιάς.

o ἰνοῦσσαι, νῆσος τῇ χίῳ προσεχής. ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, οἰνουσσαῖος, καὶ οἰνούσιος.

o ἰνώνη, νῆσος μία τῶν αἰακιδῶν. οἱ οἰκήτορες, οἰνωναῖοι, ὡς παρθένιος ἡρακλεῖ.

o ἰνωτρία, χώρα τῆς ἰταλίας. τινὲς δὲ καὶ αὐτὴν τὴν ἰταλίαν οὕτω φασὶ κεκλῆσθαι, ἀπὸ οἰνώτρου ἀρκάδος, ὡς παυσανίας ὀγδόῳ. πείσανδρος δωδεκάτῳ, ἀπὸ τῆς οἴνου χρήσεως κεκλῆσθαι αὐτήν φησι. τὸ ἐθνικὸν, οἰνωτρὸς, ὡς θετταλὸς, καὶ ἴων, καὶ κίλιξ. λέγεται καὶ οἰνώτριος, ἀφ' οὗ τὸ οἰνωτριὰς γῆ. ὀξύνεται δὲ τὸ οἰνωτρός.

o ἰον, δῆμος τῆς λεοντίδος φυλῆς. ἐξ οἴου, ὡς ἀλεξεύς, ἀλέξιδος. ἐξ οἴου λεοντίς. ἐν οἴῳ. οἶόνδε. εἰς οἶον.

o ἰος, πολίχνιον τεγέας. αἰσχύλος μυσοῖς. οἱ πολῖται, οἰᾶται. τὸ ἐθνικὸν, ὁμοίως.

o ἰσύμη, πόλις μακεδονίας. θουκυδίδης τετάρτῃ. ἡ νῦν ἡμάθεια. τὸ ἐθνικὸν, οἰσυμαῖος. ταύτην αἰσύμην ὅμηρος ἔφη.

o ἴτης, ὄρος περὶ τραχῖνα. ἔστι καὶ πόλις μηλιέων. οἱ οἰκοῦντες, οἰταῖοι. σοφοκλῆς, ἐγὼ μὲν γένεθλον οἰταῖοι παιδός. καὶ θηλυκὸν οἰταίη, καὶ οἰτηΐς. ἴσως ἀπὸ τοῦ οἰτιεύς. οἰταιῆται. οἰτηΐς. ἔστι δὲ ὡς παρὰ τὸ κρηταῖος, κρηταιεύς. καὶ οὐδέτερον, οἰταῖον.

o ἴτυλος, πόλις λακωνικῆς. οἱ δὲ, οἴτυλον, ὡς δάκτυλον, ἀπὸ τοῦ οἰτύλου ἥρωος. τινὲς δὲ τὸ οἱ ἄρθρον φασί. τινὲς τὸ ἐθνικὸν οἰτύλιος.

o ἰχαλία, πόλις, ἣν ὅμηρος ἐν τῷ πελασγικῷ ἄργει τάσσει, λέγων, οἵ τ' ἔχον οἰχαλίην πόλιν εὐρύτου. οἱ δὲ νεώτεροι, τεθείκασιν αὐτὴν ἐν εὐβοίᾳ. ἔστι καὶ μεσσηνὶς οἰχαλία, καὶ ἑτέρα ἐν τραχῖνι, καὶ ἐν θετταλίᾳ, καὶ ἐν ἀρκαδίᾳ. ὁ πολίτης, οἰχαλιεύς. καὶ ὥσπερ τὸ αἱμονία, αἱμονιδεὺς, καὶ αἱμονὶς, οὕτω καὶ οἰχαλίς. καὶ οἰχαλιώτης, ὡς ἀμβρακιώτης, καὶ σικελιώτης. λῖνος γοῦν ὁ ἱστορικὸς οἰχαλιώτης ἦν. λέγεται καὶ οἰχάλιος. καὶ οἰχαλίηθεν ἐκ τόπου.

## Τὸ ο μικρὸν μετὰ τοῦ κάππα.

o κείκολα, πόλις τυρρηνίων. διονύσιος ὀκτωκαιδεκάτῳ ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν, ὀκεικολανὸς, ὡς αὐτός φησιν.

o κωλον, χωρίον θρεσκίων. θεόπομπος φιλιππικῶν εἰκοστῷ τετάρτῳ. τὸ ἐθνικὸν, ὀκώλιος.

## Τὸ ο μικρὸν μετὰ τοῦ λάμβδα.

o λβηλος, πόλις μακεδονίας. βαλάγρος μακεδονικῇ. τὸ ἐθνικὸν, ὀλβήλιος.

o λβία, πόλις λιγυστική. ὁ πολίτης, ὀλβιοπολίτης. καὶ ὀλβιανοὶ, ὡς ἀσιανοί. ἔστι δὲ καὶ πλησίον αὐτῆς ὄρος ὀλβιανόν. δευτέρα, πόλις ἐν πόντῳ. τρίτη, βιθυνίας, ἀπὸ ὀλβίας νύμφης. τετάρτη, παμφυλίας, ὡς φιλόξενος. οὐκ ἔστι δὲ παμφυλίας, ἀλλὰ τῆς τῶν σολύμων γῆς. καὶ οὐδὲ ὀλβία, ἀλλὰ ὄλβα καλεῖται. καὶ οἱ πολῖται, ὀλβαῖοι, καὶ ὄλβιος, καὶ ὀλβία. πέμπτη, ἰβηρίας. ἕκτη, σαρδοῦς. ἑβδόμη, ἰλλυρίδος. ὀγδόη, ἑλλησπόντου. ἐνάτη, κιλικίας. λέγεται καὶ ὀλβηνὸς, καὶ ὀλβιακός. καὶ τὸ θηλυκὸν, ὀλβιακή.

o λβύσιοι, ἔθνος ἀπὸ ἡρακλείων στηλῶν. καὶ ὀλβισίνιοι ἄλλο.

o λιζὼν, πόλις θετταλίας. ἑκαταῖος εὐρώπῃ. κλίνεται διὰ τοῦ ω, καὶ ὀξύνεται. καὶ πιτύειαν ἔχον, καὶ ὀλιζῶνα τρηχεῖαν. ὀξύνεται δὲ πρὸς ἀντιδιαστολὴν τοῦ, λαοὶ δ' ὑπ' ὀλίζονες ἦσαν. ὠνομάσθη δὲ ἀπὸ τοῦ μικρὰ εἶναι. θετταλοὶ γὰρ ὡς ἱστορεῖ δημοσθένης ἐν κτίσεσι τὸ μικρὸν ὀλίζον καλοῦσι. τὸ ἐθνικὸν, ὀλιζόνιος.

o λκάδες, ὡς ἀρκάδες, ἔθνος ἰβήρων τῶν ἐντὸς ἴβηρος τοῦ ποταμοῦ. πολύβιος ἐν τρίτῳ.

o λκιον, πόλις τυρρηνίας. πολύβιος ἕκτῳ. τὸ ἐθνικὸν, ὀλκιῆται, καὶ ὀλκιεῖς.

o λμιον, πόλις βοιωτίας, ὡς ἐπαφρόδιτος ἐν τοῖς ὁμηρικοῖς. τὸ ἐθνικὸν, ὀλμιεύς.

o λμοι, πόλις τραχείας κιλικίας, ὅπου πρότερον ᾤκουν οἱ νῦν σελευκεῖς. τὸ ἐθνικὸν, ὀλμεῖς, ὡς θαρσεῖς.

o λμωνες, κώμη βοιωτίας, ἀπὸ ὄλμου τοῦ σισύφου. παυσανίας ἐννάτῳ. τὸ ἐθνικὸν, ὀλμωνεῖς.

o λόβαγρα, πόλις μακεδονίας. θεαγένης ἐν μακεδονικοῖς. τὸ ἐθνικὸν, ὀλόβαγρος.

o λοοσσὸς, πόλις μαγνησίας. ὅμηρος, πόλιν τ' ὀλοοσσόνα λευκήν. οἱ πολῖται, ὀλοοσσόνιοι. καὶ ὀλοοσσονίηθεν ἐπίρρημα.

o λουρος, πολίχνιον τῆς ἀχαΐας, οὗ πέρ-

ρω Πελλήνης, ὡς ξενοφῶν ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν, ὀλούριος.

Ολοῦς, πόλις κρήτης. ξενίων ἐν τοῖς κρητικοῖς. ὁ πολίτης, ὀλούντιος, ὡς σελινούντιος.

Ολόφυξος, πόλις ἐν θράκῃ περὶ τὸν ἄθω. ὁ πολίτης, ὀλοφύξιος. ἡρόδοτος περὶ νυμφῶν καὶ θεῶν γράψας.

Ολπαι, φρούριον ἀκαρνάνων, καὶ ἀμφιλόχιον δικαστήριον. θουκυδίδης τρίτῃ. ὁ οἰκήτωρ, ὀλπαῖος. καὶ θηλυκῶς, καὶ οὐδετέρως.

Ολυκα, πόλις μακεδονίας. θεόπομπος πέμπτῳ φιλιππικῶν. τὸ ἐθνικὸν, ὀλυκαῖος.

Ολύκραι, πόλις περὶ ναύπακτον. ἑκαταῖος περιηγήσει εὐρώπης. τὸ ἐθνικὸν, ὀλυκραῖος.

Ολύμπη, πόλις ἰλλυρίας, ὡς δομέτιος καλλίστρατος ἑβδόμῳ περὶ ἡρακλείας. τὸ ἐθνικὸν, ὀλυμπαῖος, ἢ ὀλυμπεύς.

Ολυμπία, ἡ πρότερον πῖσα λεγομένη, ἔνθα ὀλύμπιος ζεὺς τιμᾶται. ἀφ' οὗ τὰ ὀλύμπια ὁ ἀγών. μετὰ συλλαβῆς τὰ τοπικὰ, ὀλυμπίαθεν. ὀλυμπίαζε. λέγεται καὶ ἄρπινα, ὡς νικάνωρ, ἀπὸ τῆς οἰνομάου μητρός.

Ολυμπίειον, τόπος ἐν δήλῳ, ὃν κτίζοντες ἀθηναῖοι χρήμασιν ἀδριανοῦ, νέας ἀθήνας ἀδριανὰς ἐκάλεσαν, ὡς φλέγων ἐν ὀλυμπιάδων πεντεκαιδεκάτῳ. τὸ ἐθνικὸν, ὀλυμπιεύς, ἢ ὀλύμπιος, ὡς βυζάντιος.

Ολυμπος, ὄρος μυσίας. ἀρριανὸς βιθυνιακῶν πρώτῳ. οἱ οἰκοῦντες, ὀλυμπηνοί. ἔστι καὶ πόλις παμφυλίας. στράβων τεσσαρεσκαιδεκάτῃ. τὸ ἐθνικὸν, ὅμοιον.

Ολυνθος, πόλις θράκης, πρὸς τῇ σιθωνίᾳ τῆς μακεδονίας, ἀπὸ ὀλύνθου τοῦ ἡρακλέους. ὁ πολίτης, ὀλύνθιος, καὶ ὀλυνθία.

Ολβοι, πόλις αἰγύπτου πρὸς τῇ λιβύῃ. ἀλέξανδρος ἐν πρώτῳ αἰγυπτιακῶν. τὸ ἐθνικὸν, ὀλβῖται.

Τὸ ο μικρὸν μετὰ τοῦ μῦ.

Ομανα, πόλις τῆς εὐδαίμονος ἀραβίας. γλαῦκος δευτέρῳ ἀραβικῶν ἀρχαιολογίας. τὸ ἐθνικὸν, ὀμανεύς, ὡς τυανεύς, καμανεύς.

Ομάριον, πόλις θετταλίας. θεόπομπος φιλιππικῶν εἰκοστῷ δευτέρῳ. ἐν ταύτῃ τιμᾶται ζεύς, καὶ ἀθηνᾶ. τὸ ἐθνικὸν, ὁμάριοι, ὁμαρεύς.

Ομβρικοί, ἔθνος ἰταλικὸν περὶ τὸν ἀδριανὸν κόλπον, μέσον τοῦ πάδου, καὶ πικεντικοῦ. λέγονται καὶ ὄμβροι. ἔστι καὶ ποταμὸς ἰταλίας ὄμβρος. λέγονται ὄμβροι παρὰ τοῖς ἰταλικοῖς συγγραφεῦσι. παρὰ τούτοις ἱστορεῖ ἀριστοτέλης ἐν τῷ περὶ θαυμασίων ἀκουσμάτων, ὅτι τρὶς τοῦ ἐνιαυτοῦ τίκτουσι τὰ βοσκήματα, καὶ τοὺς καρποὺς πολλαπλασίους τὴν γῆν ἀνιέναι τῶν καταβαλλομένων, καὶ τὰς γυναῖκας αὐτῶν πολυγόνους. σπανίως γὰρ ἓν τίκτουσι. τὰς δὲ πλείστας, δύο, ἢ τρία.

Ομηρῖται, ἔθνος αἰθιόπων. μαρκιανὸς ἐν περίπλῳ α.

Ομόλη, ὄρος θετταλίας. παυσανίας ἐννάτῳ. λέγεται καὶ ὅμολος. οἱ οἰκοῦντες, ὁμολοεῖς. καὶ θηβῶν αἱ πρὸς τῷ ὄρει ὁμολοΐδες. καὶ ζεὺς ὁμολόϊος τιμᾶται ἐν βοιωτίᾳ.

Ομόλιον, πόλις μακεδονίας, καὶ μαγνησίας. στράβων ἑβδόμῃ. τὸ ἐθνικὸν, ὁμολιεύς. τὸ δὲ ὁμολώϊος, τεχνικόν ἐστι κατὰ πλεονασμὸν τοῦ ω.

Ομφάκη, πόλις σικελίας. φίλιστος σικελικῶν τετάρτῳ. τὸ ἐθνικὸν, ὀμφακαῖος. ἔδει δὲ ὀμφακηνὸς τῷ τύπῳ τῆς χώρας.

Ομφάλιον, τόπος κρήτης, πλησίον θενῶν, καὶ κνωσσοῦ. ἔστι καὶ θετταλίας. τὸ ἐθνικὸν, ὀμφαλίτης.

Τὸ ο μικρὸν μετὰ τοῦ νῦ.

Ονειαβάτης, πόλις αἰγύπτου. ἑκαταῖος περιηγήσει λιβύης. ὁ πολίτης, ὀνειαβάτης τῷ τῆς χώρας ἔθει.

Ονθύριον, πόλις θετταλικὴ περὶ τὴν ἄρνην. τὸ ἐθνικὸν, ὀνθυριεύς. ῥιανὸς ὀγδόῳ.

Οννη, ἐμπόριον τῆς εὐδαίμονος ἀραβίας. μαρκιανὸς ἐν περίπλῳ. τὸ ἐθνικὸν, ὀνναῖος, ὡς ἐνναῖος.

Ονουφις, πόλις αἰγύπτου, οὐκ ἄγνωστος. ὁ πολίτης, ὀνουφίτης.

Ονύχιον, τόπος κρήτης, ἀπὸ ὄνυχος ἀγκύρας ἐγχωσθείσης ἐν αὐτῷ, τῶν ἀμυκλαίων ἀποικησάντων.

Τὸ ο μικρὸν μετὰ τοῦ ξῦ.

Οξύβιοι, μοῖρα λιβύων. κουάδρατος τεσσαρεσκαιδεκάτῳ ῥωμαϊκῆς χιλιαρχίας.

Οξυδράκαι, ἔθνος ἰνδικὸν, ὑφ' ὧν σώσας ἀλέξανδρον πτολεμαῖος, σωτὴρ ἐκλήθη. οἱ δὲ, ψεῦδος τὸ περὶ τῶν ὀξυδρακῶν.

Οξύρυγχος, πόλις αἰγύπτου τιμῶσα τὸν ὁμώνυμον ἰχθῦν. ὁ πολίτης, ὀξυρυγχίτης.

Τὸ ο μικρὸν μετὰ τοῦ πῖ.

Οπικοί, ἔθνος ἰταλίας. εὔδοξος ἕκτῳ γῆ

περίοδον, γλώσσας συνέμιξαν. οἱ δὲ, ὅτι ὀφικοὶ ἀπὸ τῶν ὄφεων.

Ο πόεις, πόλις λοκρῶν τῶν ἐπικνημιδίων, ἀπὸ ὀπόεντος. τὸ ἐθνικὸν, ὀποέσιος, ὀποεσία. λέγεται καὶ ὀποῦς, ὀποῦντος, κατὰ κρᾶσιν. ἔστι καὶ ὀποῦς πόλις ἀχαΐας, καὶ τῆς ἠλίας ἄλλη. οἱ πολῖται, ὀπούντιοι.

Τὸ ο μικρὸν μετὰ τοῦ ρῶ.

Ο ρεῖται, ἔθνος ἰνδικὸν, ὡς ἀπολλόδωρος δευτέρῳ περὶ ἀλεξανδρείας.

Ο ραθα, πόλις τῆς ἐν τῇ ἐρυθρᾷ μεσήνης. ἀρριανὸς παρθικῶν ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν, ὀραθηνός.

Ο ργάλημα, πόλις ἐπὶ τῷ ἴστρῳ. ἑκαταῖος εὐρώπῃ. εἰσὶ καὶ ὀργομεναὶ πόλις ἰλλυρίας. τὸ ἐθνικὸν, ὀργομεναῖος. καὶ τῆς δευτέρας, ὀργομένιος.

Ο ργον, νῆσος πλησίον τυῤῥηνίας. τὸ ἐθνικὸν, ὀργόνιος, ὡς αἰζώνιος.

Ο ρδαία, πόλις μακεδονίας. τὸ ἐθνικὸν, ὀρδυ. λέγονται καὶ ὀρδαῖοι, ὡς νίκανδρος.

Ο ρεσθάσιον, πόλις ἀρκαδική, ἀπὸ Ορεσθέως τοῦ λυκάονος. παυσανίας ὀγδόῳ. ὁ πολίτης, ὀρεσθάσιος.

Ο ρέσται, μολοσσικὸν ἔθνος. ἑκαταῖος εὐρώπῃ. θεαγένης ἐν μακεδονικῶν φησιν, ὅτι ἐπεὶ ἀφέθη τῆς μανίας Ορέστης φεύγων διὰ τὴν αἰδῶ μετὰ τῆς Ερμιόνης, εἰς ταύτην ἦλθε τὴν γῆν, καὶ παῖδα ἔχων ὀρέστην. οὗ ἄρξαντος, ἐκλήθησαν ὀρέσται. αὐτὸς δὲ ὑπὸ ἐχίδνης δηχθεὶς, θνήσκει εἰς χωρίον τῆς ἀρκαδίας, τὸ λεγόμενον ὀρέστιον. λέγεται καὶ θηλυκὸν ὀρεστὶς, καὶ ὀρεστιάς. ὡσαύτως θεαγένης. διονύσιος δευτέρῳ γιγαντιάδος.

Ο ρέστη, πόλις. ἑκαταῖος εὐρώπης περιηγήσει. τὸ ἐθνικὸν, ὀρέσται ὁμοίως.

Ο ρεστία, πόλις ἐν ὀρέσταις, ἐν ὄρει ὑπερκειμένῳ τῆς μακεδονικῆς γῆς, ἐν ᾗ Πτολεμαῖος ὁ λαγοῦ πρῶτος βασιλεύσας αἰγύπτου. ὁ πολίτης, ὀρεστιαῖος. ἔστι καὶ ἄλλη ἐν ἀρκαδίᾳ ὀρεστία, ἣν Ευδαίμων καὶ Ωρος διὰ τῆς ει διφθόγγου γράφουσι, τὴν ὀρέστειον.

ΑΡΧΗ ΤΟΥ ΠΙ ΣΤΟΙΧΕΙΟΥ.

Τὸ πι μετὰ τοῦ ἄλφα.

π Αλική, πόλις σικελίας. θεόφιλος δ' ἐν ἑνδεκάτῳ περιηγήσεως, σικελίας παλικήνην κρήνην φησὶν εἶναι. πλησίον δὲ αὐτῆς ἱερὸν παλικῶν, οἵ εἰσι δαίμονές τινες, οὓς αἰσχύλος ἐν αἴτναις γενεαλογεῖ διὸς καὶ θαλείας τῆς ἡφαίστου. Σιληνὸς δὲ ἐν δευτέρῳ αἴτνης, τῆς ὠκεανοῦ, καὶ ἡφαίστου. κληθῆναι δὲ αὐτοὺς παλικοὺς, διὰ τὸ ἀποθανόντας πάλιν εἰς ἀνθρώπους ἱκέσθαι. ἔστι δὲ καὶ κρήνη τις ἐν παλικοῖς τῆς σικελίας, ὡς Δεκάκλινος. αὕτη δ' ἀναῤῥίπτει ὕδωρ εἰς ὕψος ἓξ πήχεις, ὥς τε ὑπὸ τῶν θεωρούντων νομίζειν καταλυθήσεσθαι τὸ πεδίον. καὶ πάλιν εἰς ἑαυτὸ καθίσταται. ἔστι δὲ καὶ ὅρκος ἅγιος αὐτόθι. ὅσα γὰρ ὀμνύει τὶς εἰς πινάκιον γράψας, βάλλει αὐτὸ εἰς τὸ ὕδωρ. ἐὰν μὲν οὖν εὐορκῇ, ἐπιπολάζει. ἐὰν δὲ μὴ εὐορκῇ, τὸ μὲν πινάκιον ἀφανίζεται, αὐτὸς δὲ πίμπραται. ὁ πολίτης, παλικηνὸς, ὡς τῆς εὐρύκης, εὐρυκηνός. καὶ τὸ θηλυκὸν, παλικηνή.

Π αλίμβοθρα, πόλις ἰνδική. ὁ πολίτης, παλιμβοθρηνός.

Π αλαντία, πόλις ἰβηρίας. ὁ πολίτης, παλαντῖνος.

Π αλάντιον, πόλις ἀρκαδίας, ἀπὸ Πάλαντος ἑνὸς τῶν λυκάονος παίδων, ὡς ἡσίοδος. τὸ ἐθνικὸν, παλαντῖνος. τινὲς δὲ παλαντιάδα καλοῦσιν, ὡς ἐν τῷ περὶ ἑστιάας εἴρηται.

Π αλλήνη, πόλις θρᾴκης, ἀπὸ Παλλήνης τῆς σίθωνος μὲν θυγατρὸς, κλείτου δὲ γυναικὸς, ὡς Ηγήσιππος ἐν τοῖς παλληνιακοῖς. παλλήνη δ' ἐστὶ χεῤῥόνησος, ζίτωνον τὴν βάσιν ἔχουσα πρὸς μεσημβρίαν ἐστραμμένην. ἐκαλεῖτο δὲ φλέγρα τὸ παλαιὸν, καὶ ᾠκεῖτο ὑπὸ τῶν γιγάντων. καὶ ἡ τῶν θεῶν καὶ τῶν γιγάντων μάχη ἐνταῦθα μυθεύεται γενέσθαι. θεαγένης ἐν μακεδονικοῖς, ἐκ ἐνταῦθα δ' ὁ περὶ παλλήνης ἔστηκε λόγος. φασὶ γὰρ τὴν μὲν γῆν ταύτην κεκλῆσθαι φλέγραν, τοὺς δ' ἐνοικοῦντας, γίγαντας, εἰς οὓς ἡρακλέα καταχθέντα, τήν τε ὕβριν αὐτῶν, καὶ τὴν μισανθρωπίαν ἐκπλαγῆναι. ἐπεὶ δὲ καὶ μάχης ἦρξαντο, τὰ συνήθη ὅπλα εἰς χεῖρας λαβὼν, ἐπεσθαι παντὶ σθένει κτείνοντα τοὺς πόλεμον αὐτῷ ξένια τοῦ κατάπλου παρασχόντας. γενέσθαι δ' ἐν τῇ μάχῃ βροντάς τινας, καὶ πρηστῆρας, ἀφ' ὧν ἡ τῶν θεῶν μάχη πρὸς αὐτοὺς μεμυθολόγηται. τὸ ἐθνικὸν, παλλήνιος. ἔστι δὲ καὶ δῆμος ἀττικὸς τῆς ἀντιοχίδος φυλῆς οὕτω λεγόμενος παλλήνη. ὁ δημότης, παλληνεύς.

Π άλμυρα, φρούριον συρίας, οὗ μέμνηται οὐράνιος ἐν ἀραβικῶν δευτέρῳ. τὸ ἐθνικὸν, παλμυρηνός. οἱ δ' αὐτοὶ, ἀδριανοπολῖται μετωνομάσθησαν, ἐπικτισθείσης τῆς πόλεως ὑπὸ τοῦ αὐτοκράτορος.

Π αλτος, πόλις συρίας· ἀρτεμίδωρος ἐν ἐπιτομῇ· ὁ πολίτης, παλτηνὸς, ὡς δαμασκηνός·

Γ αμβωτάδης, δῆμος ἀττικὸς τῆς ἐρεχθηΐδος φυλῆς· ὁ δημότης, παμβωτάδης· τὰ τοπικὰ, ἐκ παμβωτάδων· εἰς παμβωτάδων· ἐν παμβωτάδων· ἀριστοφάνης·

Π αμφυλία, χώρα προσεχὴς τῇ ἰσαυρίᾳ, ἀπὸ Παμφύλης τῆς ῥακίου, καὶ μαντοῦς· οἱ κατοικοῦντες, παμφύλιοι· τὸ κτητικὸν, παμφυλιακὸς, ὡς τὸ κύπριος, κυπριακὸς, βοιώτιος, βοιωτιακός· ἐχρῆν δὲ τὸ πάμφυλις προπαροξύνεσθαι ὁμοίως τῷ ἄτρυλις διὰ τὸ τοῦ ·υ· μῆκος· τὰ γὰρ συνεσταλμένον ἔχοντα τὸ υ, ὀξύνεται· πηγυλίς· νὺξ γὰρ ἐπῆλθε κακὴ, βορέαο πεσόντος, πηγυλίς· θηγυλὶς, ἐπίθετον ἀθηνᾶς· γογγυλίς· τὸ δὲ παμφυλὶς ἐθνικὸν, ὀξύνεται, ὡς αἰολὶς, αἰτωλὶς, καὶ τὰ ὅμοια· ὁ φυλέτης, πάμφυλος, ἀλλὰ καὶ παμφύλιος· ἔστι δὲ καὶ παμφυλία πόλις μακεδονίας·

Γ ανδαῖοι, ἔθνος ἡδωνικὸν, οὐ πόρρω ἀμφιπόλεως·

Π αναίουρα, πόλις ἰνδικὴ περὶ τὸν ἰνδὸν ποταμόν· τὸ ἐθνικὸν, παναιουρεὺς, καθ' ὁμοιότητα τοῦ κίνυρα, κινυρεύς· κυνόσουρα, κυνοσουρεύς· καὶ ὡς ταῦρα, ταυραῖος, παναίουρα, παναιουραῖος, καὶ ἄσουρα, ἀσούριος, παναιούριος·

Π άνακρα, ὄρη κρήτης· καλλίμαχος, ἰδαίοις ἐν οὔρεσιν, ἅτε κλείουσι πάνακρα· τὸ ἐθνικὸν, πανακραῖος· τὸ θηλυκὸν, πανακρίς· ἔστι δὲ καὶ πάνακρον πόλις κύπρου· τὸ ἐθνικὸν, πανακραῖος, ἢ πανάκριος·

Π άνακτον, φρούριον ἀττικὸν, ὡς ἀνδροτίων ἐν ζ΄ τῷ ἀτθίδος·

Π άνδαι, ἔθνος διονύσου μετὰ δηριάδην στρατευσάμενον, καθὰ διονύσιος·

Γ ανδοσία, φρούριον βρεττίων, ἔρυμνον, δικόρυφον, περὶ ὃ ἐφθάρη ἀλέξανδρος ὁ αἰτωλὸς, ἀπατηθεὶς ὑπὸ χρησμοῦ τοιούτου, Πανδοσίη τρικόλωνε, πολύν ποτε λαὸν ὀλέσσεις· ἔδοξε γὰρ πολεμίων, οὐκ οἰκείων φθορὰν δηλοῦσθαι· τὸ ἐθνικὸν, πανδοσηνὸς, ἀλλὰ καὶ πανδοσιανός. ἔστι καὶ πόλις θεσπρωτίας· τὸ ἐθνικὸν, πανδοσιεύς.

Π ανεὰς, πολίχνιον φοινίκης· ὁ πολίτης, πανεάτης·

Π ανέλληνες, ὡς παναχαιοί· ἀπὸ μέρους τοῦ παν τῷ ποιητῇ, ὡς λέλεγας καὶ ζώας ἀνδρῶν· ἕλληνες γὰρ παρ' αὐτῷ οἱ τὴν φθιῶτιν ἑλλάδα κατοικοῦντες· μυρμιδόνες δὲ καλοῦνται, καὶ ἕλληνες, καὶ ἀχαιοί·

Γ ανέλος, ἀρσενικῶς, πόλις περὶ τὸν πόντον· ἐκλήθη δὲ ἀπό τινος τῶν ἡρακλεωτῶν, ὃς ἀφίκετο ἐκ βοιωτίας, ἀπόγονος ὢν Πηνέλεω τῷ στρατηγήσαντι ἐπὶ τροίαν·

Γ ανία, ἐπίνειον κιλικίας περὶ τὸ ἀλήϊον πεδίον· τὸ ἐθνικὸν, πανιεύς· καὶ τὸ θηλυκὸν, πανιάς· ἔστι δὲ καὶ πάνιον σπήλαιον παλαιστίνης, ἀφ' οὗ ἐκρεῖ ὁ ποταμὸς ἰορδάνης· ὁ τοπίτης, πανιεύς·

Γ ανιώνιον, τέμενος, καὶ πάραλος ἐν τῇ παραλίᾳ τῶν ἐφεσίων, καὶ σαμίων· ὁ πολίτης, πανιώνιος· οὗ τὸ οὐδέτερον, τὰ πανιώνια· ἔστιν οὖν ὡς βυζάντιον, βυζαντηνὸς, ἀνακτόριον, ἀνακτόριος· τὸ κτητικὸν, πανιωνικός.

Γ ανδατερία, νῆσος, ἐν ᾗ ἐξώρισεν Ἀγριππίναν τὴν γυναῖκα τιβέριος νέρωνος· τὸ ἐθνικὸν, πανδατερηνὸς, καὶ πανδατεριανός·

Π ανόπη, πόλις φωκίδος· κέκληται δὲ ἀπὸ Φανοπέως τοῦ φώκου παιδός· τὸ ἐθνικὸν οὖν πανοπεὺς, ὁμοίως τῷ πρωτοτύπῳ·

Π άνορμος, πόλις σικελίας, καὶ λιμὴν, ὡς πολύβιος· οἱ κατοικοῦντες, πανορμηνοί· ὁ δὲ τοῦ ἐν σικελίᾳ πολίτης, πανορμίτης· τὸ θηλυκὸν, πανορμῖτις· λέγεται δὲ καὶ πανορμεύς·

Γ άνος, κώμη περὶ τὴν ἐρυθρὰν θάλασσαν, ἥτις καὶ πανῶν λέγεται· τὸ ἐθνικὸν, πανοκωμίτης·

Π ανὸς πόλις, αἰγύπτου· ἔστι δὲ καὶ τοῦ θεοῦ ἄγαλμα μέγα, ὀρθιακὸν ἔχον τὸ αἰδοῖον εἰς ἑπτὰ δακτύλους. ἐπαίρει τε μάστιγας τῇ δεξιᾷ σελήνῃ, ἧς εἴδωλόν φασιν εἶναι τὸν πᾶνα· ὁ πολίτης, πανοπολίτης·

Γ αντικάπαιον, πόλις μεγίστη τῶν κατὰ βόσπορον· μητρόπολις· ᾠκίσθη δὲ παρὰ αἰήτου παιδὸς, λαβόντος τὸν τόπον παρὰ Αγαήτου τοῦ σκυθῶν βασιλέως, καὶ καλέσαντος τὴν πόλιν ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ ἀντικάπου· ὁ πολίτης, παντικαπαιεύς· λέγεται καὶ παντικαπαιάτης. ἔστι δὲ παντικαπαιεὺς, ὡς σινώπη, σινωπεύς· τὸ δὲ παντικαπαιάτης, κεῖται παρὰ εὐστοχίῳ·

Γ αντομάτιον, πόλις κρήτης· ὁ πολίτης, παντομάτιος, ὡς βυζάντιος, ἢ παντοματιεὺς, ὡς βουπράσιος, βουπρασιεὺς, καὶ δουλίχιον, δουλιχιεύς.

Γ απίτιον, πόλις παφλαγονίας· τὸ ἐθνικὸν, ὅμοιον τῷ πρωτοτύπῳ·

Γ απριμὶς, πόλις αἰγύπτου· ὁ πολίτης, παπριμίτης·

Γ αράδεισος, πόλις συρίας· ἔστι καὶ κώμη σικελίας τοιῶσδε λεγομένη·

Γ αραπαλῖται, ἰχθύες περὶ τὸν αἴπαλον εὑρισκόμενοι, ὡς περὶ ἀχελῷον, καὶ παρωκεανῖται·

Γ αραισος, περὶ ἧς ἡρωδιανὸς ἐν ὀγδόῳ· τὸ

μένοι παραισὸς, ὀξυώνεται. ἐγένετο δὲ ὁ παί
ραισος μίνῳ συγγενὴς, ἀφ᾽ οὗ ἡ πόλις ἡ παί
ραισος ὁμοτόνως τῷ οἰκιστῇ.

Π αραιτάκη, πόλις μηδική. τὸ ἐθνικὸν, παραι
τακηνὸς, ὡς γέρασα, γερασηνὸς, ζόαρα, ζοα-
ρηνός. καὶ ἀπὸ τοῦ παραιτάκη, παραιτακη-
νὸς, ὡς τοῦ ἀρτάκη, ἀρτακηνός.

Π αραιτώνιον, πόλις πλησίον ἀλεξανδρεί-
ας, ἣν ἀμμωνίαν καλοῦσι.

Π άραλος, ἐν θετταλίᾳ πόλις τῶν μηλιέων,
ἧς οἱ πολῖται παράλιοι. ἔστι δὲ καὶ παρα-
λία τῆς ἀττικῆς. οἱ οἰκήτορες λέγονται καὶ
πάραλοι.

Π αραποταμία, πόλις φωκίδος. ὁ πολίτης,
παραποτάμιος.

Π αραυαῖοι, ἔθνος θεσπρωτικόν. ῥιανὸς ἐν
τετάρτῳ θεσσαλικῶν, σὺν δὲ παραυαίοις,
καὶ ἀμύμονας ἀμφαλιῆας. καλοῦνται δὲ
ἀπὸ τοῦ παρὰ τὸν αὖον ποταμὸν οἰκεῖσθαι.

Π αραχελωῖται, ὡς παρωκεανῖται, καὶ πα
ρασώπιοι, διττὸν ἔθνος. διττὸν γὰρ καὶ ἀχελώ
ϊος. ὁ μὲν, φθιώτης. ὁ δὲ, αἰτωλός. καὶ οἱ πα
ροικοῦντες, ὁμοίως παραχελωῖται.

Π άρεδρος, τῷ βασιλεῖ συγκαθήμενος, παρὰ
τὴν ἕδραν, ἥτις παρὰ τὸ ἕδος τοπικῶς εἴρη-
ται. ὅθεν δὲ καὶ παρ᾽ ἀθηναίοις συνάρχον-
τες οἱ πάρεδροι. ἐκ τούτου καὶ τὸ παρεδρεύειν,
ὡς τοῦ ἔφεδρος, τὸ ἐφεδρεύειν.

Π άρεμφις, πόλις αἰγύπτου. ὁ πολίτης, πα-
ρεμφίτης.

Π αρέντιον, πόλις, καὶ λιμὴν πλησίον ἰστρί-
ας. τὸ ἐθνικὸν, παρεντῖνος. τὸ θηλυκὸν, πα
ρεντίνα.

Π αρθένιον, πόλις εὐβοίας. ἔστι δὲ καὶ θρά-
κης. τὸ ἐθνικὸν, παρθένιος, καὶ παρθενεύς.

Π αρθένιος, ποταμὸς ἐν μέσῳ τῆς ἀμαστρια-
νῶν πόλεως ῥέων. ἐκλήθη δ᾽ ἐκ τοῦ συνεχῶς
περὶ αὐτὸν τὴν παρθένον ἄρτεμιν κυνη-
γετεῖν. ἢ διὰ τὸ ἠρεμαῖον, καὶ παρθενῶ-
δες τοῦ ῥεύματος, ὡς ἀκαλὰ προρέων, ὡς
ἁβρὴ παρθένος εἶσι. τινὲς ὅτι ἐν αὐτῷ ἔπε
σεν ἡ παρθένος παλαιτῖνος βασιλέως θυ-
γάτηρ. καὶ τὴν μὲν, τελευτῆσαι ἐκεῖ, τῷ δὲ πο
ταμῷ παρθένιον ὄνομα τοὺς προσχώρους
θέσθαι ἐπὶ τῷ πάθει τῆς παρθένου. ἔστι
καὶ ἀκρωτήριον πλησίον ἡρακλείας, οὗ μέ
μνηται ἀρτεμίδωρος ἐν ἕκτῳ γεωγραφου
μένων. ἔστι καὶ παρθενία κώμη, πόντου
πλησίον.

Π αρθενώπη, πόλις ἐν ὀπικοῖς τῆς ἰταλίας,
κτίσμα ῥοδίων. ὁ πολίτης, παρθενοπαῖος
ὁμωνύμως τῷ κυρίῳ.

Π αρθενόπολις, μακεδονίας πόλις, ἀπὸ τῶν
θυγατέρων γράσου τοῦ μύγδονος παι-
δὸς, ὡς θεαγένης ἐν μακεδονικοῖς. ἀπὸ δὲ
τῶν θυγατέρων διὰ τὸ ἄποικον αὐτῶν τῆς
διαίτης, καὶ τὸ ἄμικτον, ἔκτισε πόλιν, ἥτις
ἔτι καὶ νῦν δι᾽ ἐκείνας παρθενόπολις κέ-
κληται. ὁ πολίτης, παρθενοπολίτης.

Π αρθένου ἱερὸν, τόπος καὶ ἄκρα πρὸ τῆς χερ
ρονήσου πόλεως βοσπόρου, ὡς στράβων. ἔστι
δὲ δαίμονός τινος ἐπώνυμον, καὶ ἄκρα, καὶ νεὼς,
καὶ τὸ ξόανον, ἔχον στολὰς ἑκατόν. ὁ δὲ σχηματι
σμὸς, ἀπὸ δύο ἐστὶ παράγωγον. ὡς γὰρ ἀπὸ
τοῦ μόψου καὶ ἑστία παρήχθη τὸ μοψεάτης
ἀπὸ μόνου τοῦ μόψου, οὕτω καὶ ἀπὸ τῆς παρ
θένου καὶ ἱερὸν, ἢ ἄκρας, ἢ ξοάνου, ὁ οἰκή-
τωρ παρήχθη μόνον τὸ παρθένιος, ἀπὸ τοῦ
παρθένου μόνου ὀνόματος.

Π άρθος, πόλις ἰλλυρική. ἀπολλόδωρος ἐν χρο
νικοῖς. λέγεται δὲ καὶ ἀρσενικῶς, ὡς πολύ-
βιος. τὸ ἐθνικὸν, παρθηνός.

Π αρθυαῖοι, ἔθνος πάλαι μὲν σκυθικὸν, ὕστε-
ρον δὲ φυγὸν, ἢ μετοικίσαν ἐπὶ μήδου, κλη-
θὲν δ᾽ οὕτω παρὰ μήδοις, διὰ τὴν φύσιν τῆς
αὐτοὺς δεξαμένης γῆς, ἑλώδους, καὶ ἀγκώ
δους οὔσης, ἢ διὰ τὴν φυγὴν, καθότι οἱ σκύθαι
τοὺς φυγάδας πάρθους καλοῦσι. λέγονται
δὲ καὶ πάρθοι, καὶ πάρθιοι, καὶ παρθυ-
αῖοι. καὶ παρθυαία ἡ χώρα, καὶ παρθυή-
νη, καὶ παρθύηνος. καὶ παρθὶς ἡ χώρα μα
κεδονίας.

Π αρικάνη, πόλις περσική. ἑκαταῖος ἀσίᾳ.
ἐν δ᾽ αὐτοῖσι πόλις παρικάνη οὔνομα. τὸ
ἐθνικὸν, παρικάνιοι λέγονται, καὶ παρί-
κανοι.

Π άριον, πόλις ἐν ἑλλησπόντῳ, κληθεῖσα ἀπὸ
παρίου τοῦ ἰασίωνος. τὸ ἐθνικὸν, πάριος. ὁ
πολίτης, παριανός. καὶ τὸ θηλυκὸν, παρια-
νή. λέγονται καὶ παριανεῖς, ἀπὸ τῆς παρια
νοῦς εὐθείας.

Π άρμη, πόλις ἰταλίας. τὸ ἐθνικὸν, παρ-
μαῖος, ἢ παρμανὸς, ὡς ἀλξανός.

Π αρνασσὸς, ὄρος δελφῶν. ὁ ὄρειος, παρνάσσι
ος. τὸ θηλυκὸν, παρνασσία, καὶ παρνασσι-
ὰς, ἀπὸ τοῦ παρνάσσιος, ὡς ἑλικωνιάς. καὶ
τὸ οὐδέτερον, παρνάσσιον. λέγεται καὶ πάρ-
νασσις, παρὰ τὸ παρνασσὸς, ὡς τοῦ τελμισ
σὸς, τελμισσίς. καὶ παρνασσεύς. τὸ κτητικὸν,
παρνασσιακοί. ἐκαλεῖτο δὲ πρότερον λάρ
νασσος, διὰ τὸ τὴν δευκαλίωνος λάρνακα
αὐτόθι προσενεχθῆναι. ἔνιοι δέ φασιν ἀπὸ
παρνασσοῦ παρνασσὸν τοὔνομα λαβεῖν, ὃν
καὶ μαντεύσασθαι πυθοῖ πρῶτον, ὡς ἀλέ-
ξανδρός φησιν ἐν πρώτῳ περὶ τὸ ἐν δελ-
φοῖς χρηστήριον.

Π άρνης, πάρνηθος, τὸ ὄρος τῆς ἀττικῆς. ἔστι δὲ
καὶ ἀρσενικῶς λέγεται. εὐφάνης ἐν πυ-
ραυνῷ, ἐς κόρακας ἔξω φέρων τε δεῦρο τὸν
πάρνηθα ὅλον. καὶ θηλυκῶς, ὡς παρὰ ἀρι

στραφεῖσα ἐν νεφέλαις, βλέπε νῦν δεῦρο πρὸς τὴν Πάρνηθα. τὸ τοπικὸν, Παρνήθιος λέγεται. καὶ ἀπὸ τῆς Πάρνηθος γενικῆς, τὸ θηλυκὸν, παρνήθιος.

Π αροιταία, χώρα, τῆς ἐρυθρᾶς θαλάσσης πλησίον, ἧς οἱ οἰκήτορες Παροιταῖοι.

Γ αροπάμισος, πόλεως ὄρος ἰνδικῆς, ἀφ' οὗ Παροπαμισάδαι οἱ παροικοῦντες. Ἀπολλόδωρος δὲ ἐν δευτέρῳ περὶ γῆς ἀπ' αὐτῶν φησι τὸ ὄρος κεκλῆσθαι. οἱ δὲ ἐκεῖ κατοικοῦντες, Παροπαμισάδαι.

Γ άρος, νῆσος, ἣν καὶ πόλιν Ἀρχίλοχος αὐτὴν καλεῖ ἐν τοῖς ἐπῳδοῖς. ᾠκεῖτο δὲ τὸ μὲν πρῶτον, ὑπὸ Κρητῶν, καί τινων Ἀρκάδων ὀλίγων. τοὔνομα μὲν λέγεται ἀπὸ Πάρου τοῦ Παρρασίου ἀνδρὸς Ἀρκάδος ἔχειν, ὡς Καλλίμαχος. Νικάνωρ δὲ ἐν ταῖς μετονομασίαις κεκλῆσθαί φησιν αὐτὴν Πακτίαν, Δημητριάδα, Ζάκυνθον, Ὑρίαν, Ὑλήεσσαν, καὶ Μινώαν, καὶ Κάβαρνιν, ἀπὸ Καβάρνου τοῦ μηνύσαντος τὴν ἁρπαγὴν τῇ Δήμητρι τῆς θυγατρός. ὁ πολίτης, Πάριος. εἰκῆ τοίνυν τὸ ἐθνικὸν τῆς Πάρου ὁ τεχνικὸς Ἀπολλώνιος Παριανὸν εἴρηκεν ἐν τῷ περὶ παρωνύμων οὕτω γράφων, τοῦ δὲ δευτέρου παρὰ τὸν Κυζικὸν, Κυζικηνὸς, καὶ παρὰ τὴν Πάρον, Παριανὸς, Λεοντιανὸς, Ταυριανός. ἀπὸ ταύτης λέγεται παροιμία τὸ ἀναπαριάζειν, ὡς Ἔφορος ἐν δεκάτῳ. ὁ γὰρ Μιλτιάδης, τῶν μὲν ἄλλων νήσων τινὰς ἀποβάσεις ποιησάμενος, ἐπόρθησε. Πάρον δὲ εὐδαιμονεστάτην καὶ μεγίστην οὖσαν, ὅτι τῶν Κυκλάδων καθεζόμενος ἐπολιόρκει πολὺν χρόνον τῆς θαλάττης εἴργων, καὶ κατὰ γῆν μηχανήματα ἄγων. ἤδη δὲ τῶν τειχῶν πιπτόντων, καὶ ἐπὶ τὸ παραδιδόναι τὴν πόλιν διωμολογημένων, ὕλης τινὸς ἐξ αὐτομάτου περὶ τὴν Μύκωνον ἐξαφθείσης, οἱ μὲν Πάριοι, τὸν Δᾶτιν αὐτοῖς πυρσεύειν ὑπολαβόντες, ἐψεύσαντο τὰς ὁμολογίας. καὶ τὴν πόλιν οὐκέτι τῷ Μιλτιάδῃ παρέδοσαν. ὅθεν φασὶν ἡμᾶς ἔτι καὶ νῦν χρῆσθαι τῇ παροιμίᾳ τοὺς ψευδομένους τὰς ὁμολογίας ἀναπαριάζειν φάσκοντας. ἔστι καὶ ἄλλη Πάρος νῆσος Λιβυρνῶν, ὡς φησι Σκύμνος ὁ Χῖος ἐν πρώτῳ περιηγήσεως.

Π αρπάρων, χώρα ἐν Ἀσίᾳ αἰολική, ἔνθα ἱστοροῦσι Θουκυδίδην ἀποθανεῖν, ὡς Ἀπολλόδωρος ἐν χρονικῶν δευτέρῳ. τινὲς δὲ Περίνην αὐτὴν καλοῦσιν. ὁ πολίτης, Παρπαρώνιος, ἀπὸ τῆς Παρπάρωνος γενικῆς. τὸ θηλυκὸν, Παρπαρωνία. Ἀνδροτίων δ' ἐν ζ΄ Ἀτθίδος Παρπαρωνιώτας φησίν. ἔστι δὲ ὡς ἀπὸ τοῦ Παρπαρεία, ὡς Θεσσαλία, Θεσσαλιώτης. Ἑστιαία, Ἑστιαιώτης.

Π αῤῥασία, πόλις Ἀρκαδίας. Ὅμηρος, Στύμφηλον, καὶ Παῤῥασίην ἐνέμοντο. κέκληται ἀπὸ Παῤῥάσου ἑνὸς τῶν Λυκάονος παίδων. Χάραξ δὲ κτίσμα Πελασγοῦ ἐν πρώτῳ χρονικῶν οὕτω, Πελασγὸς Ἀρέστορος παῖς τὴν ἐκ Βάσου τοῦ Ἄργου, μετοικήσας ἐξ Ἄργους, εἰς τὴν ἀπ' ἐκείνου μὲν τότε Πελασγίαν, ὕστερον δὲ Ἀρκαδίαν κληθεῖσαν ἐβασίλευσεν ἔτη εἰκοσιπέντε, καὶ πόλιν Παῤῥασίαν ἔκτισε. Νικάνωρ δὲ Παρμασίαν φησὶν αὐτὴν κεκλῆσθαι, διὰ τὴν Λυκάονος εἰς τὸν Δία παρανομίαν. ὁ πολίτης, Παῤῥάσιος, καὶ Παῤῥασιεὺς, καὶ Παῤῥασίς. Δέξονται φιλοῤῥόης οὔρεα Παῤῥασίδος. καὶ Παῤῥασική.

Π αρώρεια, πόλις Ἀρκαδίας. λέγεται δὲ καὶ Παρωρία. οἱ πολῖται, Παρωρεῖς. Νικόλαος δὲ Παρωρεάτας φησίν. ἔστι καὶ Μακεδόνων πόλις. τὸ ἐθνικὸν, Παρωραῖοι. ἀλλὰ καὶ Παρωρείτας, ὡς Δικαιαρχίτας, καὶ Σαμαρείτας.

Γ άσσα, πόλις Θρᾴκης. τὸ ἐθνικὸν, Πασσαῖος, ὡς Ἰσσαῖος τῆς Ἴσσης. ἔστι δὲ καὶ Πασσάνδα χωρίον παρὰ Ἀδραμύττειον πόλιν, καὶ Κυθήνην. τὸ ἐθνικὸν, Πασσανδεὺς τῷ τῆς χώρας τύπῳ. Ἔφορος, ὀλίγοι δέ τινες εἰς τὸ τῶν Πασσανδέων χωρίον ἔφυγον.

Π άσσαλα, Μυλασσέων ἐπίνειον. τὸ ἐθνικὸν, Πασσαλεύς.

Γ ασαργάδαι, πόλις θηλυκῶς. Δίδυμος ἐν ἑξηκοστῷ πέμπτῳ παντοδαπῶν ἀναγνωσμάτων παρατιθέμενος Ἀναξιμένην ἐν μεταλλαγαῖς βασιλέων οὕτω γράφοντα, τὰς δὲ Πασαργάδας ἔκτισεν ὁ Κῦρος. ἐφ' οὗ τόπου παραταξάμενος Ἀστυάγην ἐνίκησεν. ὀνομάζεται δὲ ἡ πόλις διερμηνευθεῖσα Περσῶν στρατόπεδον. Ἀπολλόδωρος δὲ ἀρσενικῶς φησιν. ἔοικε δὲ ἀρσενικῶς καὶ θηλυκῶς εἰρῆσθαι. τάχα δὲ ὅπερ ἄμεινον, ἐπὶ μὲν τῆς πόλεως, θηλυκῶς. ἐπὶ δὲ τῶν οἰκητόρων, ἀνδρωνύμως.

Π αστερὶς, Αἰγυπτία πόλις. ὁ πολίτης, Παστερίτης, καθὼς τοῦ Ἀστερὶς, Ἀστερίτης.

Π άταλα, πόλις ἰνδική. λέγεται δὲ καὶ Παταλη. τὸ κτητικὸν, Παταληνικός. λέγεται καὶ Παταλαῖος.

Π άταλος, νῆσος παρακειμένη τῇ Καρίᾳ. τὸ ἐθνικὸν, Πατάλιος. καὶ ὡς ἀπὸ τοῦ Παταλεὺς, τὸ θηλυκὸν, Παταληΐς, ὡς βασιληΐς.

Γ άταρα, πόλις Λυκίας. Ἑκαταῖος Ἀσίᾳ. ἐκλήθη δὲ ἀπὸ Πατάρου τοῦ Ἀπόλλωνος, καὶ Λυκίας τῆς Ξάνθου. Ἀλέξανδρος Σαλακίαν κόρην ἐξ Ὀφιονίδος φησὶ φέρειν ἱερὰ τῷ Ἀπόλλωνι ἐν Πατάροις. ἔστι δὲ ταῦτα πέμματα. λύρας τε, καὶ τόξα, καὶ βέλη, οἷς παίζειν νηπίους ὄντας. θεῖσαν δὲ τὸ ἄγκος, ἀναπαύεσθαι κατὰ τὴν ὁδόν. ἀνέμου δ' ἐπιπνεύσαντα, εἰς τὴν θάλασσαν βαλεῖν τὴν πατάραν. κλαίουσαν δὲ τὴν

δὲ τὴν παῖδα, εἰς τὸν οἶκον ἐλθεῖν. τὴν δὲ πατάραν τῇ λυκίων χερρονήσῳ κατενεχθῆναι. παρατυχόντα δέ τινα τῶν ἐκ τῆς ἀλακίας φυγόντων τῇ πατάρᾳ τὰ ἐν αὐτῇ πέμματα πάντα κατακαῦσαι, καὶ τὴν χερρόνησον ἱερὰν ἀπόλλωνι εἶναι. ὠνομάσθαι δὲ τὴν χώραν ἀπὸ τοῦ ἄγγους τοῦ πατάρας, πατάρα. μεθερμηνεύεσθαι δὲ τὴν πατάραν ἑλληνιστὶ, κίστην. ὁ πολίτης, παταρεύς. τὸ θηλυκὸν, παταρηὶς, ὡς βασιληίς. τὸ κτητικὸν, παταρήϊον ὕδωρ.

Γ άτουμος, πόλις ἀραβίας. τὸ ἐθνικὸν, πατούμιος. μᾶλλον δὲ πατουμηνὸς τῷ τῆς χώρας ἔθει.

Π άτρα, ἓν τῶν τριῶν τῶν παρ᾽ ἕλλησι κοινωνίας εἰδῶν, ὡς δικαίαρχος. ἃ δὴ καλοῦμεν πάτραν. φατρίαν. φυλήν. ἐκλήθη δὲ πάτρα μὲν εἰς τὴν δευτέραν μετάβασιν ἐλθόντων, ἡ κατὰ μόνας ἑκάστῳ πρότερον οὖσα συγγένεια, ἀπὸ τοῦ πρεσβυτάτου τε, καὶ μάλιστα ἰσχύσαντος ἐν τῷ γένει τὴν ἐπωνυμίαν ἔχουσα, ὃν ἂν τρόπον αἰακίδας, ἢ πελοπίδας εἴποι τὶς ἄν. φατρίαν δὲ συνέβη λέγεσθαι, καὶ φατρίαν, ἐπειδή τινες εἰς ἑτέραν φάτραν ἐδίδοσαν θυγατέρας ἑαυτῶν. οὐ γὰρ ἔτι τῶν πατριωτικῶν ἱερῶν εἶχε κοινωνίαν ἡ δοθεῖσα, ἀλλ᾽ εἰς τὴν τοῦ λαβόντος αὐτὴν συνετέλει πάτραν. ὥστε πρότερον πόθῳ τῆς συνόδου γιγνομένης ἀδελφαῖς σὺν ἀδελφῷ, ἑτέρα τὶς ἱερῶν ἐτέθη κοινωνικὴ σύνοδος, ἣν δὴ φατρίαν ὠνόμαζον. καὶ πάλιν ὥστε πάτρα μὲν, ὅνπερ εἴπομεν ἐκ τῆς συγγενείας τρόπον ἐγένετο μάλιστα τοῖς γονέων σὺν τέκνοις, καὶ τέκνα σὺν γονεῦσι. φατρία δὲ, ἐκ τῆς τῶν ἀδελφῶν. φυλὴ δὲ, καὶ φυλέται πρότερον ὠνομάσθησαν, ἐκ τῆς εἰς τὰς πόλεις καὶ τὰ καλούμενα ἔθνη συνόδου γενομένης. ἕκαστον γὰρ τῶν συνελθόντων φῦλον ἐλέγετο εἶναι. οἱ οἰκήτορες, πάτριοι.

Π άτραι, πόλις ἀχαΐας, ἀπό τινος πατρέως. ὁ πολίτης, πατρεύς.

Π ἄτρασις, πόλις ποντικὴ, ὡς ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, πατρασίτης, καὶ πατράσιος, καὶ πατρασιεύς.

Π ατριαγάδαι, περσικὸς τόπος. οἱ οἰκήτορες, ὁμοίως πατριαγάδαι.

Γ ατρὶς, ἡ πατρόθεν πόλις. τὸ ἐθνικὸν, ὤφειλε πατρίτης. ἄμεινον δὲ τὸ πατριώτης.

Γ ατρόκλου νῆσος. ὡς προκοννήσιος, οὕτω πατροκλονήσιος, παρὰ τὴν ἀττικήν.

Γ άτυκος, πόλις οἰνώτρων ἐν μεσογείᾳ. τὸ ἐθνικὸν, πατυκίτης.

Π αυσέρκαι, ἔθνος περὶ τὸν καύκασον.

Γ αυταλία, μοῖρα θρᾴκης. τὸ ἐθνικὸν, πανταλιώτης.

Π αφλαγονία, ἀπὸ παφλάγου τοῦ φινέως παιδός.

Γ άφος, πόλις κύπρου. οἱ πολῖται, πάφιοι.

Γ άχυνος, ἀκρωτήριον σικελίας. τὸ ἐθνικὸν, παχύνιος.

τὸ πι μετὰ τοῦ ε ψιλοῦ.

Γ έδα, πόλις αὐσονική. τὸ ἐθνικὸν, πεδανός.

Π εδιεῖς, πόλις καρίας. τὸ ἐθνικὸν, ὁμωνύμως, ὡς ὀδυσσεῖς. ἢ πεδιείτης, ὡς ἀταρνείτης.

Π εδίον, τόπος πλατὺς, καὶ ὁμαλός. τὸ τοπικὸν, πεδιεύς. ἔστι δὲ καὶ πεδιὰς φυλὴ τῆς ἀττικῆς.

Π εδνηλισσὸς, πόλις πισιδίας. τὸ ἐθνικὸν, πεδνηλισσεὺς, ὡς τελμισσεὺς, ἀπὸ τοῦ τελμισσός.

Γ ειγέλασος, πόλις καρίας. τὸ ἐθνικὸν, πειγελασεῖς.

Γ ειραιὸς, οὕτως ἐκαλεῖτο ὁ λιμὴν τῆς ἀττικῆς. πειραιὸς δὲ καὶ τὸ ἐθνικόν. ὕστερον δὲ πειραιεὺς δῆμος ἱπποθωντίδος φυλῆς. ὁ δημότης, πειραιεύς. τὰ τοπικὰ, ἐκ πειραιῶς, εἰς πειραιᾶ, ἐν πειραιεῖ, καὶ πειραιοῖ. λέγεται καὶ κτητικῶς πειραϊκὸς μετὰ συστολῆς τοῦ α. ἔστι καὶ τῆς κορινθίας λιμήν. λέγεται καὶ πειρηΐδος ἱερὸς ὄρνις, ὡς ἀπὸ τοῦ πειρήτης ἀρσενικοῦ. ἔστι δὲ δῆλον, ὡς ἀπὸ τοῦ πειραιᾶ, πειραιάτης, καὶ πειραιείτης. καθ᾽ ὑφαίρεσιν τῆς ει διφθόγγου πειραιάτης.

Γ ειρασία, πόλις μαγνησίας. τὸ ἐθνικὸν, πειρασιεὺς, ὡς ὑβριεὺς, καὶ ὑσιεύς. τὸ θηλυκὸν, πειρασίς. λέγεται καὶ πειρέσιος.

Γ ελαγονία, χώρα σικελίας. τὸ ἐθνικὸν, πελαγονεῖος.

Γ ελασγία, ἡ χώρα τοῦ ἄργους, καὶ ἡ γυνή. σημειωτέον δὲ ὅτι πελάσγιος οὐ λέγεται τὸ ἐθνικὸν ἄῤῥεν, ἀλλ᾽ ὁμώνυμον τῷ κτίστῃ πελασγός. πελασγιῶτις δὲ θηλυκὸν, καὶ πελασγία. καὶ πελασγικὸν ἄργος ἔναιον, καὶ πελασγικόν. καὶ πελασγιώτης, ἀπὸ τοῦ πελασγία.

Γ ελεθρόνιον, ὄρος θετταλίας. ὁ οἰκήτωρ, πελεθρόνιος.

Π έλη, πόλις θετταλικὴ διττή. μία μὲν, ὑπὸ εὐρυπύλῳ. ἑτέρα δὲ, ὑπὸ ἀχιλλεῖ. ἔστιν οὖν ἀπὸ τοῦ πέλη, πέλεια, ὡς ζέλη, ζέλεια. τὸ ἐθνικὸν, πελεύς.

Γ έλιννα, πόλις θετταλίας ἐν τῇ φθιώτιδι. κέκληται ἀπὸ πελίννου τοῦ οἰχαλιέως. ἔστι δὲ καὶ πελληναῖον ὄρος χίου. καὶ τὸ κτητικὸν, πελληναῖος.

Π έλλα, πόλις μακεδονίας, θετταλίας, ἀχαΐας, κοίλης συρίας, ἡ βοῦτις λεγομένη. ἡ δὲ μακεδονίας, βούνομος τὸ πρότερον ἐκαλεῖτο

τη, καὶ βουνόμεια. ἐκλήθη δὲ ἀπὸ Πέλλα τοῦ κτίσαντος. ὁ πολίτης, πελλαῖος. τὸ ἐθνικὸν, πελληνοί, ὡς εἴπομεν τῆς χώρας, καὶ ἔδεσσα. ποτὲ μὲν ἐδεσσαίους, ποτὲ δὲ ἐδεσσηνούς. ἔστι καὶ πέλλα ὄρος αἰθιοπίας.

Γ ελλώνη, πόλις ἀχαΐας. λέγεται καὶ πελλίνα, ὡς μιτυλίνα. ὁ πολίτης, πελληνεύς. τὸ θηλυκὸν, πελληνίς. σημειωτέον δὲ ὅτι παλλήνη, καὶ πελλήνη, ἑνὶ μόνῳ γράμματι διαφέρουσι. καὶ ἡ μὲν πελλήνη, δύο μόνα ἐθνικὰ ἔχει, τὸ εἰς εὺς, καὶ τὸ διὰ τοῦ ιος. ἡ δὲ παλλήνη διὰ τοῦ α, τέσσαρα. παλληνεύς. παλλήνιος. παλληναῖος. παλληνίτης.

Π ελόπη, κώμη λυδίας πρὸς τῇ φρυγίᾳ. τὸ ἐθνικὸν, πελοπεύς.

Γ ελοπόννησος, τρεῖς ἐπωνυμίας. ἀπὸ μὲν γὰρ Απέως τοῦ φορωνέως, ἐκαλεῖτο ἀπία. ἀπὸ δὲ Πελασγοῦ, πελασγία. ἀπὸ δὲ Αργους, ὁμωνύμως ἄργος ἐκαλεῖτο. ἀπὸ δὲ τῶν πελοπιδῶν, πελοπόννησος. ὁ οἰκήτωρ, πελοποννήσιος. πελοποννησιακὸν δὲ πόλεμον φυλάττονται λέγειν. λέγεται καὶ πελόπειος διὰ διφθόγγου, ἀπὸ Πέλοπος. τὸ θηλυκὸν, πελοπία, καὶ πελοπηΐς.

Π έλται, πόλις φρυγίας. τὸ ἐθνικὸν, πελτηνός.

Γ έμπτη, πόλις αἰγύπτου. ὁ πολίτης, πεμπτίτης. καὶ νόμος πεμπτίτης.

Γ ενέσται, ἔθνος θετταλικόν. ὁ τόνος βαρὺς, ὡς ὀρέσται, θυέσται.

Γ ενθίλη, πόλις λέσβου. οἱ πολῖται, πενθιλεῖς, ἀπὸ Πενθίλου.

Γ εντέλη, δῆμος ἀντιοχίδος φυλῆς. ὁ δημότης, πεντεληθεύς. ἔστι δὲ θηλυκὸν τὸ ὄνομα τοῦ δήμου. τὸ κτητικὸν, πεντελικός. τὸ θηλυκὸν, πεντελική.

Π επάρηθος, νῆσος μία τῶν κυκλάδων, ὁμώνυμον ἔχουσα πόλιν. ὁ πολίτης, πεπαρήθιος. τούτου τὸ θηλυκὸν πεπαρηθίς.

Π εραία, πολίχνιον συρίας. ἔστι καὶ χώρα κορίνθου. τὸ ἐθνικὸν, περαιεύς.

Π εραντία, πόλις αἰτωλίας.

Π έργαμος, πόλις ἀσίας. ὁ πολίτης, περγαμηνός.

Π εργάντιον, πόλις λιγύων. τὸ ἐθνικὸν, περγάντιος, ὡς ἀλαίντιος, βυζάντιος.

Γ εργασή, ὀξυτόνως δῆμος τῆς ἐρεχθηΐδος φυλῆς. ὁ δημότης, περγασεύς. ἔστιν οὖν καὶ περγασῆθεν, καὶ περγασήνδε. ἐν τόπῳ δὲ, περγασῆσι.

Γ έργη, πόλις παμφυλίας. τὸ ἐθνικὸν, περγαῖος. τὸ θηλυκὸν, περγαία. καὶ περγασία ἄρτεμις.

Π ερδίκια, οὐδετέρως χώρα καὶ λιμὴν λυκίας. τὸ ἐθνικὸν, περδικιεύς.

Π εριθοῖδαι, δῆμος οἰνηΐδος φυλῆς. ὁ δημότης, περιθοίδης. καὶ ὡς ἐκ τόπου, περιθοιδῶν. ἐν τόπῳ, ἐν περιθοιδῶν.

Π ερίνθος, ἀπὸ Περίνθου ἐπιδαυρίου τοῦ μετ' Ορέστου στρατευσαμένου. ἔστι δὲ πόλις θρᾴκης. ὁ πολίτης, περίνθιος. τὸ θηλυκὸν, περινθία.

Π. ερισθὴ, πόλις φοινίκων. τὸ ἐθνικὸν, περισθίτης.

Π ερκώτη, καὶ πάλαι περκώπη, πόλις τρῳάδος. ὁ πολίτης, περκώσιος.

Π έρνη, πόλις θρᾴκης, ἀντικρὺ θάσου. τὸ ἐθνικὸν, περναῖος, καὶ περναία.

Γ ερουσία, πόλις τυῤῥηνῶν. τὸ ἐθνικὸν, περουσιάτης. δύναται δὲ καὶ περουσιεὺς, ὡς τῆς θεοδοσίας, θεοδοσιεύς. ἔστι δὲ καὶ περυσινός. γράφεται διχῶς, καὶ διὰ τοῦ ο, καὶ δίχα αὐτοῦ.

Γ έῤῥαιβος, πόλις θετταλίας. τὸ ἐθνικὸν, περραιβαῖοι. τὸ θηλυκὸν κατὰ κοινότητα, ἡ πέῤῥαιβος, καὶ περραίβη, καὶ περραιβίς. λέγεται καὶ περραιβίτης.

Π εῤῥαίσιοι, πόλις μία τῶν δυοκαίδεκα τῶν παρὰ τοῖς τυῤῥηνοῖς ἀρχηγετίδων καλουμένων. τὸ ἐθνικὸν, περῤῥαισηνὸς, ὡς τοῦ ἀσσώρου, τὸ ἀσσωρηνός.

Π εῤῥίδαι, δῆμος τῆς ἀντιοχίδος φυλῆς. ὁ δημότης, ἐκ περῤῥιδῶν. εἰς περῤῥιδῶν. ἐν περῤῥιδῶν.

Γ έρσαι, πόλις θηλυκῶς, παρὰ τῷ εὐφράτῃ, καὶ σαμοσάταις. τὸ ἐθνικὸν, περσαῖος. δυνατὸν δὲ καὶ περσηνὸν εἰπεῖν, εἴ γε παρὰ τὴν μέσην, μεσηνὸς, καὶ μεσήνη λέγονται εὑρομεν.

Π έρσαι, τὸ ἔθνος, ἀπὸ Πέρσου τοῦ Μηδείας. λέγεται καὶ πέρσης ὄνομα. καὶ τοῦ μὲν κυρίου ἡ κλητικὴ κατὰ ὕφεσιν τοῦ σ. ὡς τὸ, ὦ πέρση. τοῦ δὲ ἐθνικοῦ, καὶ μεταβολῇ τοῦ η. εἰς α, ὦ πέρσα, ὦ σκύθα. λέγεται δὲ καὶ περσὶς ἡ χώρα, καὶ ἡ γυνή. καὶ περσίδων ἀπὸ τοῦ κτητικοῦ, ἀντὶ τοῦ περσικῶν. καὶ κτητικὸν, περσικόν. καὶ περσικαὶ, εἶδος εὐτελοῦς ὑποδήματος. ἔοικε δὲ γυναικεῖον εἶναι. λέγεται καὶ περσίζειν, ὡς τοῦ σκύθην, σκυθίζειν. ἀφ' οὗ τὸ περσιστὶ ἐπίῤῥημα, ὡς τοῦ δωρίζω, δωριστὶ, καὶ σκυθιστί.

Γ ερσέπολις, πόλις περσίδος. τὸ ἐθνικὸν, περσεπολίτης. ἔστι δὲ καὶ ὄνομα κύριον υἱοῦ Τηλεμάχου.

Γ ερσεὺς, πόλις ἀττική, καὶ λιμὴν ὁμώνυμος, ὃν ἔκτισαν ἀθηναῖοι. οἱ πολῖται, περσεῖς.

Π ερσινοῦς, πόλις γαλατίας, ἀπό τινος γάλλου περσινοῦντος. τινὲς δὲ ἀπὸ τῆς ῥεούσης

τοῦ λό

τοῦ λόφου, τοῦ ἐν ᾧ ἐτάφη Μαρσύας. τὸ ἐθνικὸν, περσινούντιος.

Γ ετεὼν, πόλις βοιωτίας. τὸ ἐθνικὸν, πετεώνιος. καὶ τὸ οὐδέτερον, πετεώνιον.

Γ ετηλία, πόλις ἰταλική. τὸ ἐθνικὸν, πετηλινός.

Π έτορσοι, λιβύης ἔθνος μέγα, καὶ πολυάνθρωπον.

Γ έζα, πόλις νῦν τῆς τρίτης παλαιστίνης. ὁ πολίτης, πεζαῖος.

Π εζόστακα, χωρίον ἀρκαδίας. ὁ οἰκήτωρ, πεζοστακαῖος.

Π έζοσσα, νῆσος κιλικίας. τὸ ἐθνικὸν, πεζοσσαῖος.

Π ευκετίαντες, ἔθνος τοῖς οἰνώζοις προσεχὲς, ὡς ἑκαταῖος εὐρώπῃ.

Π ευκέτιοι, ἔθνος περὶ τὸ ἰόνιον πέλαγος. τὸ ἐθνικὸν, πευκετιεὺς, ὡς τοῦ δουλίχιον, τὸ δουλιχιεύς. ἡρόδωρος δὲ καὶ πευκετεῖς αὐτοὺς καλεῖ. καὶ ἐπιθετικῶς, πευκέτιος.

Γ εύκη, νῆσος ἐν τῷ ἴστρῳ. οἱ οἰκήτορες, πευκηνοί.

Π έφνον, πόλις λακωνική, οὐδετέρως. ἀπολλόδωρος δὲ νῆσον αὐτήν φησι. λέγεται δὲ καὶ θηλυκῶς, καὶ οὐδετέρως. τὸ ἐθνικὸν, πεφνίτης, ὡς τοῦ λίκνον, λικνίτης. τοῦ δὲ θηλυκοῦ, πέφνιος, ὡς σίφνιος. ἀλλὰ καὶ πεφναῖος, ὡς τοῦ νῆσος, νησαῖος. καὶ πεφναία τὸ θηλυκόν.

## τὸ πι μετὰ τοῦ ἦτα.

Π ηγαὶ, παροικία μεγαρέων. οἱ οἰκήτορες, πηγαῖοι. ἔστι δὲ καὶ πόλις ἐν κυρηνίᾳ τῆς κύπρου.

Γ ήδασα, πόλις καρίας. καὶ πηδασεὺς τὸ ἐθνικόν. δεῖ δὲ οὐ διὰ τοῦ δ. γράφειν πήδασα, ἀλλὰ διὰ τοῦ γ. πήγασα. οἱ πολῖται, πηγασεῖς. ἔστι δὲ καὶ ἑτέρα πήγασος ὑπὲρ τὴν ἴδην, ἣν ἀχιλλεὺς ἐπόρθησεν. ὁ πολίτης, πηδασεύς. καὶ πατρωνυμικῶς, πηδασίδης.

Γ ηλαγονία, μοῖρα μακεδονίας. οἱ οἰκήτορες, πηλαγόνες. ἔστι δὲ καὶ ὄνομα κύριον. ἔοικε δὲ γράφεσθαι τὸ μὲν τῆς χώρας ὄνομα μετὰ τοῦ ἐθνικοῦ κατὰ τὴν δευτέραν συλλαβὴν διὰ τοῦ α. τὸ δὲ τοῦ ἥρωος, μόνον διὰ τοῦ ε.

Γ ήλη, μικρὰ νῆσος. βαρύνεται δέ. τὰ γὰρ διὰ τοῦ ηλη. δισύλλαβα, βαρύνεσθαι θέλει, εἰ μὴ δασέως ἄρχεται συμφώνου. οἷον, μήλη. στήλη. τὸ ἐθνικὸν, πηλαῖος.

Γ ήληκες, δῆμος λεοντίδος φυλῆς. ὁ δημότης, πήληξ. τὰ τοπικὰ, ἐν πήληξι, εἰς πήληκας, ἐκ πηλήκων. καὶ θαυμαστὸν τοῦτο, ὅτι ὁ δῆμος πληθυντικῶς λέγεται, ἑνικῶς δὲ τὰ τοπικά.

Γ ήλικος, πόλις ἐν λιβύῃ. τὸ ἐθνικὸν, πηλικίτης.

Γ ήλιον, πόλις θετταλίας. τὸ ἐθνικὸν, πηλιεὺς, καὶ πηλιώτης. καὶ θηλυκῶς, πηλιῶτις. λέγεται δὲ καὶ πηλία. καὶ τὸ ἐθνικὸν, πηλιεύς. καλεῖται δὲ καὶ πηλεῖς πληθυντικῶς, ἀπὸ τοῦ πηλιεὺς ἑνικοῦ. καλεῖται δὲ ἀπὸ τῆς θέτιδος ἡ πόλις. καὶ τούτου τὸ ἐθνικὸν, πηλίτης. τὸ δὲ ὄρος, πήλιον. τὸ ἐθνικὸν τὸ θηλυκὸν τοῦ ὄρους, πηλιάς, καθὰ τοῦ ἴλιον, ἰλιεὺς, καὶ ἰλιάς. λέγεται καὶ κτητικὸν πηλιωτικὸν, ἀπὸ τοῦ πηλιώτης. ἔστι δὲ καὶ πήλιον ἰλλυρίας πόλεως, ἧς μέμνηται κουάδρατος. τὸ ἐθνικὸν, πηλινός.

Γ ηλοῦς, νῆσος περὶ χίον. τὸ ἐθνικὸν, πηλούσιος, ὡς ῥαμνούσιος.

Γ ηλούσιον, πόλις αἰγύπτου, εἰς ἣν ἐκρεῖ τὸ πρῶτον στόμα. τὸ ἐθνικὸν, πηλουσιώτης, ὡς ζεφυριώτης. ἀλλὰ καὶ πηλούσιος, καὶ πηλουσιακός. ἔστι καὶ πηλούσιον λιμὴν θετταλίας.

Γ ήρα, πόλις σικελίας. τὸ ἐθνικὸν, πηραῖος.

Π ηρεία, θεσσαλίας χωρίον. τὸ ἐθνικὸν, πηρεύς.

## τὸ πι μετὰ τοῦ ἰῶτα.

Π ίακος, πόλις σικελίας. οἱ πολῖται, πιακηνοί.

Γ ιαλία, πόλις θεσσαλικὴ ὑπὲρ τὸν κόρκετον, ὄρος. τὸ ἐθνικὸν, πιαλεύς.

Γ ίασται, ἔθνος πρὸς τῷ πόντῳ. βαρύνεται δὲ ὁμοίως τῷ ὀρέσται. ὁμοίως δὲ καὶ οἱ δέσται. μακεδονικὰ δέ εἰσιν ἔθνη καὶ οἱ πιασταί. χρὴ δὲ εἰδέναι ὅτι οὔ φησι καὶ τοὺς πίαστας μακεδονικὸν ἔθνος εἶναι, ἀλλὰ συμβαρυνομένους τοῖς δέσταις, καὶ ὀρέσταις.

Γ ίγινδα, ὡς ἄλινδα, δάρανδα, δῆμος καρίας. οἱ δημόται, πιγινδεῖς.

Π ιερία, πόλις ἐν ὁμωνύμῳ χωρίῳ. ὁ πολίτης, πιεριώτης, καὶ πιερίτης, καὶ πιεριεύς.

Γ ιθηκοῦσσαι, νῆσοι περὶ τυρρηνίαν. οἱ οἰκήτορες, πιθηκουσσαῖοι.

Π ιθήκων κόλπος, λιμὴν ἐν τῇ λιβύῃ περὶ χαρχηδόνα. τὸ ἐθνικὸν, πιθηκολπίτης.

Π ίθος, ὁμωνύμως τῷ ἀγγείῳ, δῆμος τῆς κεκροπίδος φυλῆς. κέκληται δὲ ἀπό τινος πίθου, τῶν πίθων αὐτόθι γινομένων. ὁ δημότης, πιθεύς. τὰ τοπικὰ, ἐκ πιθέων, εἰς πιθέων, ἐν πιθέων.

Π ικεντία, πόλις τυρρηνίας· Φλέγων δὲ πίκεντον αὐτὴν καλεῖ· οἱ ἐνοικήτορες, πικεντηνοί. καὶ τὸ θηλυκὸν, πικεντηνή.
Π ιάντες, ἔθνος ἰταλίας.
Π ίλωρος, πόλις περὶ τὸν ἄθων· τὸ ἐθνικὸν, πιλωρίτης, ὡς ἀλωρίτης.
Γ ιμώλισα, οὐδέτερον, φρούριον τῆς ἐντὸς ἅλυος ποντικῆς, ἀφ' οὗ ἡ χώρα πιμωλισηνή· ὁ κατοικῶν τὴν πόλιν, πιμωλισηνὸς, ὡς ἔμισα, ἐμισηνός.
Π ίναμυς, πόλις αἰγύπτου· τὸ ἐθνικὸν, πιναμύτης, ὡς αἴγυος, αἰγύτης· ὁ δὲ τύπος, αἰγύπτιος.
Π ίναρα, πόλις μεγίστη ὑποκειμένη τῷ κράγῳ ὄρει τῆς κιλικίας· τὸ ἐθνικὸν, πιναρεῖς, ὡς μεγαρεῖς.
Π ίσα, καὶ κρήνη τῆς ὀλυμπίας. ἔστι καὶ χωρίον, ἐν ᾧ ὁ τοῦ διὸς ναὸς ἵδρυται, καὶ ὁ ὀλυμπιακὸς ἀγὼν τελεῖται· τὸ ἐθνικὸν, πισάται· τὸ θηλυκὸν πισᾶτις. λέγεται καὶ πισαεύς· τὸ πρῶτον καὶ τὸ δεύτερον τῆς πίσης μακρά ἐστι.
Γ ισιδία· οἱ πισίδαι, πρότερον σόλυμοι, ἀπὸ Σολύμου τοῦ διὸς, καὶ χαλδήνης· ἔστι δὲ ἔθνος βάρβαρον καρικὸν παρὰ τὴν ἀσπένδαν, καὶ τὴν κιλικίαν· εἴρηται δὲ ἀπὸ Πισίδου· αἱ δεύτεραι καὶ πρῶται, συστέλλονται· λέγεται καὶ πισιδική, καὶ πισιδικὸν, καὶ πισιδεῖς μετὰ ἐκτάσεως τοῦ ι.
Γ ίσις, πόλις καὶ ὄρος ἀρμενίας, ἢ σουσιανῆς· ὁ πολίτης, πισιδεὺς, ὡς χαλκιδεύς.
Γ ισσίον, παφλαγονίας· τὸ ἐθνικὸν, πισσαῖος.
Γ ίστιρον, ἐμπόριον θρᾴκης· τὸ ἐθνικὸν, πιστιρίτης· ἔστι δὲ ὡς σκίρος, σκιρίτης.
Γ ισύη, πόλις καρίας· λέγεται καὶ πιτύη· τὸ ἐθνικὸν ὁμοίως πισυήτης.
Γ ιτάνη, πόλις αἰολίδος· ὁ πολίτης, πιταναῖος· καὶ πιτανῖτις χώρα, καὶ πιτανίτις νύμφη, καὶ πιταναία.
Π ιταίου, πόλις καρίας, ἀπὸ Πιταίου. Πιταῖος δὲ Φρὺξ Μήδου φίλος· τὸ ἐθνικὸν, πιταεῖς· ἔστι δ' οὕτω δυοῖν ἐθνικὸν, ὡς τοῦ μόψου ἑστία, μοψεᾶται.
Γ ίτνισσα, πόλις λυκαονίας· τὸ ἐθνικὸν, πιτνισσαῖος, ὡς σκωτουσσαῖος, πιτυασσαῖος.
Γ ιτύεια, πόλις μεταξὺ παρίου, καὶ πριάπου· τὸ ἐθνικὸν, πιτυεὺς, καὶ πιτύεια.
Γ ιτύη, πόλις καρίας· οἱ πολῖται, πιτυᾶται· καπίτων δ' αὐτὴν διὰ δύο σ λέγει, πιτύουσσαν.
Π ιτύουσσαι, νῆσοι διάφοροι, ἃς πιτυώδεις καλεῖ ἀλκμάν· τὸ ἐθνικὸν, πιτυούσιος.

τὸ π μετὰ τοῦ λάμβδα.

Γ λαδεραῖοι, ἔθνος ὑπὸ ἄρκτου κείμενον· τὸ ἐθνικὸν, καθ' ἡμᾶς πλαδεραῖος, καὶ πλαδερίτης.
Γ λακεντία, πόλις λιγούρων· τὸ ἐθνικὸν, πλακεντῖνος.
Γ λάκη, πόλις ἑλλησποντία· ὁ πολίτης, πλάκιος. τὸ ἐθνικὸν, πλακιανός.
Π λάμος, πόλις καρίας· τὸ ἐθνικὸν, πλαμεὺς τῷ χαρακτῆρι τῆς χώρας.
Γ λαραῖοι, ἔθνος ἠπείρου· λέγονται δὲ καὶ πλάριοι.
Π λάρασα, πόλις καρίας· τὸ ἐθνικὸν, πλαρασεύς.
Γ λαταιαί, πόλις βοιωτίας· ὅμηρος ἑνικῶς, οἵ πλάταιαν ἔχον· εὔδοξος δὲ γῆς περιόδου, πληθυντικῶς· πλαταιάς δὲ διὰ τὸ ταφους καὶ τρόπαια ἀνδρῶν ἀγαθῶν ἔχειν, τῶν τὴν ἑλλάδα γῆν ἐλευθερωσάντων, καὶ τὸ βασίλειον στράτευμα δουλωσάντων· τὸ πληθυντικὸν, ὀξύτονον· ἡρωδιανὸς δὲ διὰ τὴν τοῦ ἀριθμοῦ ἐπικρίνει· εἰ μέντοι μεταβάλλει τὸν ἀριθμὸν, καὶ τὸν τόνον μεταβάλλει· κέκληται δὲ ἀπὸ τῆς πλάτης τῆς κώπης, ὡς ἀπολλόδωρος πρώτῳ τοῦ καταλόγου, ἐκγυμνωθείσης τῆς βοιωτίας, τοὺς παροικοῦντας ταῖς λίμναις βοιωτοὺς πλωτῷ πορεύεσθαι ἀπ' ἀλλήλων· ὅθεν παρὰ τὴν πλάτην τὴν κώπην τὰς πόλεις κληθῆναι· οἱ πολῖται, πλαταιεῖς κατὰ συναίρεσιν ἀττικῶς τοὺς πλαταιέας. καὶ πλαταιᾶτις τὸ θηλυκὸν, καὶ πλαταῒς· ἔστι καὶ νῆσος πρὸ τῆς λιβύης· ταύτης οἱ πολῖται, πλαταιεῖς· καὶ ἡ χώρα, πλαταϊκή· δεῖ δὲ τὸ πρωτότυπον ἐθνικὸν προπαροξύνειν, πλάταιαι, ὡς λίμναιαι, ἰσίαιαι, δίκαιαι· τὸ ἐκ τόπου ἐπίρρημα, πλαταιόθεν· καὶ εἰς τόπον, πλαταιάζε.
Γ λάτανος, πόλις φοινίκης· τὸ ἐθνικὸν, πλατανεύς.
Π λατεία, νῆσος λιβύης· τὸ ἐθνικὸν, πλατειάτης, καὶ πλατείτης, ὡς ζελείτης.
Π λαταιῒς, νῆσος παρὰ τῇ λυκίᾳ· τὸ ἐθνικὸν, πλαταιεὺς, διὰ τὸ χαίρειν τοὺς κᾶρας τῷ τῶν εἰς εὺς τύπῳ.
Γ λισαρχία, πόλις καρίας, ἥτις καὶ πρότερον καὶ ὕστερον ἡράκλεια ὠνομάσθη· τὸ ἐθνικὸν, πλισαρχίτης.
Π λευρὼν, πόλις αἰτωλίας· ὁ πολίτης, πλευρώνιος, καὶ πλευρωνία, καὶ πλευρωνεύς· καὶ εἰς τόπον, πλευρῶναδε.
Γ λημμύριον, φρούριον συρακουσῶν· ὁ οἰκήτωρ, πλημμυριάτης, καὶ πλημμυράτης.
Γ λινθίνη, πόλις τῆς αἰγυπτίας, ἀπὸ τῆς σαμαρείας· ὁ πολίτης, πλινθινίτης.
Γ λούτιον, ὡς ῥήγιον, πόλις τυρρηνῶν, ἧς τὸ ἐθνικὸν πλουτῖνος.

Πλανέαι,

Γ λανέαι, νῆσος ἐν τῷ νείλῳ· τὸ ἐθνικὸν, πλυνεαῖος, καὶ πλανεάτης·

Γ λώθεια, δῆμος αἰγηΐδος φυλῆς· ὁ δημότης, πλωθειεὺς, καὶ πλωθεύς. τὰ τοπικὰ, πλωθειάθεν, πλωθειάζε, πλωθειῆσι·

τὸ πι μετὰ τοῦ νυ·

Π νεβέβις, πόλις αἰγύπτου· ὁ πολίτης, πνεβεβίτης, ὡς πάντα τὰ εἰς ·ις· αἰγύπτια ὀνόματα·

Π νὺξ, τὸ παρ' ἀθηναίοις δικαστήριον, περὶ οὗ φησιν ἡρωδιανὸς ἐν τοῖς περὶ παθῶν οὕτως· ἔστιν οὖν πύκνη κυρ οὐ δύναται δὲ καταλῆξαι, καὶ ὑπερετέθη τὸ ·υ, καὶ ἐξάπη τὸ ·κ, εἰς ·ξ, πνὺξ· ὑπέρθεσιν ἄρα ἔχει διὰ τὴν κατάληξιν· ἐν δὲ τῇ γενικῇ ἀπέλαβε τὴν τάξιν μετὰ τοῦ ·κ, πνὺξ, πυκνός· τοῦ πυκνὸς τὰς ἡνίας. ἀριστοφάνης· τοῦ λίθου ταύτῃ πυκνὴ, καὶ πυκνά· κέκληται δὲ παρὰ τὸ πυκνὸν τῶν πάλαι συνῳκισμένων οἰκιῶν· ὁ ἐν τούτῳ οἰκῶν, πυκνίτης λέγεται, καὶ πυκναῖα· δίδυμος δέ φησιν ὅτι τὴν πύκνα ἂν εἴη λέγων· τὸ δὲ πυκναία, ἀπὸ τοῦ πυκνὴ παρῆκται, ὅπερ οὐκ εἴρηται· οὐδεὶς γὰρ εἴπε προσηγορικῶς, ἢ κυρίως τὸ πυκνή· τὰ γὰρ τοιαῦτα ὡς ἐπίπαν ἀπὸ μακροκαταλήκτων παράγεται, εὐνὴ, εὐναία· γυρὴ, γυραία· ἀνάγκη, ἀναγκαία· τὸ ὡς ἐπίπαν εἴρηται, διὰ τὸ ἅμαξα, ἁμαξαία, καὶ κέρα, κεραία.

τὸ πι μετὰ τοῦ ·ο· μικροῦ·

Π οδάλεια, πόλις λυκίας, πλησίον λιμύρων· ὁ πολίτης, ποδαλεώτης· εἰσὶ δὲ καὶ ποδαργοὶ ἔθνος θράκης.

Γ οιήεσσα, πόλις τῆς κέω· ὁ πολίτης, ποιηέσσιος·

Γ οιμάνινον, πόλις, ἤτοι φρούριον· ἔστι δὲ καὶ χωρίον κυζίκου· τὸ ἐθνικὸν, ὁμοίως·

Γ οιμὴν, ὄρος τῆς ποντικῆς, ἀφ' οὗ καταρρεῖ ὁ παρθένιος, σχίζων τὴν ἄμαστριν· οἱ οἰκοῦντες, ποιμάνιοι· ἔστι καὶ ὄρος ποιμάνιον ἐν μακεδονίᾳ· οἱ κατοικοῦντες, ὁμοίως ποιμάνιοι·

Γ οίμνη, ὡς αὔλη· ποιμνίτας ὑμεναίους, καὶ ποιμνιώτας·

Π ολλὰ, πόλις ἰλλυρίας· τὸ ἐθνικὸν, πολάτης· καὶ ἀκρωτήριον πολατικὸν, καὶ τὸ πολεαντικόν.

Γ ολεμώνιον, ἐν πόντῳ λιμὴν, καὶ πόλις· τὸ ἐθνικὸν, πολεμώνιος, καὶ πολεμωνιεύς·

Π ολήσιοι, πόλις· καὶ οἱ πολῖται, ὡς λοκροὶ, δελφοί· οἱ οἰκήτορες, ὁμοίως·

Γ ολίειον, πόλις ἰταλίας, ἡ πρότερον σίρις καλουμένη· τὸ ἐθνικὸν, πολιειεὺς, ὡς τοῦ σίγειον, τὸ σιγειεύς·

Γ όλιον, ἐν λέσβῳ τόπος, ὅπου τὸ ἡρῷον ταντάλου· λέγεται δὲ ὁ πολίτης πολιεύς·

Π όλις, ὄνομα πόλεως αἰγυπτίας. ὁ οἰκήτωρ, πολίτης, καὶ πολιεύς· οὕτω γὰρ τιμᾶται ὁ ζεύς· ἀπὸ τῆς πόλιος γενικῆς, κατὰ τροπὴν τοῦ ·ος, εἰς ·ευς· τὸ δὲ θηλυκὸν τοῦ πολιεὺς, πολιεία. λέγεται καὶ ἄλλο θηλυκῶς πολιὰς, ὡς σουνιάς·

Γ ολιτεία, πόλις ἀχαΐας·

Γ ολιτώριον, πόλις λατίνων, ἣν ἑλὼν μάρκιανὸς ὁ βασιλεὺς, μετήγαγεν εἰς ῥώμην· τὸ ἐθνικὸν, πολιτωρηνός·

Γ ολίχνα, πόλις τῆς τρῳάδος· οἱ πολῖται, πολιχναῖοι· ἔστι καὶ κρήτης πολίχνη πόλις, ἧς ὁ πολίτης, πολιχνίτης.

Γ όλλεντος, ὡς σώρεντος, ἢ πολλέντιον, ὡς ῥήγιον· τὰ γὰρ τούτων ἐθνικὰ, τύπον ἕνα διὰ τοῦ ·ινος· ἔχουσιν, ὡς ῥηγῖνος, σωρεντῖνος·

Γ ολύαρα, πόλις καρίας· ὁ πολίτης, πολυαρεύς·

Γ ολυδώρα, νῆσος τῇ κυζίκῳ· τὸ ἐθνικὸν, πολυδωρεύς·

Γ ολυπόδουσα, νῆσος τῆς κνιδίας· τὸ ἐθνικὸν, πολυποδουσαῖος·

Γ ολύρην, πόλις κρήτης, ἀπὸ τοῦ πολλὰ ῥήνεα, τουτέστι πρόβατα ἔχειν· ὁ πολίτης, πολυρρήνιος·

Γ ομπηϊούπολις, πόλις παφλαγονίας· τινὲς δὲ δίχα τοῦ ·υ· πομπηϊόπολιν λέγουσι, καὶ πομπηϊοπολίτης·

Π ονηρόπολις, πόλις ἐν θράκῃ· ὁ πολίτης, πονηροπολίτης·

Π όντος, ἰδικῶς ὁ εὔξεινος· τὸ ἐθνικὸν, πόντιος, καὶ ποντία, καὶ ποντιάς· καὶ τὸ κτητικὸν, ποντικός· ἔστι καὶ πόντος πολεμωνιακὸς ἐπαρχία.

Π οπλώνιον, πόλις τυρρηνῶν· τὸ ἐθνικὸν, ποπλώνιος τῷ τῆς χώρας ἔθει·

Π ορδοσελήνη, νῆσος περὶ τὴν λέσβον, πόλιν ὁμώνυμον ἔχουσα· ὁ πολίτης, πορδοσεληνίτης· τινὲς ἐκκλίνοντες τὸ δύσφημον τοῦ ὀνόματος, ποροσελήνην ἐκάλεσαν·

Γ ορθμία, καὶ πορθμίον, κώμη ἐπὶ τῷ στόματι τῆς μαιώτιδος λίμνης· τὸ ἐθνικὸν, πορθμιεὺς, ὡς σουνιεὺς, καὶ πορθμίτης·

Γ ορφυρέων, πόλις φοινίκης· τὸ ἐθνικὸν, πορφυρεώνιος, καὶ πορφυρεωνίτης·

Π ορφυρίτη, πόλις ἀραβίας κατ' αἴγυπτον·

Π οσίδειον, πόλις μεταξὺ κιλικίας, καὶ συρίας· τὸ ἐθνικὸν, ποσιδειεύς.

Π οσειδωνία, πόλις ἰταλίας· τὸ ἐθνικὸν, ποσειδωνιάται, καὶ ποσειδώνιος·

Ποταμοσάκων, σάκων ὄνομα κύριον· ἔστι δὲ ποταμὸς καὶ νῆσος τῆς αἰολίδος.

Ποτίδαια, πόλις θρᾴκης· ἡ δ᾽ αὐτὴ ἐκλήθη καὶ κασσάνδρεια· ὁ πολίτης, ποτιδαιάτης, καὶ ποτιδαιεῖς.

Ποτιδανία, πόλις αἰτωλίας· τὸ ἐθνικὸν, ποτιδανιάτης.

Ποτίολοι, πόλις τυῤῥηνίας, κτίσμα σαμίων, ἥτις καὶ δικαιαρχεία· τὸ ἐθνικὸν, ποτιολεῖς, καὶ ποτιολήσιον.

Πότνιαι, πόλις βοιωτίας· τὸ ἐθνικὸν, ποτνιεύς· καὶ τὸ θηλυκὸν, ποτνιάς· λέγεται καὶ πότνιος· καὶ τὸ κτητικὸν, ποτνιακὸς, καὶ ποτνιακή.

Τὸ πῖ μετὰ τοῦ ῥῶ.

Πράασσα, πόλις τῆς ἀζοπατήνης· τὸ ἐθνικὸν, πραασσηνός.

Πραίνεστος, πόλις ἰταλίας, ἀπὸ Πραινέστου τοῦ λατίνου, τοῦ Ὀδυσσέως καὶ Κίρκης υἱοῦ· ὁ πολίτης, πραινεστηνός.

Πραῖσος, πόλις κρήτης, θηλυκῶς· τὸ ἐθνικὸν, πραίσιος, καὶ πραισός.

Πραιτετία, χωρίον ἀπὸ τοῦ ἀδρία· ἧς ὁ οἰκήτωρ πραιτετιανὸς, καὶ πραιτετιανή.

Πρακίαι, καὶ πρακοί, ἔθνος ἀπὸ Πρακὸς τοῦ ἐξ ἠπείρου μὲν ὁρμωμένου, οἰκήσαντος δὲ ἐν τῇ λακωνικῇ· τὸ ἐθνικὸν, πρακοί, καὶ πρακιῶοι.

Πράκνος, πόλις ἰλλυρίας· τὸ ἐθνικὸν, πράκνιοι.

Πράξιλος, πόλις μακεδονίας. τὸ ἐθνικὸν, πραξίλιος.

Πράσιοι, ἔθνος ἰνδικὸν, διονύσῳ πολεμῆσαν.

Πρᾶς, ὄνομα πόλεως περῥαιβικῆς· περισπᾶται, καὶ περιττοσυλλάβως κλίνεται· τὸ ἐθνικὸν, πράντες.

Πρασιαί, δῆμος ἀθήνησι πανδιονίδος φυλῆς· ὁ δημότης, πρασιεύς· καὶ πρασιάθεν τὸ τοπικόν· πρασιάσε, καὶ πρασίησιν· ἔστι καὶ λακωνικὸν πολίχνιον, οὗ ὁ πολίτης ὁμοίως πρασιεύς.

Πράσον, ἀκρωτήριον περὶ τὴν ἐρυθρὰν θάλασσαν. οἱ οἰκήτορες, πράσιοι.

Πράσσαιβοι, ἔθνος θεσπρωτικόν.

Πρετανική, νῆσος, ἤπειρον μιμουμένη, ἀπὸ τῆς κελτικῆς· οἱ ταύτην οἰκοῦντες, πρετανοὶ καλοῦνται.

Πρίαισος, πόλις κρήτης. οἱ πολῖται, πριαίσιοι, καὶ πριαισιεύς.

Πρίαπος, πόλις ἑλλησποντίας, θηλυκῶς. ὁ πολίτης, πριαπηνὸς, καὶ πριαπηνή· ἔστι καὶ ἄλλο ἐθνικὸν πρίηπος, καὶ πριαπεῖς πληθυντικῶς· καὶ ἡ χώρα, πριαπίς.

Πριήνη, πόλις ἰωνίας· τὸ ἐθνικὸν, πριηνεύς, καὶ πριηνήιος, καὶ πριηνιάς.

Πρίνασσος, πόλις καρίας· τὸ ἐθνικὸν, πρινασσεῖς.

Πρίολα, πόλις πλησίον ἡρακλείας· τὸ ἐθνικὸν, πριολαεύς.

Πριούερνος, ἰταλίας πόλις· τὸ ἐθνικὸν, πριουερνάται.

Πρόαρνα, πόλις μηλιέων, οὐδετέρως· οἱ οἰκήτορες, προάρνιοι.

Προβάλινθος, δῆμος πανδιονίδος φυλῆς· ὁ δημότης, προβαλίνθιος· τὰ τοπικὰ, προβαλινθόθεν, προβαλινθόνδε, προβαλινθοῖ· θηλυκῶς δὲ λέγεται ὁ δημότης.

Προγάσεια, πόλις λυδίας, ἀπὸ Προγάσου τοῦ υἱοῦ Μελάμπου· τὸ ἐθνικὸν, προγασεύς.

Πρόκλη, πόλις λυδίας· τὸ ἐθνικὸν, προκλαῖος.

Προκόννησος, μία τῶν σποράδων ἐν τῇ προποντίδι· ὁ πολίτης, προκονήσιος.

Προνάσται, ἔθνος βοιωτίας· βοιωτῶν δέ τινες παλαιὸν ἔθνος προνάσται καλοῦνται.

Πρόνεκτος, πόλις βιθυνίας, πλησίον τῆς δρεπάνης, ἣν ἔκτισαν φοίνικες.

Πρόπαλαι, πόλις σικελίας· τὸ ἐθνικὸν, προπαλαῖος· ἔστι δ᾽ ὡς ἐπιπολαῖος.

Προξενούπολις, περὶ ναυκρατίαν· ὁ πολίτης, προξενουπολίτης, ὡς ἑρμοπολίτης.

Προποντίς, ἡ πρὸ τοῦ πόντου τοῦ εὐξείνου θάλασσα· καὶ γῆ βυζαντίων. ὁ οἰκήτωρ, προποντίτης, καὶ προπόντιος· καὶ προποντὶς ἡ θάλασσα.

Προσέληνοι, οἱ ἀρκάδες· καὶ προσεληνία τὸ θηλυκόν.

Πρόσπαλτα, δῆμος ἀκαμαντίδος φυλῆς· ὁ δημότης, προσπάλτιος. τὰ τοπικὰ, προσπαλτόθεν, προσπαλτάδε, προσπαλτοῖ.

Προσζόπαια, πόλις σικελίας, οὐδετέρως· τὸ ἐθνικὸν, προσζοπαῖος.

Πρόσυμνα, μοῖρα τοῦ ἄργους· ὁ οἰκήτωρ, προσυμναῖος.

Πρόσχιον, χώρα αἰτωλίας· τὸ ἐθνικὸν, προσχιεύς, ὡς σούνιον, σουνιεύς.

Προσωπίς, πόλις αἰγύπτου· τὸ ἐθνικὸν, προσωπίτης, ὡς ναυκρατίτης, καὶ ὅσα τοιαῦτα λέγεται· καὶ προσωπῖτις.

Πρόσωπον, νῆσος ἡ πόῤῥω καρχηδόνος· τὸ ἐθνικὸν, προσωπίτης, ἢ προσώπιος.

Προῦσα, τῆς προυσιάδος διαφέρει· ἡ μὲν γὰρ προυσιὰς, βιθυνίας, ἀπὸ Προυσίου τοῦ ζηλάτου βιθυνῶν βασιλέως, ἡ κίος πρότερον ὀνομασθεῖσα· ἧς ὁ πολίτης, προυσιεύς. ἡ δὲ προῦσα, καὶ αὐτὴ μὲν πόλις μικρὰ βιθυνίας, κτίσμα Προυσίου τοῦ Κῦρον πολεμήσαντος· ταύτης τὸ ἐθνικὸν προυσαεύς.

ὡς τῆς νύσσης, νυσσαεύς.

Γ ροχύτη, νῆσος σικελίας. τὸ ἐθνικὸν, προχυταῖος.

Γ ρυμνησία, πόλις καρίας, ἣν ἔκτισε μίμαθος. τὸ ἐθνικὸν, πρυμνησιεὺς, ὡς θεοδοσιεύς.

Γ ρώανα, πόλις θετταλικὴ, οὐδετέρως λεγομένη. τὸ ἐθνικὸν, πρωανεὺς, ὡς τυανεὺς, ἀδανεύς.

Γ ρώτη, ὀξυτόνως, νῆσος ἀπὸ τῆς σφακτηρίας, καὶ πύλου. τὸ ἐθνικὸν, πρωταῖος.

τὸ πτ μετὰ τοῦ ται.

Π τελέα, δῆμος οἰνηΐδος φυλῆς. ὁ δημότης, πτελεάσιος. τὰ τοπικὰ, πτελεάθεν. πτελέανδε. πτελεάσιν. ἔστι καὶ πόλις. οὕτω γὰρ ἡ ἔφεσος ἐκαλεῖτο. τὸ ἐθνικὸν, πτελαῖος.

Π τελέον, πόλις ἰωνίας, καὶ ζωάδος, καὶ τῶν παραθαλαττίων ἀχαιῶν, οὐδετέρως. καλεῖται δὲ, ὅτι πολλὰς ἔχει πτελέας. ὁ πολίτης, πτελεάτης, καὶ πτελεούσιος. καὶ πτελεεῖς, ὡς φενεεῖς.

Π τέριον, πόλις μήδων. τινὲς δὲ πτέρα οὐδετέρως τὴν ἀκρόπολιν βαβυλῶνος. λέγεται καὶ θηλυκῶς ἡ πτερία. ἔστι καὶ πτερία πόλις σινώπης. τὸ ἐθνικὸν τῆς μηδικῆς, πτεριηνός. τῆς δὲ ἐν τῇ σινώπῃ, πτέριος.

Π τολεμαΐς, πόλις φοινίκης. ἐκαλεῖτο δὲ πρότερον ἀκὴ, ἀπὸ τῆς ἰάσεως τοῦ γενομένου δήγματος ἡρακλεῖ ὑπὸ ὄφεως. ὁ πολίτης, πτολεμαΐτης, καὶ πτολεμαιεύς.

Π τυχία, νῆσος παρὰ τῇ κερκύρᾳ. τὸ ἐθνικὸν, πτυχιεὺς, ὡς ὑρία, ὑριεύς.

τὸ πυ μετὰ τοῦ υ ψιλοῦ.

Π ύγελα, πόλις ἰωνίας. ὁ πολίτης, πυγελεύς.

Π υγμαῖοι, ἔθνος, ἀπὸ πυγμαίου τοῦ δώρου, τοῦ ἐπάφου.

Π ύδης, πόλις καὶ ποταμὸς πισιδίας. τὸ ἐθνικὸν, πυδήσιος, ὡς φαγρήσιος, καὶ μαγνήσιος. οὗ τὸ μαγνησία.

Π ύδνα, πόλις μακεδονίας. ὁ πολίτης, πυδναῖος.

Π υῆνις, πόλις κόλχων. τὸ ἐθνικὸν, πυηνίτης τῷ λόγῳ τῶν εἰς ις ληγόντων.

Π ύθιον, τὸ πάλαι μεσαίτατον τῆς ἐν κρήτῃ γορτύνης. οἱ κατοικοῦντες, πυθιεῖς, καὶ οἱ τὸ πύθιον οἰκοῦντες. ἐν ᾧ ἀπόλλωνος ἱερόν ἐστι. καὶ μακεδονίας πύθιον, ἐν ᾧ καὶ τὰ πύθια ἐπιτελεῖται. πύθιος οὖν τὸ ἐθνικόν. καὶ πύθιον πλησίον τοῦ ἀστακηνοῦ κόλπου. οἱ κατοικοῦντες, πυθιανοὶ καλοῦνται. καὶ πυθιανὰ ποτήρια.

Γ υθόπολις, καρίας πόλις, ἡ μετὰ ταῦτα κληθεῖσα νύσσα. πυθόπολις, ἀπὸ πυθοῦ περιιστωμένως, ὡς ἀπὸ τῆς ἑρμοῦ γενικῆς, ἑρμόπολις. ὁ δὲ πυθὴς τρισσοῦ τοῦ πλουσιωτάτου ἦν, ὅτι τὸν ξέρξην ὑποδεξάμενος, ἑκάστῳ τῶν στρατιωτῶν ἀνὰ ἓξ δαρεικοὺς χρυσοῦς παρέσχεν. ὁ πολίτης, πυθοπολίτης. ἔστι καὶ ἄλλη πυθόπολις μυσίας.

Γ υθὼ, ἡ τοῦ ἀπόλλωνος πόλις. πυθοῖ ἐν ἠγαθέῃ. τὸ ἐθνικὸν, πυθῷος, ὡς λητὼ, λητῷος. καὶ πύθιος, καὶ πυθία, καὶ πυθιὰς, ὡς ἑλικωνιάς. καὶ πύθιον, καὶ πυθιάζειν. ἀπὸ τοῦ πυθαΐος διαλύσεως γενομένης, καὶ πυθαϊστής. καὶ τὸ τοπικὸν, πυθῶθεν διὰ τοῦ ω, ὡς κειρῶθεν. καὶ μετὰ συστολῆς, πυθόθεν, ὡς λεσβόθεν. καὶ πυθοῖ, τὸ ἐν τόπῳ. καὶ παρὰ τὴν πυθὼ, πυθεὺς, ὡς ἐνυὼ, ἐνυεύς. καὶ ἀπὸ τῆς πυθῆος γενικῆς ἰωνικῆς, πύθιος, ἐξ ἧς τὸ πυθήϊος κτητικόν. καὶ πυθαιεὺς, καὶ πυθαεὺς, ὡς κρηταεύς.

Γ ύλαι, τόπος ἀρκαδίας, καὶ πυλαία. τὸ ἐθνικὸν, πυλαΐτης. λέγεται καὶ πυλαία τὸ οὐδέτερον ἐπὶ τῆς θυσίας. καὶ τὸ ἐπίρρημα, πυλαιόθεν. τὸ ἐθνικὸν, πυλάτης. τὸ θηλυκὸν, πυλάτις.

Γ υλήνη, πόλις αἰτωλίας. τὸ ἐθνικὸν, πυληναῖος. τὸ θηλυκὸν, πυληνίς.

Γ ύλος, πόλις ἐν μεσσήνῃ. ἐκαλεῖτο δὲ κορυφάσιον. τὸ ἐθνικὸν, πύλιος, καὶ πυλαῖος. λέγεται καὶ θηλυκῶς, καὶ ἀρσενικῶς. τρία τοίνυν ἐθνικὰ, πύλιος, πυλαῖος, πυλίων.

Γ ύξις, πόλις ἐν μεσογείῃ τῶν οἰνώτρων. τὸ ἐθνικὸν, πύξιος.

Γ ύξους, πόλις σικελίας, κτίσμα μικύθου. ὁ οἰκήτωρ, πυξούντιος.

Π υραία, μοῖρα θετταλίας ὠνομασμένη ἀπὸ πύρας. ὁ οἰκήτωρ, πυραῖος.

Γ υραμίδες, ἐν αἰγύπτῳ κτίσμα, εἰς ὃ λέγεται ἀνηλωκέναι κρομμύων καὶ σκορόδων καὶ τυροῦ τάλαντα μύρια πεντακόσια. ὠνομάσθησαν δὲ πυραμίδες, ἀπὸ τῶν πυρῶν, οὓς ἐκεῖ συναγαγὼν ὁ βασιλεὺς, ἔνδειαν ἐποίησε σίτου κατὰ τὴν αἴγυπτον.

Γ ύραμος, ποταμὸς ἐν μαλλῷ τῆς κιλικίας. ἐκαλεῖτο δὲ πρότερον λευκόσυρος.

Γ ύρανθος, πόλις μικρὰ, ἢ κώμη κρήτης περὶ γόρτυνα. οἱ κατοικοῦντες, πυράνθιοι.

Γ ύρασος, πόλις φθίας. κέκληται δὲ διὰ τὸ τὴν χώραν εἶναι πυροφόρον. τὸ ἐθνικὸν, πυρασαῖος.

Γ ύργησσα, πολίχνιον ἰταλίας. ὁ πολίτης, πυργησσαῖος.

Γ ύργοι, πόλις μεσσήνης. τὸ ἐθνικὸν, πυρ-

γίται.

Π υρλών, ὄρος εὐρώπης. καὶ πυρλωαία, πόλις λοκρίδος.

Π ύρινδος, πόλις καρίας. τὰ εἰς ·ος· καὶ εἰς ·α, εἰς ·ευς· ἔχει τὸ ἐθνικόν.

Π ύρνος, ὡς οὖρνος, πόλις καρίας. οἱ πολῖται, πύρνιοι.

Π ύῤῥα, πόλις ἐν λέσβῳ. ὁ πολίτης, πυῤῥαῖος. ἔστι καὶ κώμη λιγυστική. ἔστι καὶ νῆσος.

Π υρωναία, πόλις λοκρίδος, ἀπὸ Πύρωνος. Λωκιανοὶ καὶ πυρωναῖαι νάπαι.

## τὸ πῶ μετὰ τοῦ ·ω· μεγάλου.

Π ῶλις, καὶ σῆνος, πόλις ἐν νήσοις. ὁ μὲν, πωλίτης. ὁ δὲ, σηνικός.

## ΑΡΧΗ ΤΟΥ ΡΩ ΣΤΟΙΧΕΙΟΥ.

## τὸ ῥῶ μετὰ τοῦ ἄλφα.

ρ Ἄβα, πόλις πρὸς τῷ ἰονίῳ κόλπῳ. τὸ ἐθνικὸν, ῥαβαῖος, ὡς βάββα, βαββαῖος.

Ρ αβάθμωμα, πόλις τρίτη παλαιστίνης, ἡ νῦν ἀρεόπολις. ὁ πολίτης, ῥαβαθμωμηνός.

Ρ αββατάμμανα, πόλις τῆς ὀρεινῆς ἀραβίας. λέγεται δὲ οὐδετέρως. τὸ ἐθνικὸν, ῥαββαταμμηνός.

Ρ άβεννα, πόλις ἰταλίας. ἔρμιππος ὁ βηρύτιος ῥούεννναν αὐτὴν καλεῖ. διονύσιος δ' ἐν ἑκκαιδεκάτῳ ῥωμαϊκῆς ἀρχαιολογίας, καὶ πληθυντικῶς, καὶ διὰ τοῦ ·η, καὶ δι' ἑνὸς ·ν· ἀμφότεροι ἀπήντησαν φλαμίῳ περὶ τὸν καλούμενον ῥαβηνόν. τὸ ἐθνικὸν, ῥαβεννάτης. παρ' ἰταλοῖς, ῥαβεννήσιος.

Ρ άγα, πόλις ἐν μηδίᾳ. τὸ ἐθνικὸν τῆς μὲν ῥαγὸς, ῥάγιος. τῆς δὲ ῥάγαι, ῥαγηνὸς, ὡς καῤῥηνός, ἐκτισμένη ὑπὸ Σελεύκου τοῦ Νικάτορος. ἐκαλεῖτο δὲ εὔρωπος, μετωνομάσθη δὲ καὶ ἀρσάκη, ἀπὸ Ἀρσάκου βασιλέως περσῶν. ἔστι νῆσος λυκίας ῥὰξ, ἀλλὰ ταύτης μὲν τὸ ἐθνικὸν, ῥάκιος. τῆς δὲ πόλεως, ῥαγηνός.

Ρ αδανουσία, πόλις μασσαλίας. τὸ ἐθνικὸν, ῥαδανουσιεύς.

Ρ αία, πόλις μεταξὺ σκυθίας, καὶ ὑρκανίας. τὸ ἐθνικὸν, ῥαιαῖος.

Ρ αιτοὶ, τυῤῥηνικὸν ἔθνος.

Ρ άκηλος, πόλις μακεδονίας. τὸ ἐθνικὸν, ῥακήλιος.

Ρ ακώτης, οὕτως ἡ ἀλεξάνδρεια πρότερον ἐκαλεῖτο. ὁ οἰκήτωρ, ῥακωτίτης.

Ρ αμνοῦς, δῆμος τῆς αἰαντίδος φυλῆς. ὁ δημότης, ῥαμνούσιος, καὶ ῥαμνουσία, καὶ ῥαμνουσίς. τὰ τοπικὰ, ῥαμνουντόθεν, ῥαμνουντάδε, καὶ ῥαμνοῦντι.

Ρ άπται, μητρόπολις τῶν ἐν τοῖς αἰθιόπων. οἱ οἰκήτορες, ῥάψιοι. καὶ ῥάπτρα ὅρμος, καὶ ῥάπτος ποταμός. ἔστι δὲ καὶ μητρόπολις τῆς βαρβαρίας τὰ ῥάπτρα καὶ αὐτὴ καλουμένη.

Ρ άρεντος, πόλις ἰταλίας. τὸ ἐθνικὸν, ῥαρεντῖνος.

Ρ άριον, πεδίον ἐν ἐλευσῖνι. καὶ ῥαρία γῆ. καὶ ῥαριὰς ἡ δημήτηρ.

Ρ αῦκος, πόλις ἐν μεσογείῳ τῆς κρήτης. τὸ ἐθνικὸν, ῥαύκιος, καὶ ῥαυκία.

Ρ αφανέαι, πολίχνιον συρίας. ὁ πολίτης, ῥαφανεώτης. τῶν εἰς ·ωτης· ἐθνικῶν καθὰ πολλὰ τὸ ·ι· πρὸ τοῦ ·ω· ἔχει. πηλιώτης. φθιώτης. σπάνια δὲ τὸ ·ε· καὶ σχεδὸν ἀπὸ τῆς ·ει· συσταλέντα. ἡρακλεώτης. οὕτω καὶ ῥαφανεώτης.

Ρ άφεια, πόλις συρίας. ὁ πολίτης, ῥαφιώτης. ἐκλήθη δὲ ἀπὸ τῆς ἱστορίας τῆς περὶ τὸν διόνυσον.

## τὸ ῥῶ μετὰ τοῦ ·ε· ψιλοῦ.

Ρ εάτιον, πόλις ἰταλίας. τὸ ἐθνικὸν, ῥεατινὸς, ὡς τοῦ ῥήγιον, ῥηγινός.

Ρ εμουρία, πόλις πλησίον ῥώμης. τὸ ἐθνικὸν, ῥεμουριάτης, καὶ ῥεμουριανός.

Ρ εσάλα, πόλις ὀμβρικῶν. τὸ ἐθνικὸν, ῥεσαληνὸς τῷ τῆς χώρας ἔθει.

Ρ έσινα, πόλις περὶ τὸν ἄβορον ποταμόν. καὶ εἰ μὲν ὡς αἴπινα κλιθείη, τὸ ἐθνικὸν, ῥεσινάτης. εἰ δὲ ὡς τόῤῥινα, ῥεσιναῖος. ῥεσινάτης δὲ ἄμεινον.

## τὸ ῥῶ μετὰ τοῦ ἦτα.

Ρ ῆβας, ποταμὸς παρὰ τῷ πόντῳ. ἔστι καὶ χώρα. οὗ τὸ ἐθνικὸν, ῥηβαῖοι.

Ρ ήγιον, πόλις ἑλλησποντίς. ὁ πολίτης, ῥηγῖνος. τὸ θηλυκὸν, ῥηγίνη. καὶ ῥήγινον τὸ οὐδέτερον.

Ρ ῆγμα, πόλις, ὡς ἅρμα. καὶ κόλπος ῥῆγμα περὶ τὸν περσικὸν κόλπον. τὸ ἐθνικὸν, ῥηγματίτης.

Ρ ηνή, νῆσος μικρὰ πλησίον δήλου. λέγεται καὶ ῥηνίς, καὶ ῥηναία. καὶ ῥηναιεὺς, καὶ ῥήνιος.

Ρ ηνοί, ἔθνος παροικούντων ῥήνῳ τῷ ποταμῷ, καὶ ἀπ' αὐτοῦ καλούμενοι.

Ρηγίλλος,

Ρ ηγιλλος, σαβίνων πόλις.

## τὸ ῥῶ μετὰ τοῦ ἰῶτα.

Ρ ιζηνία, πόλις κρήτης. ὁ πολίτης, ῥιζηνιάτης.

Ρ ίζις, ἄκρα μεγάλη, ἣν οἰκοῦσι ζωγλοδύται. οἱ κατοικοῦντες, ῥιζῖται. καὶ ῥίζις, ῥίζιος, ῥιζιανὸς, ὡς φασιανός.

Ρ ιζοῦς, πόλις θετταλίας. τὸ ἐθνικὸν, ῥιζούντιος.

Ρ ίζων, πόλις τῆς ἰλλυρίας, καὶ ποταμὸς ὁμώνυμος. ὁ πολίτης, ῥιζωνίτης.

Ρ ιθυμνία, πόλις κρήτης. τὸ ἐθνικὸν, ῥιθυμνιάτης, καὶ ῥιθύμνιος.

Ρ ινοκούραρα, πόλις αἰγύπτου, ἀπὸ τῶν εἰσῳκισμένων ἐκεῖ τὸ παλαιὸν ἀνθρώπων τὰς ῥῖνας ἠκρωτηριασμένων οὕτω καλουμένη. τὸ ἐθνικὸν, ῥινοκουρουραῖος, καὶ ῥινοκουρωρείτης.

Ρ ίον, πόλις μεσσήνης, ἢ ἀχαΐας. καὶ ἄλλη αἰτωλίας, ἣ καὶ μολυκρικὸν ἐκαλεῖτο.

Ρ ιπαία, ὄρος ὑπερβορέων. τὸ ἐθνικὸν, ῥιπαῖος, οὗ παράγωγον τὸ ῥιπαιεύς.

Ρ ίπη, ἀρκαδικὴ πόλις, βαρυτόνως. τὸ ἐθνικὸν, ῥιπαῖος ὁμοίως.

## τὸ ῥῶ μετὰ τοῦ ο μικροῦ.

Ρ όβεια, παρ᾽ ἧς τὸ ἐθνικὸν ῥοβειάτης, καὶ ῥοβείτης. καὶ κατὰ διάλυσιν, ῥοβηΐτης.

Ρ οδανουσία, πόλις ἐν μασσαλίᾳ. ὁ πολίτης, ῥοδανούσιος. καὶ τὸ θηλυκὸν, ῥοδανουσία.

Ρ οδαὶ, πόλις ἰταλίας. τὸ ἐθνικὸν, ῥοδαιάτης.

Ρ όδη, πόλις ἰβηρίας. τὸ ἐθνικὸν, ῥοδαῖος, ὡς μενδαῖος, ἰουδαῖος.

Ρ οδία, πόλις λυκίας. τὸ ἐθνικὸν, ῥοδιὰς, ῥοδιεύς. καὶ τῆς ῥόδης, ῥοδιεύς. ἄμεινον δὲ τὸ ῥοδιαῖος.

Ρ οδόη, πόλις ἰνδική. τὸ ἐθνικὸν, ῥοδοήτης, ὡς ἀρσινοήτης.

Ρ οδόπη, πόλις ἰωνίας. τὸ ἐθνικὸν, ῥοδοπεὺς, ὡς σινωπεύς.

Ρ όδος, νῆσος ἐπιφανεστάτη. ἐκαλεῖτο ὀφιοῦσσα, καὶ αἰθραία. οἱ κατοικοῦντες, αἰθραῖοι, καὶ ῥόδιοι, καὶ ῥοδία.

Ρ οδωνία, χώρα πλησίον οἴτης. τὸ ἐθνικὸν, ῥοδωνιάτης. τὸ οὐδέτερον, Ροδωνιάτιον ἔπος.

Ρ όδυσσα, πόλις τῆς ἀργείας. τὸ ἐθνικὸν, ῥοδυάσιος, ὡς πιτυουάσιος, καὶ ῥοδυσσαῖος.

Ρ οῖξος, ἐπίνειον κιλικίας ἐπὶ ταῖς ἐκβολαῖς τοῦ σάρου ποταμοῦ. τὸ ἐθνικὸν, ῥοίξιος, ἢ ῥοιξίτης.

Ρ οίτειον, ὄρος ἄκραν εἶναί φησι. καὶ πόλις δέ ἐστι τρωάδος. ὁ πολίτης, ῥοιτειεὺς, καὶ ῥοιτειὰς, καὶ ῥοιτὶς διὰ τοῦ ι.

Ρ οιτία, πόλις δακῶν. τὸ ἐθνικὸν, ῥοιτιανὸς, ὡς ἀρκτινός. καὶ ῥοιτιανὸς, ὡς βακτριανός.

Ρ ονδαῖοι, ἔθνος θρᾴκιον.

Ρ οξονοκαία, πόλις. τὸ ἐθνικὸν, ῥοξονοκαῖος, καὶ ῥοξονοκαιάτης, καὶ ῥοξονοκαιανός.

Ρ οπεῖς, ἔθνος, οὗ μέμνηται φαβωρῖνος ἐν ἐπιτομῆς τετάρτῃ τῆς παμφυλίας.

## τὸ ῥῶ μετὰ τοῦ υ ψιλοῦ.

Ρ ύβδος, φρούριον σικελίας. τὸ ἐθνικὸν, ῥύβδιος.

Ρ ύγχαι, χωρίον εὐβοίας. τὸ ἐθνικὸν, ῥυγχαῖος.

Ρ ύμη, ὁ στενωπός. τὸ τοπικὸν, ῥυμαῖος, ἢ ῥυμίτης.

Ρ ύνδακος, πόλις μεταξὺ φρυγίας, καὶ ἑλλησπόντου. οἱ κατοικοῦντες, ῥυνδακηνοὶ, ὡς κυζικηνοί. λέγεται καὶ ἀπὸ τοῦ ῥυνδάκου θηλυκὸν ῥυνδακὶς, καὶ ῥυνδακίτης.

Ρ ύπαι, πόλις ἀχαϊκή. λέγεται καὶ ῥυπαίη, ἐξ οὗ τὸ ῥυπαῖος. ὁ πολίτης, ῥύψ. τὸ κτητικὸν ἀπὸ τοῦ ῥύπες, ῥυπικόν.

Ρ ύτιον, πόλις κρήτης. ὁ πολίτης, ῥυτιεύς. τοῦ δὲ ῥυτίασσος, ῥυτιασσεὺς, ὡς ἁλικαρνασσεύς.

## τὸ ῥῶ μετὰ τοῦ ω μεγάλου.

Ρ ωγάνη, πόλις ἐν τῇ ἰνδικῇ.

Ρ ώγη, νῆσος ἐπὶ τῇ λυκίᾳ. τὸ ἐθνικὸν, ῥωγαῖος.

Ρ ωγμοὶ, κιλικίας ἐπίνειον. τὸ ἐθνικὸν, ῥωγμίτης.

Ρ ώμη, διασημοτάτη πόλις ἰταλίας. τὸ ἐθνικὸν, ῥωμαῖος, ὡς θηβαῖος. καὶ ῥωμαία, καὶ ῥωμαΐς.

Ρ ωμυλία, τῶν ἐν ἰταλίᾳ σαυνιτῶν πόλις. τὸ ἐθνικὸν, ῥωμυλιάτης.

Ρ ὼν, πόλις τῆς γανδαρικῆς σκυθίας. τὸ ἐθνικὸν, ῥώνιος, ἢ ῥωνίτης, ὡς θεωνίτης.

Ρ ῶσος. τὸ ἐθνικὸν, ῥώσιος. ἀλλὰ καὶ ῥωσεὺς, ὡς ἀπὸ τοῦ ταρσὸς, ταρσεύς. καὶ τὸ κτητικὸν, ῥωσικός. Ρωσικὸς σκόπελος.

## ΑΡΧΗ ΤΟΥ ΣΙΓΜΑ ΣΤΟΙΧΕΙΟΥ·

τὸ σίγμα μετὰ τοῦ ἄλφα.

Ἀβαὶ, πόλις μεγάλη, πλησίον τῆς ἐρυθρᾶς θαλάσσης, καὶ φρούριον· τὸ ἐθνικὸν τῆς πόλεως καὶ τοῦ φρουρίου, σαβαῖοι. καὶ θηλυκῶς, σαβαία. καὶ τὸ κτητικὸν, σαβαϊτικὸν, ὡς ἀπὸ τοῦ σπάρτης, σπαρτιακόν.

Σ αββατία, κώμη κελτική· τὸ ἐθνικὸν, σαββατιανὸς, καὶ σαββάτιος.

Σ αβῖνοι, ἰταλικὸν ἔθνος· τὸ θηλυκὸν, σαβίνη, καὶ ἐπὶ τῆς γυναικὸς, καὶ ἐπὶ τῆς χώρας.

Σ ἄβοι, ἔθνος φρυγίας· λέγονται καὶ ἀντὶ τοῦ βάκχοι παρὰ φρυξί.

Σ άβω, πόλις μεγάλη πέραν τῆς ἐρυθρᾶς θαλάσσης· οἱ πολῖται, σαβαῖοι.

Σ αγάλασσος, πόλις πισιδίας. λέγεται καὶ σέλγησσος· τὸ ἐθνικὸν, σαγαλασσεὺς, καὶ σαγαλασσηνός.

Σ αγαρτία, χερρόνησος παρὰ τῇ κασπίᾳ θαλάσσῃ· τὸ ἐθνικὸν, σαγάρτιοι.

Σ αγγάριος, ποταμὸς τῆς κάτω φρυγίας· τὸ ἐθνικὸν, σαγγάριος· προὔφθη γὰρ ὁ τύπος τοῦ πρωτοτύπου καταληφθείς.

Σ άγουντος, πόλις ἐν ἱσπανίαις. οἱ πολῖται, σαγουντηνοί.

Σ άϊδαλις, αἰγυπτία πόλις· τὸ ἐθνικὸν, σαϊδαλίτης.

Σ άζοι, ἔθνος παρὰ τῷ πόντῳ.

Σ αιδηνὴ, ὄρος κύμης· τὸ ἐθνικὸν, σαιδηνός. καὶ σαιδηνὴ ἡ χώρα.

Σ άϊξαι, ἔθνος παρὰ τῷ ἴστρῳ.

Σ άϊς, πόλις αἰγύπτου· κλίνεται δὲ σάεως, ὡς μέμφεως. καὶ κτητικὸν, σάϊος, καὶ σαΐα. καὶ σαΐτης νόμος, καὶ ὁ πολίτης. καὶ κτητικὸν, σαϊτικόν. τὸ θηλυκὸν, σαΐτις, καὶ σαϊτηνός.

Σ άκαι, ἔθνος τῶν σκύθας οὕτω φασί· τὸ θηλυκὸν, σάκις.

Σ άκος, κώμη τῆς ἐν λακεδαίμονι πιτρίας, ἀπὸ τοῦ ὅπλου, ὅτι αὐτοὶ τοῦτο εὗρον· τὸ ἐθνικὸν, σάκιος.

Σ άκχηνοι, ἔθνος ἀράβιον.

Σ αλάμιοι, ἔθνος ἀράβων. σάλαμα δὲ ἡ εἰρήνη· ὠνομάσθησαν δὲ ἀπὸ τῆς ἐν σπονδαῖς γεγονέναι τοῖς ναβαταίοις.

Σ αλαμὶς, ἡ πρὸς τῇ ἀττικῇ νῆσος, καὶ πόλις· ὁ πολίτης, σαλαμίνιος, καὶ σαλαμινία.

Σ άλαγγος, ὡς πέλαγος, ἔθνος ἰταλίας· ἔστι δὲ καὶ ἕτερον ἔθνος ἰνδικόν.

Σ άλαρς, ὡς μάκαρς, νῆσος λιβύης· τὸ ἐθνικὸν, σαλαρείσιος, ὡς πρωύθιος.

Σ αλγανεὺς, μεταξὺ τὴν χαλκίδα. ἔστιν ὁ σαλγανεὺς συνάπτων τῷ εὐρίπῳ. ἔστι δὲ πόλις βοιωτίας· ὁ οἰκήτωρ, σαλγάνιος· δύναται καὶ σαλγανείτης, καὶ σαλγανεὺς ἀπόλλων.

Σ άλγας, ποταμὸς, καὶ πόλις σάλγα τῆς μαυριτανίας· τὸ ἐθνικὸν, σαλγαῖος, ἢ σαλγανός.

Σ αλήσιοι, μοῖρα παιόνων· σαλησίοις δ᾽ εἶπερ καὶ αὐτοὶ μοῖρα παιόνων τυγχάνουσι.

Σ αλλεντία, πόλις μεσσαπίων· τὸ ἐθνικὸν, σαλλεντῖνος.

Σ άλυες, ἔθνος δυτικὸν, πολεμῆσαν ῥωμαίοις, ὡς χάραξ ἐν δεκάτῳ χρονικῶν.

Σ αλμάκις, πόλις καρίας· τὸ ἐθνικὸν, σαλμακίτης, καὶ σαλμακεὺς διὰ τὸ ἐπιχώριον.

Σ αλμηνοὶ, ἔθνος μοναδικὸν, ὥς φησιν ἐν ἀραβικῶν ἀρχαιολογίᾳ.

Σ άλμος, πόλις βοιωτίας, ἧς οἱ πολῖται σαλμόνιοι, ὡς ἑλλάνικος ἐν δευτέρῳ δευκαλιωνίας.

Σ αλμυδησσὸς, κόλπος τοῦ πόντου· τὸ ἐθνικὸν, σαλμυδήσσιος, καὶ σαλμυδησσία, καὶ σαλμυδησσηνοί. ἡ ἀπὸ τόπου σχέσις, σαλμυδησσόθεν.

Σ άλμυκα, πόλις περὶ τὰς ἡρακλέους στήλας· τὸ ἐθνικὸν ἀπὸ τοῦ σάλμυκος, σαλμυκηνὸς, ὡς ἐρυκηνός.

Σ αλμώνη, πόλις τῆς πισάτιδος, καὶ κρήνη ὁμωνύμως, ἀπὸ τοῦ σαλμωνέως τοῦ βασιλέως· ὁ πολίτης, σαλμωνεὺς, ἢ σαλμωνείτης, ὡς ἀταρνείτης· τὸ θηλυκὸν, σαλμωνεῖτις.

Σ άλωνα, πόλις ἰλλυρίας· τὸ ἐθνικὸν, σαλωνίτης. εἰσὶ καὶ σαλῶναι πόλις δαλματίας, ὧν σαλωνεὺς τὸ ἐθνικὸν, ὡς πρίσκος ἐν ἕκτῳ.

Σ αλώνεια, πόλις βιθυνίας, καὶ τόπος σάλων, σάλωνος· ὁ κατὰ ταύτην, σαλωνείτης. οὐκ ἔστι δὲ τοῦ σάλωνος ὁ σαλωνείτης, ἀλλὰ τῆς σαλωνείας. λέγεται καὶ σαλωναῖος.

Σ αμάρεια, πόλις τῆς ἰουδαίας, ἡ μετονομασθεῖσα νεάπολις. καὶ ἐπαφρόδιτος μὲν τὸ ἐθνικὸν αὐτῆς σαμαρεὺς εἶπε, καὶ τὴν πρώτην συλλαβὴν ἐμήκυνεν· ὁ δ᾽ αὖ ἰώσηπος, σαμαρείτης.

Σ άμβος, πόλις ἀράβων. καὶ ἑνικῶς μὲν, ἡ πόλις· πληθυντικῶς δὲ, οἱ πολῖται σάμβοι, καὶ σαμβίτης.

Σ αμηνοὶ, νομάδων ἀραβίων ἔθνος.

Σ αμικὸν οὐδετέρως, τριφυλλιακὴ πόλις· τὸ ἐθνικὸν, σαμικεὺς, ὡς ἀπὸ τοῦ οὐδετέρου. ἢ σαμικὸν, ὡς ἀττικὸν, τῆς ἀττικῆς.

Σ άμνιον, πόλις πρετανίας· τὸ ἐθνικὸν, σάμνιος, καὶ σαμνίτης, καὶ σαμνιτικὸς κτητικόν.

Σ αμοθράκη, νῆσος πρὸς τῇ θράκῃ, πόλιν ὁμώνυμον ἔχουσα. ἐκλήθη δὲ ἀπὸ τῶν σαμίων, καὶ τῶν θρακῶν. ἐκαλεῖτο δὲ πρότερον δαρδανία. τὸ ἐθνικὸν, σαμοθρᾷξ, καὶ σαμοθράκιος.

Σ άμορνα, καὶ σάμορνος, ἡ ἔφεσος ἐκαλεῖτο. τὸ ἐθνικὸν τῆς σαμόρνης, σαμορναῖος. τῆς δὲ σάμορνος, σαμόρνιος.

Σ άμος, ἐπιφανὴς πρὸς τῇ καρίᾳ νῆσος. ἐκλήθη δὲ πρότερον παρθενία, καὶ δρύουσα, καὶ ἀνθέμουσα, καὶ μελάμφυλος. τὸ ἐθνικὸν, σαμαῖος, καὶ σάμιος, καὶ σαμία, καὶ σαμιακός.

Σ αμόσατα, πόλις κομμαγηνῆς ἐπὶ τῷ εὐφράτῃ. ὁ πολίτης, σαμοσατεύς.

Σ αμυδάκη, πόλις καρμανίας. τὸ ἐθνικὸν, σαμυδακηνὸς, ὡς τῆς ἀρτάκης, ἀρτακηνός.

Σ αμυλία, πόλις καρίας, Μοτύλου κτίσμα τοῦ τὴν Ελένην καὶ Παρίν ὑποδεξαμένου. τὸ ἐθνικὸν, σαμυλιανός.

Σ άμφη, πόλις φοινίκης. τὸ ἐθνικὸν, σαμφαῖος.

Σ άμψα, κώμη τῆς ἀραβίας. τὸ ἐθνικὸν, σαμψηνός. σάμψα δὲ παρὰ τοῖς ἄραψιν ὁ ἥλιος.

Σ άμψειρα, πόλις αἰγύπτου. τὸ ἐθνικὸν, σαμψειρεώτης, ὡς μαρεώτης, καὶ σαμψειρείτης.

Σ ανδάλιον, πισιδίας χωρίον. ὁ ἐκεῖ οἰκῶν, σανδαλιεύς.

Σ άνδων, πόλις ἰταλίας. τὸ ἐθνικὸν, σανδώνιος, ὡς αὐλώνιος, σαλώνιος.

Σ άνεια, πόλις ἰνδικὴ, ὡς ἀδριανὸς ἀλεξανδρειάδος ἑβδόμῳ. τὸ ἐθνικὸν, σανεύς.

Σ άνη, πόλις θράκης μεταξὺ ἄθω, καὶ παλλήνης. οἱ πολῖται, σάνιοι, καὶ σηναῖοι, καὶ σαναῖοι.

Σ άννα, πόλις ἐπὶ τῆς ἐρυθρᾶς θαλάσσης. τὸ ἐθνικὸν, σανναῖος, ὡς κωνσταντιναῖος. ἀλλ' ἐπειδὴ τῷ ης χαίρουσι τύπῳ, γίνεται σαννώτης.

Σ άνιγαι, ἔθνος σκυθίας, τοῖς ἀβασγοῖς παρακείμενον.

Σ άντις, πόλις κελτική. τὸ ἐθνικὸν, σαντίτης, ὡς λέπτις, λεπτίτης.

Σ άντωνες, ἔθνος τῆς ἀκυιτανίας.

Σ άξονες, ἔθνος οἰκοῦν ἐν τῇ κιμβρικῇ χερρονήσῳ.

Σ άος, ἡ τῶν σαΐων νῆσος. τὸ ἐθνικὸν, σάϊος.

Σ άπαι, ἔθνος θράκης. λέγονται δὲ σάπαιοι, καὶ σάπιοι. καὶ τὸ κτητικὸν, σαπαϊκὸν, καὶ σαπαϊκή.

Σ άπειρες, ἔθνος ἐν τῇ μεσογείᾳ τῆς ποντικῆς, οἱ νῦν διὰ τοῦ β λεγόμενοι σάβειρες.

Σ αμφειρίνη, νῆσος ἐν τῷ ἀραβίῳ. ἐκ ταύτης ὁ σάμφειρος λίθος.

Σ αράκη, χώρα ἀραβίας μετὰ τοὺς ναβαταίους. οἱ οἰκοῦντες, σαρακηνοί. saravceni

Σ άραπις, νῆσος ἐν τῷ ἰνδικῷ κόλπῳ. τὸ ἐθνικὸν, σαραπίτης.

Σ άραπτα, πόλις φοινίκης. ὁ πολίτης, σαράπτιος, καὶ σαραπτία, καὶ σαραπτηνός.

Σ άργανθα, πόλις ἰβηρίας. τὸ ἐθνικὸν, σαργανθηνός.

Σ άργαντις, πόλις καὶ φυλακὴ αἰγυπτία. ὁ πολίτης, σαργαντίτης, ὡς ναυκρατίτης.

Σ άρδαιον, ὄρος περὶ ἀσωπόν. τὸ ἐθνικὸν, σαρδαῖος, καὶ σαρδαιεύς.

Σ άρδησσος, πόλις λυκίας, πλησίον λυρνησσοῦ. ὁ οἰκήτωρ, σαρδήσσιος. καὶ σαρδήσσιος ζεὺς τιμᾶται.

Σ άρδις, πόλις λυδίας. ὁ πολίτης, σαρδιανὸς, καὶ σαρδιανή. τὸ κτητικὸν, σαρδιανικὸς, σαρδιανική.

Σ άρδος, ὡς πάρθος, πόλις ἰλλυρίας. οἱ πολῖται, σαρδηνοί.

Σ αρδὼ, ἡ νῆσος. ὁ σάρδος σὺν τῇ σαρδοῖ ἀναλόγως. λέγεται καὶ σαρδὼν, ὡς τῇ πυθοῖ παράκειται τὸ πυθών. ἐκαλεῖτο δὲ ἰχνοῦσα, διότι ἐοικυῖα ἦν ἀνθρώπου ἴχνει. ὁ κάτοικων, σαρδώνιος, καὶ σαρδωνία, καὶ σαρδῷος, καὶ σαρδωνικὸς, καὶ σαρδωνική.

Σ άριχα, πόλις καππαδοκίας. τὸ ἐθνικὸν, σαριχηνὸς, ἢ σαριχεὺς, ὡς τυανεύς.

Σ αρμάται, ἔθνος σκυθικόν. ἡ χώρα αὐτῶν, σαρματία. καὶ σαρματικὸν ὄρος.

Σ αρνοῦς, ὡς μυοῦς, πόλις ἰλλυρική. τὸ ἐθνικὸν, σαρνούσιος, ὡς μυούσιος.

Σ αρπηδὼν, πόλις θράκης. τὸ ἐθνικὸν, σαρπηδόνιος, καὶ σαρπηδονία.

Σ άρτη, πόλις περὶ τὸν ἄθων. τὸ ἐθνικὸν, σαρταῖος.

Σ άρων, τόπος τροιζῆνος. σαρώνιος σὺν, καὶ σαρωνία. καὶ σαρωνικὸς, καὶ σαρωνική.

Σ άτα, πόλις κρήτης, ἡ μετονομασθεῖσα ἐλευθέρνα. ὁ πολίτης, σαταῖος.

Σ ατορνία, ἡ ἰταλία πρότερον ἐκαλεῖτο. τὸ ἐθνικὸν, σατορνῖνος. ἔστι τὸ κύριον ὁμοίως.

Σ άταλα, πόλις ἀρμενίας, ὡς ἀλέξανδρος ἐν ἀσίᾳ. τὸ ἐθνικὸν, σαταλεύς.

Σ ατίκολα, πόλις ἰταλίας. τὸ ἐθνικὸν, σατικολανὸς, ὡς μεδιολανός.

Σ άτραι, ἔθνος θράκης, ὡς ἑκαταῖος ἐν εὐρώπῃ φησί.

Σ ατρία, πόλις ἰταλίας. τὸ ἐθνικὸν, σατριανὸς, ὡς διονύσιος.

Σ ατροκένται, ἔθνος θρᾴκιον, ὡς ἑκαταῖος ἐν εὐρώπῃ.

Σ ατύριον, χώρα πλησίον τάραντος· τὸ ἐθνικὸν, σατυρεῖνος, καὶ σατύριος.

Σ αύα, οὐδετέρως, κώμη τῆς εὐδαίμονος ἀραβίας· οἱ κωμῆται, σαυηνοί· ἔστι δὲ καὶ σαῦνις πόλις ἀραβίας, ἧς ἡ αἰτιατικὴ, σαῦνιν.

Σ αυνῖται, τῶν ἰαπύγων ὅμοροι· τὸ θηλυκὸν, σαυνῖτις· τὸ κτητικὸν, σαυνιτικός.

Σ αῦρα, πόλις σαυνιτῶν· τὸ ἐθνικὸν, σαυρανῶν δ' οἱ κορυφαιότατοι.

Σ αυρομάται, σκυθικὸν ἔθνος· καὶ σαυρομάτις ἡ γυνὴ, καὶ ἡ χώρα.

Σ αχαλῖται, ἔθνος ἰνδικόν· καὶ σαχαλίτης κόλπος· κατὰ τοῦτον τὸν σαχαλίτην κόλπον κεῖνται πελάγιοι νῆσοι ἑπτά.

## τὸ σίγμα μετὰ τοῦ ε. ψιλοῦ.

Σ εβαστὴ, πόλις ἀρμενίας, ἡ νῦν σεβαστία καλουμένη, ὡς ἀλέξανδρος ὁ ἐφέσιος. ἔστι καὶ τῇ σαμαρείτιδι πολίχνιον. τὸ ἐθνικὸν, σεβαστηνός. λέγεται καὶ ἡ πρὸς τῇ κώρυκι χερρόνησος οὕτω.

Σ έβεδα, λιμὴν λυκίας, ὡς ἀλέξανδρος ἐν περίπλῳ· τὸ ἐθνικὸν, σεβεδεύς.

Σ εβέννυτος, πόλις αἰγύπτου, καὶ λίμνη, καὶ ποταμός· καὶ σεβεννύτης νόμος, καὶ πολίτης· καὶ σεβεννυτικὸν στόμα.

Σ επίδη, πόλις κελτιβήρων· τὸ ἐθνικὸν, σεπιδαῖος.

Σ έθρον, πόλις αἰγύπτου· ὁ πολίτης, σεθροΐτης, ὡς ἀρσενοΐτης· ἀλέξανδρος ζίτῳ αἰγυπτιακῶν.

Σ ειρηνοῦσαι, νῆσοι ἐν τῇ ἰταλίᾳ περὶ τὸν πορθμὸν, ἐπ' αὐτῆς τῆς ἄκρας κείμεναι τοῦ ἀποπεπτωκότος τόπου, καὶ διαλαμβανόντος τοῖς κόλποις τὸν περιέχοντα κύμην, τὸν διειληφότα τὴν καλουμένην ποσειδωνίαν, ἐν ᾧ καὶ νεὼς αὐτῶν ἵδρυται, καὶ τιμῶνται καθ' ὑπερβολήν· ὧν καὶ τὰ ὀνόματα ταῦτα, παρθενόπη, καὶ λευκωσία, καὶ λίγεια. τὸ ἐθνικὸν, σειρηνούσιος, καὶ σειρηνουσαῖος.

Σ έκελα, πόλις παλαιστίνης, ὡς ἰώσηπος· τὸ ἐθνικὸν, σεκελοί.

Σ ελάσεια, πόλις τῆς λακωνικῆς· τὸ ἐθνικὸν, σελασιεύς, ὡς τῆς πειρασίας, πειρασιεύς.

Σ έλγη, πόλις πισιδίας, ἄποικος λακεδαιμονίων· οἱ πολῖται, σελγεῖς· καὶ σελγικὴ κτητικόν.

Σ ελεύκεια, πόλις ἐπὶ κιλικίᾳ, τραχεῖα λεγομένη· ὠνόμασε δὲ σελεύκειαν αὐτὴν σέλευκος ὁ νικάτωρ, ὡς ἀλέξανδρός φησι. πρότερον δὲ ὀλβία ἐκαλεῖτο, καὶ ὑρία. οἱ πολῖται ἀπὸ τῆς ὑρίας, ὑριεῖς, καὶ τῆς ὀλβίας, ὀλβιανοί, καὶ τῆς σελευκείας, σελευκεῖς. καὶ σελευκεύς, καὶ σελευκηνός· καὶ σελευκὶς ἡ χώρα. ἔστι καὶ περιστερῶν εἶδος σελευκὶς, ἀπὸ σελεύκου.

Σ έλευκος, πόλις περὶ τῇ ἐνδείᾳ ἀπαμείᾳ ἀρσενικῶς λεγομένη· ὁ πολίτης, σελευκηΐτης.

Σ ελευκόβηλος, πόλις, συρίας πλησίον· ὁ πολίτης, σελευκοβηλίτης, καὶ σελευκοβηλαῖος· λέγεται καὶ σελευκεὺς πρὸς τῷ βήλῳ. οὕτω γὰρ παυσανίας ἐν τῷ περὶ ἀντιοχείας φησί.

Σ ελήνη, πόλις τυῤῥηνίας· τὸ ἐθνικὸν, σεληνοπολίτης· καὶ ἑτέρα μεγάλη, μία τῶν ἑκατὸν νήσων. ἔστι καὶ σελήνη τόπος ἀνόν τι ἄστρῳ παραπλήσιον· ὁ οἰκήτωρ, σεληνίτης, καὶ σεληναῖος.

Σ ελινοῦς, πόλις σικελίας ἀρσενικῶς καὶ θηλυκῶς λεγομένη· ὁ πολίτης, σελινούντιος, καὶ σελινούσιος, καὶ σελινουντία.

Σ ελλασία, πόλις λακωνική· θεόπομπος ἐν τετάρτῳ ἑλληνικῶν· ὁ πολίτης, σελλασιεύς, ὡς ἀττιεύς.

Σ ελλοὶ, οἱ δωδωναῖοι· ἀμφὶ δὲ σελλοὶ σοὶ ναίουσ' ὑποφῆται. λέγεται καὶ δίχα τοῦ σ. ἐλλοί.

Σ έννονες, ἔθνος γαλατικὸν, ὡς οὐράνιος ἐν ἀραβικῶν πρώτῳ.

Σ ενοεστανοὶ, ἔθνος ἰταλικὸν, ὡς πολύβιος ἐν ζίτῳ.

Σ έμφη, ὡς τύμφη, πόλις τῆς κατὰ εὐφράτην ἀραβίας· τὸ ἐθνικὸν, σεμφαῖος, καὶ σεμφηνός.

Σ έριφος, μία τῶν σποράδων· ἐξ οὗ καὶ τὸ βάτραχος σερίφιος· καὶ τὸ θηλυκὸν, σεριφία, καὶ σεριφαία.

Σ ερμυλία, πόλις περὶ τὸν ἄθων, ὡς ἑκαταῖος· ἔοικε δὲ ὡς παρὰ τὸ σερμύλιον· τὸ ἐθνικὸν, σερμυλιαῖος, καὶ σερμυλία, καὶ σερμυλιεύς.

Σ έρρειον, ἀκρωτήριον τῆς θρᾴκης. ἔστι καὶ πόλις σαμοθρᾴκης· τὸ ἐθνικὸν, σερρειεύς, καὶ σερρεώτης, ὡς τὸ λαύρειον, λαυρεώτης· καὶ σερρεάτης, ὡς λέπρεον, λεπρεάτης· καὶ σέρρειον τεῖχος· οὗ τὸ ἐθνικὸν, σερρειοτειχίτης· καὶ ἀπὸ τοῦ σέρρεια ὄρη, σέρρειος ἐθνικόν. λέγεται καὶ σέρρα, ἧς ἡ γενικὴ κατ' ἴωνας σέρρης, καὶ σερρατειχίτης.

Σ εσάρηθος, πόλις ταυλαντίων, ὡς φησιν ἑκαταῖος· καὶ τὸ ἐθνικὸν, σεσαρήθιος.

Σ εσίνδιον, πόλις ἰνδική· τὸ ἐθνικὸν, σεσίνδιος, ὡς τῆς ἰσίνδου, ἰσίνδιος.

Σ έσιον, πόλις ἐν μεσογείᾳ οἰνώτρων· τὸ ἐθνικὸν, σεσιεύς, ὡς τὰ εἰς ον οὐδέτερα.

Τὸ σίγμα μετὰ τοῦ ἦτα.

Σ ηκόανος, ποταμὸς μασσαλιωτῶν, ἀφ' οὗ τὸ ἐθνικὸν σηκόανοι, ὡς ἀρτεμίδωρος ἐν πρώτῃ.

Σ ηλυμβρία, πόλις θρᾴκης. κέκληται δὲ ἀπὸ σήλυος. βρία γὰρ κατὰ θρᾷκας ἡ πόλις, ὡς πολτυμβρία, ἡ πόλτυος πόλις. ὁ πολίτης, σηλυμβριανός.

Σ ημαχίδαι, δῆμος ἀττικὸς, ἀπὸ σημάχου, οὗ καὶ ταῖς θυγατράσιν ἐπεξενώθη διόνυσος. ἀφ' ὧν αἱ ἱέρειαι αὐτοῦ. ἔστι δὲ τῆς ἀντιοχίδος φυλῆς. φιλόχορος δὲ τῆς ἐπακτρίας φησὶ τὸν δῆμον. ὁ δημότης, σημαχίδης. τὰ τοπικὰ, ἐκ σημαχιδῶν, ἐν σημαχιδῶν, εἰς σημαχιδῶν.

Σ ήνη, πόλις κελτική. ὁ πολίτης, σηναῖος, καὶ σήνων.

Σ ῆνος, πόλις αἰγύπτου. ἑκαταῖος ἐν αὐτῆς περιηγήσει. ὁ πολίτης, σηνικός.

Σ ῆρες, ἔθνος ἰνδικὸν ἀπροσμιγὲς ἀνθρώποις, ὡς οὐράνιος ἐν τρίτῳ ἀραβικῶν.

Σ ήσαμον, πόλις παφλαγονίας, ἐν ᾗ ᾤκησεν ὁ πρῶτος φινεύς. δίδυμος δὲ νῆσον αὐτήν φησι. τὸ ἐθνικὸν, σησαμηνοὶ, καὶ σησαμίτης.

Σ ηστὸς, πόλις πρὸς τῇ προποντίδι. λέγεται δὲ ἀρσενικῶς παρ' εὐφόρῳ. οἱ δ' ἀθηναῖοι, ἐν τῇ σηστῷ φασιν. ὁ πολίτης, σήστιος. ἔστι δὲ ὡς φαιστὸς, φαίστιος.

Σ ηταῖον, χώρα περὶ σύβαριν, ἔνθα σηταίαν μίαν τῶν αἰχμαλώτων πείσασαν τὰς ἄλλας τῶν ἑλλήνων ἐμπρῆσαι τὰς ναῦς, αὐτὴν ἐσταυρῶσθαι. τὸ ἐθνικὸν, σηταῖος.

Σ ητία, πόλις ἰταλίας. τὸ ἐθνικὸν, σητηνοί. ἔστι δὲ καὶ σητὴ πόλις. τὸ ἐθνικὸν τῶν σητῶν τῶν ἐν βιθυνίᾳ, σηταῖος. λέγονται καὶ σητοὶ, ὡς δελφοὶ, καὶ λοκροί.

Τὸ σίγμα μετὰ τοῦ ἰῶτα.

Σ ιαγαθουργοὶ, ἔθνος, περὶ οὗ φησι μαρκιανὸς ἐν περίπλῳ σαρματίας.

Σ ίβαι, ἰνδικὸν ἔθνος, ἅμα ἡρακλεῖ μαχεσάμενον διονύσῳ, καθά φησι διονύσιος.

Σ ίβδα, πόλις καρίας. οἱ πολῖται, σιβδῖται. τὸ ἐθνικὸν, σιβδηνὸς, καὶ σιβδίτης.

Σ ιβρηνὴ, πόλις οἰνώτρων. τὸ ἐθνικὸν, σιβερηνός. προκατελήφθη γὰρ ὁ τύπος τῷ πρωτοτύπῳ.

Σ ίβυρτος, πόλις κρήτης. τὸ ἐθνικὸν, σιβύρτιος, ὡς πολύβιος ἐν τεσσαρεσκαιδεκάτῳ.

Σ ίγαθα, πόλις λιβύης, ὡς στράβων ἑπτακαιδεκάτῃ. ὁ πολίτης, σιγαθεύς.

Σ ίγγα, ὡς πολύβιος δυοκαιδεκάτῳ. τὸ ἐθνικὸν, σιγγαῖος.

Σ ίγγαρα, πόλις ἀραβίας πρὸς τῇ ἐδέσῃ, ὡς οὐράνιος ἐν πρώτῳ ἀραβικῶν. ὁ πολίτης, σιγγαρηνός.

Σ ίγγος, πόλις περὶ τὸν ἄθων. τὸ ἐθνικὸν, σίγγιος. καὶ σιγγικὸς τὸ κτητικὸν, καὶ σιγγαῖος.

Σ ίγυα, πόλις παμφυλίας. τὸ ἐθνικὸν, σιγυάτης, ὡς αἰγύας, αἰγυάτης.

Σ ίγειον, πόλις τρῳάδος, ὡς στράβων τρίτῃ. ὁ πολίτης, σιγειεύς. τὸ θηλυκὸν, σιγειὰς, καὶ σιγειακός. ἔστι καὶ ἄλλο ἐθνικὸν σίγειος.

Σ ίγη, πόλις τρῳάδος, ὡς ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, σιγίτης.

Σ ίγυνα, πόλις ἰταλίας, ὡς στράβων τρίτῃ. τὸ ἐθνικὸν, σίγυνος.

Σ ίγριον, λέσβου λιμήν. τὸ ἐθνικὸν δύναται καὶ σιγριεὺς, καὶ σίγριος.

Σ ίγυννος, πόλις αἰγυπτίων, ὡς κτησίας ἐν πρώτῳ περίπλων. οἱ πολῖται, σίγυννοι.

Σ ιδάκη, πόλις λυκίας, ἀπὸ σιδάκης τῆς λαμισοδώρου. τὸ ἐθνικὸν, σιδακηνὸς, καὶ σιδακηνή, καὶ σιδακηνὸν, καὶ σιδακεὺς τῷ τῆς χώρας ἔθει. χαίρουσι γὰρ τῷ τύπῳ.

Σ ιδαροῦς, πόλις, καὶ λιμήν. τὸ ἐθνικὸν, σιδαρούντιος, ὡς τραπεζούντιος.

Σ ίδη, πόλις παμφυλίας, ὡς ἑκαταῖος ἀσίᾳ. κέκληται δὲ ἀπὸ σίδης τῆς θυγατρὸς ταύρου, γυναικὸς δὲ κιμώλου, ἀφ' οὗ ἡ νῆσος. ὁ πολίτης, σιδήτης. τὴν δευτέραν συλλαβὴν ἔχει διὰ τοῦ η, διὰ τὸν βαρὺν τοῦ πρωτοτύπου τόνον. τὰ γὰρ εἰς η λήγοντα δισύλλαβα, πρωτότυπα, ὀξυνόμενα μὲν, διὰ τοῦ ε τὸ παράγωγον ἐκφέρει. φυλὴ, φυλέτης. διὰ δὲ τοῦ η βαρυνόμενα, κώμη, κωμήτης. πύλη, πυλήτης, καὶ πυλάτης.

Σ ιδήλη, πόλις ἰωνίας. ἑκαταῖος ἀσίᾳ. ὁ πολίτης, σιδηληνός.

Σ ιδήνη, πόλις λυκίας, ὡς ξάνθος ἐν λυδιακῶν τετάρτῳ. τὸ ἐθνικὸν, σιδηνὸς, ὡς σοφηνός.

Σ ιδοῦς, κώμη κορίνθου, ἢ μεγαρίδος ἐπίνειον. τὸ ἐθνικὸν, σιδούντιος. ἔστι καὶ περὶ κλαζομενὰς κώμη, καὶ ἄλλη τῆς ἐρυθρᾶς, καὶ τόπος τῆς παμφυλίας. τὸ ἐθνικὸν, σιδούσιος.

Σ ίδουσα, πόλις ἰωνίας. ἑκαταῖος ἀσίᾳ. ἐν δὲ σίδουσα πόλις.

Σ ίδυμα, πόλις λυκίας, ὡς ἀλέξανδρος μέμνηται ἐν πρώτῳ λυκιακῶν. ἐκλήθη δὲ ἀπὸ σιδύμου. ὁ πολίτης, σιδυμεύς.

Σ ιδὼν, πόλις φοινίκης. ἑκαταῖος ἀσίᾳ. ὁ πολίτης, σιδώνιος διὰ τοῦ ω μεγάλου, καὶ διὰ τοῦ ο μικροῦ. καὶ σιδωνὶς τὸ θηλυκόν.

ἀλλὰ καὶ σιδὼν ἐθνικόν.

Σ ιδωνία, πόλις βοιωτίας· τὸ ἐθνικὸν, σιδώνιος· προκατελήφθη γὰρ τὸ πρωτότυπον.

Σ ιθηνοὶ, ἔθνος παρακείμενον τῇ ἐρυθρᾷ θαλάσσῃ, ὡς μαρκιανὸς ἐν περίπλῳ.

Σ ιθωνία, μέρος θράκης· τὸ ἐθνικὸν, σιθώνιος, καὶ σιθωνίη.

Σ ικάνη, πόλις ἰβηρίας, ὡς ἑκαταῖος εὐρώπῃ· τὸ ἐθνικὸν, σικάνιος.

Σ ικανία, ἡ περίχωρος ἀκραγαντίνων· καὶ ποταμὸς σικανὸς, ὥς φησιν ἀπολλόδωρος.

Σ ικελία, ἡ χώρα, καὶ ἡ νῆσος· τὸ ἐθνικὸν, σικελοὶ, καὶ σικελιῶται· καὶ οἱ μὲν, ἀπὸ τοῦ οἰκιστοῦ καὶ ἀρχηγέτου τῆς χώρας, ἀφ' οὗ καὶ ἡ χώρα, ὡς κίλικος, τοῦ κίλικος, οὗ καὶ ἡ κιλικία· ὡς θετταλοὶ, ἀπὸ θετταλοῦ, οὗ ἡ θετταλία· καὶ φρυγὸς, φρύγες, οὗ ἡ φρυγία· οἱ δ' ἐπιγενόμενοι, καὶ τὴν χώραν εὑρόντες προκεκλημένην ἐπωνομάσθησαν, ὡς ἀπὸ τῆς φθίας, φθιῶται, οὕτω ἰταλίας, καὶ σικελίας, ἰταλιῶται, καὶ σικελιῶται· καὶ σικελὸς, καὶ σικελή· ἔστι καὶ ἄλλη σικελία κατὰ τὴν πελοπόννησον.

Σ ίκημος, πόλις ἀραβίας, καὶ σίκημα· τὸ ἐθνικὸν, σικήμιος, καὶ σικημίτης· τοῦ δὲ σίκημα, τὸ ἐθνικὸν, σίκημοι.

Σ ίκινος, νῆσος περὶ τὴν κρήτην, ὡς στράβων δεκάτῃ· αὕτη οἰνόη πρότερον ἐκαλεῖτο· ὁ οἰκήτωρ, σικινίτης, ὡς νῆσος, νησίτης.

Σ ικύων, πόλις πελοποννήσου· λέγεται καὶ θηλυκῶς, καὶ ἀρσενικῶς· ἡ δ' αὐτὴ ἐκλήθη καὶ μήκων, καὶ τελχινία· ὁ πολίτης, σικυώνιος· καὶ ὑποδήματα σικυώνια.

Σ ιλίνδιον, πόλισμα περὶ τὴν ἴδην, ὡς δημήτριος ὁ σκήψιος ἐν εἰκοστῷ τοῦ τρωϊκοῦ διακόσμου· οἱ πολῖται, σιλινδῖται, καὶ σιλινδιῶται.

Σ ίλλυος, πόλις ἰωνίας πρὸς τῇ σμύρνῃ· τὸ ἐθνικὸν, σιλλυεῖς.

Σ ίμανα, πόλις βιθυνίας, μεταξὺ δύο ποταμῶν· τὸ ἐθνικὸν, σιμανοεῖος, καὶ σιμανεύς.

Σ ίμηνα, πόλις λυκίας, οὐδετέρως· οἱ κάτοικοι κατοικοῦντες, σιμανεῖς, ὡς σιδυμεῖς.

Σ ιμόεις, καὶ σιμοῦς, ὡς ὀπόεις, ὀποῦς· παρασυνώνυμον, σιμούντιος· καὶ θηλυκὸν, σιμουντίς.

Σ ίμυρος, πόλις συρίων· ἔφορος δὲ σίμυρα οὐδετέρως αὐτήν φησι· τὸ ἐθνικὸν, σιμύριος· τοῦ δὲ οὐδετέρου, σιμυρεύς.

Σ ίναι, μητρόπολις τῶν σινῶν, περὶ ὧν φησι μαρκιανὸς ἐν περίπλοις.

Σ ινδικὸς, ὡς τελμησσὸς, πόλις καρίας· τὸ ἐθνικὸν, σινδικεὺς, καὶ σινδικαῖος.

Σ ινδία, πόλις λυκίας· ἑκαταῖος ἀσίᾳ· τὸ ἐθνικὸν, σίνδιοι.

Σ ίνδα, πόλις πρὸς τῷ μεγάλῳ κόλπῳ τῆς ἰνδικῆς, ἔνθεν οἱ καλούμενοι σίνδαι.

Σ ινδοὶ, ἀπὸ μεσημβρίας τῆς μαιώτιδος λίμνης. ἔνιοι δὲ καὶ τὸ σινδικὸν γένος φασὶν εἶναι μαιωτῶν ἀπόσπασμα· λέγεται καὶ τὸ γυναικεῖον αἰδοῖον.

Σ ινδοναῖοι, θράκιον ἔθνος, ὡς ἑκαταῖος εὐρώπῃ.

Σ ίνηρα, πόλις φοινίκης, τῶν ἀπὸ φοινίκης, καὶ συρίας· τὸ ἐθνικὸν, σινηρεύς.

Σ ίνθος, πόλις παρὰ τῷ θερμαίῳ· ἡρόδοτος ἑβδόμῃ· τὸ ἐθνικὸν, σίνθιος.

Σ ινόεσσα, πόλις σικελίας· τὸ ἐθνικὸν, σινοεσσαῖος, καὶ σινοεσσηνός.

Σ ιντία, πόλις μακεδονίας πρὸς τῇ θράκῃ, ὡς εὔδοξος ἐν τετάρτῳ γῆς περιόδου· οἱ οἰκοῦντες, σιντοὶ ὀξυτόνως· γίνεται δέ τι θαυμαστὸν παρ' αὐτοῖς, ὥς φησιν ἀριστοτέλης, ποταμόν τινα εἶναι τοῦτον προσαγορευόμενον, ἐν ᾧ καταφέρεσθαί τινας λίθους· οἱ καιόμενοι, τοὐναντίον πάσχουσι τοῖς ἐκ τῶν ξύλων ἄνθραξι· ῥιπιζόμενοι μὲν γὰρ, ἀποσβέννυνται ταχέως· ὕδατι δὲ ῥαινόμενοι, ἀνάπτονται· ὅταν δὲ δὴ καίωνται, πονηρὸν ὄζουσι, καὶ παραπλήσιον ἀσφάλτῳ. καὶ τὴν ὀσμὴν οὕτω δριμεῖαν ἔχουσιν, ὡς μηδὲν τῶν ἑρπετῶν ὑπομένειν, καιομένων αὐτῶν· λέγονται καὶ σίντιοι· καὶ σίντιον τὸ οὐδέτερον.

Σ ίντιον, φρούριον ἀρμενίας, κτίσμα γαλατῶν· τὸ ἐθνικὸν, σιντιεύς.

Σ ινώπη, πόλις διαφανεστάτη τοῦ πόντου, κτίσμα μακεριτίου κώου, ὥς φησι φλέγων· ὁ πολίτης, σινωπεὺς, καὶ σινωπίτης, καὶ σινωπίτις, καὶ σινωπὶς, ἀπὸ τοῦ σινωπεύς· καὶ σινωπικόν.

Σ ίξος, πόλις μαστιηνῶν· ἑκαταῖος· μετὰ δὲ σίξος πόλις.

Σ ιπεῦς, πόλις δαυνίων· τὸ ἐθνικὸν, σιπούντιος.

Σ ίπυλος, πόλις φρυγίας· ἑλλάνικος ἱερέων πρώτῳ· τὸ ἐθνικὸν, σιπυληνὸς, καὶ σιπυλωνή.

Σ ίροπ, ἔθνος θράκης ὑπὲρ τοὺς βυζαντίους, ὡς δέδεικται ἐν τῷ περὶ νίψων.

Σ ίρβων, καὶ σιρβωνὶς, λίμνη πλησίον τοῦ κασίου· τὸ κτητικὸν, σιρβώνιος, ἀπὸ τῆς σίρβωνος γενικῆς, ὡς κιθαιρώνιος, καὶ ἀργανθώνιος.

Σ ίρις, πόλις ἰταλίας, πλησίον τοῦ μεταποντίου, καὶ ποταμός· μετωνομάσθη δὲ καὶ πολίειον, ἀπὸ τῆς ἐν ἰλίῳ πολιάδος ἀθηνᾶς· ὁ πολίτης, σιρίτης, ὡς σύβαρις, συβαρίτης· τὸ θηλυκὸν, σιρῖτις, καὶ σιρηνός· ἔστι καὶ σίρις ἐν παιονίᾳ, ἧς τὸ ἐθνικὸν ἀπὸ τῆς γενικῆς σιροπαίονες.

Σ ίρμιον, πόλις παιόνων· τὸ ἐθνικὸν, σιρμιεύς, ὡς τὸ σούνιον, σουνιεύς·

Σ ιρρὰ, πόλις θράκης· θεόπομπος ἐν φιλιππικῶν εἰκοστῷ. τὸ ἐθνικὸν, σιρραῖος·

Σ ισίγυλις, πόλις μεγάλη πλησίον κελτικῆς· τὸ ἐθνικὸν, σισιγυλίτης·

Σ ίσυρβα, μέρος ἐφέσου, ἀπὸ σισύρβης ἀμαζόνος· τὸ ἐθνικὸν, σισυρβίτης·

Σ ίφαι, ἐπίνειον τῆς θεσπικῆς· καὶ οὐδετέρως, σίφη· ἔστι δὲ ὡς ἀπὸ τῆς κρηταῖος, κρηταιεύς, οὕτω σιφαῖος, σιφαιεύς·

Σ ιτικὸν, πόλις ἰταλίας· τὸ ἐθνικὸν, σιτικινοί·

Σ ιτάκη, πόλις περσικὴ, ὡς ἑκαταῖος ἀσίᾳ· ὁ πολίτης, σιτακηνός· καὶ ἡ χώρα, σιτακηνή·

Σ ίφνος, περὶ τὴν κρήτην νῆσος, ἀπὸ σίφνου τοῦ σουνίου, ὡς νικόλαος πέμπτῳ· ἐκαλεῖτο δὲ πρότερον μερόπη· τὸ ἐθνικὸν, σίφνιος· καὶ σίφνιον ποτήριον. καὶ σιφνιάζειν·

Σ ιωνία, πόλις ποντική· τὸ ἐθνικὸν, σιωνίτης· καὶ σιωνῖτις τὸ θηλυκόν·

τὸ σίγμα μετὰ τοῦ κάππα.

Σ κάβαλα, χώρα ἐρετριέων· θεόπομπος εἰκοστῷ τετάρτῳ φιλιππικῶν· τὸ ἐθνικὸν, σκαβαλαῖος·

Σ καὶ, ἔθνος μεταξὺ τῆς τρωάδος, καὶ τῆς θρᾴκης, ὡς ἑκαταῖος εὐρώπῃ·

Σ κάμανδρος, ποταμὸς τροίας, ἀπὸ σκαμάνδρου· τὸ ἐθνικὸν, σκαμάνδριος, καὶ σκαμανδρία· καὶ σκαμανδριανὸς, ὡς τοῦ καρδία, καρδιανός· καὶ σκαμανδρηνός·

Σ καμβωνίδαι, δῆμος ἀττικὸς λεοντίδος φυλῆς· τὰ τοπικὰ, ἐκ σκαμβωνιδῶν, καὶ ἐν σκαμβωνιδῶν, καὶ εἰς σκαμβωνιδῶν·

Σ κάνδεια, ἐπίνειον κυθήρων, ὡς παυσανίας τρίτῳ·

Σ καπτησύλη, πόλις θρᾴκης μικρὰ, ἀντικρὺ θάσου· τὸ ἐθνικὸν, σκαπτησυλῖται·

Σ κάρδοι, πόλις λυκίας, ἧς τὸ ἐθνικὸν ὁμοίως. ἔστι δὲ καὶ κρήνη ἱερὰ, οὗ κατ' εὐχὴν ἐμβάλλειν τινάς·

Σ κάρφεια, πόλις λοκρίδος, τῶν θερμοπυλῶν ἐγγύς· κέκληται ἀπὸ σκαρφείας· τὸ ἐθνικὸν, σκαρφεύς, καὶ σκαρφιεύς, καὶ σκαρφαῖος, καὶ σκάρφιος·

Σ κέψα, πόλις θρᾴκης· τὸ ἐθνικὸν, σκεψαῖος· καὶ σκέψιοι Δαυνοτειχῖται·

Σ κηναὶ, πόλις ἀξιόλογος περσικὴ, ὡς στράβων τρίτη. οἱ πολῖται, σκηνῖται·

Σ κῆψις, πόλις τρωϊκή· ξενοφῶν ἑλληνικῶν τρίτῳ· ἐκλήθη δὲ ἀπὸ τοῦ σκήψασθαι τὴν ῥέαν ἀντὶ τοῦ παιδὸς λίθον τεκεῖν· τὸ ἐθνικὸν, σκήψιος·

Σ κίαθος, νῆσος εὐβοίας· τὸ ἐθνικὸν, σκιάθιος·

Σ κιάποδες, ἔθνος αἰθιοπικὸν, ὡς ἑκαταῖος ἐν περιηγήσει αἰγύπτου·

Σ κιὰς, χώρα ἀρκαδίας· καὶ σκιάστης τὸ ἐθνικὸν, ὡς λευκὰς, λευκάτης· ἔστι καὶ σκιὰ πολίχνιον εὐβοίας, οὗ τὸ ἐθνικὸν σκιεύς·

Σ κίαθαι, πόλις θρᾴκης, πλησίον παλλήνης· ὁ πολίτης, σκιάθιος, ὥς φησι θεόπομπος·

Σ κίδρος, πόλις ἰταλίας· τὸ ἐθνικὸν, σκιδρανὸς, ὡς λύκος ἐν τῷ περὶ ἀλέξανδρον·

Σ κιλλοῦς, πόλις τριφυλιακή· τὸ ἐθνικὸν, σκιλλούσιος, καὶ σκιλλούντιος, καὶ σκιλλουντίς·

Σ κιρῖτις, ἡ δωδεκάπολις τῆς καρίας· οἱ οἰκοῦντες, σκιρῖται·

Σ κίρος, ἀρκαδίας κατοικία, πλησίον μενελείων, καὶ παρρασίων· οἱ κατοικοῦντες, σκιρῖται· τὸ θηλυκὸν, σκιρῖτις· ἔστι καὶ ἕτερον σκίρον τόπου ἀττικοῦ· καὶ σκιρωνίδες πέτραι, ἀπὸ σκίρωνος· ἢ οὗτος μὲν ἀπὸ τόπου, ὁ τόπος δὲ, ἀπὸ σκίρου ἥρωος· ἐν δὲ τῷ τόπῳ τούτῳ αἱ πόρναι ἐκαθέζοντο· ἴσως καὶ τὸ σκιράφιον, ὅπερ δηλοῖ τὸν τόπον, εἰς ὃν οἱ κυβισταὶ συνίασι· καὶ ὁ σκιροφόρος, ὃ σημαίνει τὸν ἀκόλαστον, καὶ σκιβύτην, ἀπὸ τῶν ἐν σκίρῳ διατριβόντων· σκίρα δὲ κέκληται, τινὲς μὲν ὅτι ἐπὶ σκύρῳ ἀθηνᾷ θύεται· ἄλλοι δὲ ἀπὸ τῶν γινομένων ἱερῶν δήμητρι, καὶ κόρῃ· καὶ ἡ ἑορτὴ αὕτη ἐπισκίρα κέκληται· λέγεται καὶ ὁ σκῖρος, καὶ τὸ σκίρον· βαρύνεται δέ· τὰ γὰρ εἰς ρον λήγοντα καθαρὸν δισύλλαβα, ἔχοντα πρὸ τέλους φύσει μακρὰν, βαρύνεσθαι θέλει, εἰ μὴ κατὰ πλεονασμὸν ἀποβολὴν ποιήσεται γένους· δῶρον· σῶρον· σκῖρον· εἰσὶ καὶ σκῖροι γαλατικὸν ἔθνος· τὸ ἐθνικὸν, σκιριεύς, καὶ σκιρεύς·

Σ κιρτώνιον, πόλις ἀρκαδίας, ὡς παυσανίας ὀγδόῳ· τὸ ἐθνικὸν, σκιρτώνιος·

Σ κίρφαι, πόλις φωκική· τὸ ἐθνικὸν, σκίρφιος, καὶ σκιρφαῖος, ὡς διευχίδας φησί·

Σ κιὼν, πόλις θρᾴκης, ἔνθα λέγεται τὰς τρωάδας αἰχμαλώτους, διὰ τὸ μὴ ὑπὸ τῶν ἑλλήνων εἰς δουλείαν ἀπενεχθῆναι, τῶν αὐτῶν γυναικῶν ἐμπρῆσαι τὰς ναῦς· οἱ δὲ, πλοίων ἀποροῦντες, ἐξ ἀνάγκης κατέμειναν αὐτοῦ πόλιν σκιώνην οἰκήσαντες· ὁ πολίτης, σκιωναῖος, καὶ σκιωνεύς· ἔστι δὲ ὡς τὸ σινώπη, σινωπεύς·

Σ κόλις, ἀχαΐας πόλις· ὁ πολίτης, σκολιεύς, ὡς ῥιανὸς ἐν τετάρτῳ ἀχαϊκῶν·

Σ κορδίσκοι, καὶ σκίτιοι, ἔθνος παιονίας, ὡς φλέγων ἐν πεντεκαιδεκάτῃ ὀλυμπιάδι·

Σ κορπιανὸς, ἔθνος· ἡρόδοτος ἑβδόμῃ· ζυγιανός· ταυριανός· σκορπιανός·

Σ κότινα, τόπος ἐν λακεδαίμονι, ἐν ᾧ τιμᾶται ζεὺς σκοτινᾶς, ὡς παυσανίας δεκάτῳ. ἴουσι δὲ ἀπὸ τῶν δρόμων, ἔστι τόπος οὗτος δρυῶν πλήρης. ὄνομα δὲ τῷ χωρίῳ, σκοτινά. ὃ οὐ τὸ συνεχὲς τῶν δενδρῶν ἐποίησεν, ἀλλὰ ζεὺς ἐπίκλησιν σκοτιάς.

Σ κότουσα, πόλις καὶ χωρίον τῆς ἐν θετταλίᾳ πελασγίας. καὶ πληθυντικῶς σκότουσ. καὶ τὸ ἐθνικόν, σκοτουσσαῖος, καὶ σκοτουσσαία.

Σ κόπει, πόλις θράκης. λέανδρος ἐν ἱστορικῆς ἐπιτομῆς ὀγδόῳ. τὸ ἐθνικόν, σκοπηνοί.

Σ κύβρος, χωρίον μακεδονικόν, ὡς θεόπομπος. τὸ ἐθνικόν,, σκύβειος.

Σ κύδρα, μακεδονικὴ πόλις, ὡς θεαγένης ἐν μακεδονικῇ. τὸ ἐθνικόν, σκυδραῖος.

Σ κύθαι, ἔθνος θρᾴκιον. ἐκαλοῦντο δὲ πρότερον νομαῖοι. σκύθαι δέ, ἀπὸ Σκύθου παιδὸς ἡρακλέους. τινὲς δὲ ἀπὸ τοῦ σκύζεσθαι. ὀργιλώτατοι γάρ. σκυθία τίνων, καὶ σκύθαι, καὶ σκυθικοί. καὶ σκυθικὰ λέγεται, καὶ σκυθική. ἔστι καὶ ὑποδήματος εἶδος, ὡς περσικαί. καὶ σκυθίη. καὶ σκύθης ὅμιλος. καὶ σκύθην ἐς οἶμον. καὶ σκύθης, ὁ σίδηρος. ὅθεν ἀπὸ σκυθίσαι, τὸ τῷ σιδήρῳ τὰς τρίχας τεμεῖν. ἡ κλητική, ὦ σκύθα ἐχρῆν, ὡς πέρσα. ἔστι δὲ σκύθη. καὶ σκυθὶς τὸ θηλυκόν. καὶ σκύθαιναν, ὡς κυρίκαιναν. καὶ σκυθίζειν.

Σ κυθηνοί, ἔθνος οὐ πόῤῥω τῶν μακρώνων, ὡς ξενοφῶν ἀναβάσεως τετάρτῳ.

Σ κυθόπολις, παλαιστίνης πόλις, ἢ νύσσης κοίλης συρίας, σκυθῶν πόλις, πρότερον λεγομένων βαίσων ὑπὸ τῶν βαρβάρων. ὁ πολίτης, σκυθοπολίτης.

Σ κυλάκη, πόλις περὶ κύζικον. ἑκαταῖος ἀσίᾳ. ὁ πολίτης, σκυλακηνός, καὶ σκυλάκιος.

Σ κύλλαιον, ἄκρα, περὶ ἧς ἑκαταῖος ἐν εὐρώπῃ φησί. τὸ ἐθνικόν, σκυλλαῖος.

Σ κυλλήτιον, πόλις σικελίας, ὡς εὔδοξος ἕκτῃ. τὸ ἐθνικόν, σκυλλητηνοί. τὸ κτητικόν, σκυλλητικός.

Σ κυλλήτιον, ὄρος κρήτης. οἱ παροικοῦντες, σκυλλαῖοι. σκύλλιος γὰρ ὁ ζεὺς αὐτοῦ τιμᾶται, ἔνθα φασὶν ἀπελθεῖν τοὺς κουρῆτας μετὰ τῶν σπαργάνων τὸν δία.

Σ κυμνιάδαι, ἔθνος σὺν γέταις. εὔδοξος τετάρτῃ γῆς περιόδῳ. Σκυμνιάδαι, καὶ γέται.

Σ κύρμος, πόλις ἐν τῇ δολιονίδι, κυζίκου πλησίον. οἱ πολῖται,, σκύρμιοι.

Σ κύρος, νῆσος, περὶ ἧς νικόλαος ἐν πέμπτῳ. σκύρον δὲ τὸ μὲν παλαιὸν ᾤκουν πελασγοί τε καὶ κᾶρες. οἱ νησιῶται, σκύριοι, καὶ σκυρία.

Σ κυτόπολις, πόλις λιβύης, περὶ ἧς ὁ πολυΐστωρ ἐν λιβυκῶν τρίτῳ. τὸ ἐθνικόν, σκυτοπολίτης.

Σ κυφία, πολίχνιον κλαζομενίων, ὡς ἔφορος ἐν τρίτῳ. ἐν σκυφίᾳ κατῴκει. τινὲς δὲ διὰ τοῦ π.

Σ κῶλος, πόλις βοιωτίας. ἀρσενικῶς δέ, κώμη τίς. ὁ πολίτης, σκώλιος, καὶ σκωλιεύς.

Τὸ σίγμα μετὰ τοῦ μυ.

Σ μίλα, πόλις θράκης. ἑκαταῖος εὐρώπῃ. μετὰ δὲ σμίλα πόλις. τὸ ἐθνικόν, σμιλαῖος.

Σ μίνθη, πόλις τροίας. τὸ ἐθνικόν, σμινθαῖος, καὶ σμινθεύς. γράφεται δὲ καὶ διὰ τοῦ ε, καὶ διὰ τῆς αι διφθόγγου.

Σ μίνθιον, ἄλσος. στράβων τρισκαιδεκάτῃ. ὁ οἰκήτωρ, σμίνθιος. καὶ διὰ διφθόγγου, ὡς ἀχίλλειος. καὶ σμινθήϊον. καὶ θηλυκῶς, σμινθιὰς ἡ χώρα.

Σ μύρνα, πόλις ἰωνίας, ἣν πρώτην ἔκτισε καὶ ᾤκησε τάνταλος. καὶ τότε μὲν ναύλοχον, ὕστερον δὲ σμύρνα προσηγορεύθη, ἀπὸ Σμύρνης ἀμαζόνος κατασχούσης τὴν ἔφεσον. τὸ ἐθνικόν, σμυρναῖος. καὶ τὸ κτητικόν, σμυρναϊκὸς κόλπος.

Τὸ σίγμα μετὰ τοῦ ο μικροῦ.

Σ οανοί, ἔθνος ἀνδρεῖον, ὡς στράβων πεντεκαιδεκάτῃ. πλησίον δὲ καὶ οἱ σόανοι.

Σ ογδιανή, χωρίον περὶ τὴν βακτριανήν. ἧς οἱ οἰκήτορες σόγδιοι, καὶ σόγδοι.

Σ όδομα, μητρόπολις ἦν τῶν δέκα πόλεων τῶν ἐν τῇ ἀσφαλτίτιδι λίμνῃ καταστραφεισῶν. ὁ πολίτης, σοδομίτης.

Σ ολκοί, πόλις ἐν σαρδοῖ, ὡς ἀρτεμίδωρος ἐν ἐπιτομῇ. ἀπὸ δὲ καρβάλεως, ἐπὶ τοὺς σολκούς.

Σ όλλιον, κορίνθου πολίχνιον. θουκυδίδης δευτέρᾳ. τὸ ἐθνικόν, σολλιεύς, ὡς παρὰ κάλλιον, καλλιεύς, σούνιον, σουνιεύς, ἴλιον, ἰλιεύς.

Σ όλοι, κιλικίας πόλις, ἡ νῦν πομπηϊούπολις. ἑκαταῖος ἀσίᾳ. κέκληται δὲ ἀπὸ Σόλωνος, ὡς εὐφορίων ἐν ἀλε    ἀνεκτίσθη ὑπὸ Πομπηΐου, καὶ μετωνομάσθη πομπηϊούπολις. ὁ πολίτης, σολεύς, καὶ σόλιος. τὸ θηλυκόν, σολουντίς, ὡς ἀπὸ τοῦ σολοῦς, σολοῦντος. διονύσιος δ' ἐν τρίτῳ βασσαρικῶν σώλειαν λέγει διὰ τοῦ ω τὴν πρώτην, καὶ τὴν δευτέραν διὰ τῆς ει διφθόγγου.

Σ ολοῦς, πόλις κιλικίας, ὡς ἑκαταῖος ἐν εὐρώπῃ. ἐκλήθη δὲ ἀπὸ Σολοῦντος κακοξένου, ὃν ἀνεῖλεν ἡρακλῆς. ὁ πολίτης, σολούντιος, καὶ σολουντῖνος μετὰ τοῦ ν. καὶ σολουντινίς, καὶ σολουντιάς, καὶ σολουντίς.

Σ ολύγεια, κώμη κορίνθου, ὡς θουκυδίδης τετάρτῃ. τὸ ἐθνικόν,, ὤφειλεν εἶναι σολυγεύς. ἔστι δὲ κτητικὸν σολύγειος λόφος.

Σόλυμα,

Σ όλυμα, πόλις ἀσσυρίων μετὰ τὴν ἅλωσιν τοῦ ναοῦ τοῦ ἐν ἱεροσολύμοις κτισθεῖσα, ὡς Κουάδρατος ἐν ἐνάτῳ παρθικῶν. τὸ ἐθνικὸν, σολυμηνός.

Σ όλυμοι, οἱ νῦν πισίδαι· Σολύμους καλουμένους παρελθὼν μαυσώλου·

Σ ουάγελα, πόλις καρίας, ἔνθα ὁ τάφος ἦν τοῦ Καρὸς, ὡς δηλοῖ καὶ τοὔνομα. καλοῦσι γὰρ οἱ κᾶρες σοῦαν τὸν τάφον. γέλαν δὲ τὸν βασιλέα. ὁ πολίτης, σουαγελεύς.

Σ ουχαῖοι, ἔθνος μαυρούσιον, ὡς Δέξιππος χρονικῶν δεκάτῳ.

Σ ουμάτια, πόλις ἀρκαδίας, ἀπὸ Σουματέως τοῦ Λυκάονος ἑνὸς παίδων. γράφεται καὶ διὰ διφθόγγου σουμήτεια. τὸ ἐθνικὸν, τῷ πρωτοτύπῳ ὁμώνυμον.

Σ ούνιον, δῆμος λεοντίδος φυλῆς. Ὅμηρος δὲ ἄκρον καλεῖ, ἀλλ' ὅτε σούνιον ἄκρον. ὁ δημότης, σουνιεὺς, ὡς ἰλιεύς. τὰ τοπικὰ, σουνιόθεν, σουνιόνδε, σουνιοῖ. τὸ θηλυκὸν, σουνιάς.

Σ οῦρα, μαντεῖον λυκίας, περὶ οὗ Πολύχαρμός φησιν ἐν λυκιακοῖς, ὅτι πλησίον φρέαρ θαλάσσης τόπος σούριος καλούμενος. τὸ ἐθνικὸν, σουρηνὸς, ὡς καρηνός. ἔστι καὶ φοινίκης πόλις Σῶρα. τὸ ἐθνικὸν, σωρανὸς, ὡς νωλανός.

Σ οῦσα, πόλις ἐπίσημος περσική, Μέμνονος κτίσμα. κέκληται δὲ ἀπὸ τῶν κρίνων, ἃ πολλὰ ἐν τῇ χώρᾳ πέφυκεν ἐκείνῃ. σοῦσον γάρ τε αὐτὸ καλοῦσιν οἱ βάρβαροι. οἱ πολῖται, σούσιοι, οὓς καὶ κισσίους φησὶ κεκλῆσθαι, ἀπὸ Κισσίας τῆς μητρὸς Μέμνονος. καὶ σουσιανὴ ἡ χώρα. καὶ κώμη σουσιανή.

Σ ούζιον, πόλις, ἡ πρότερον τυρρηνῶν, ὕστερον δὲ ῥωμαίων. τὸ ἐθνικὸν, σουζηνός.

τὸ σίγμα μετὰ τοῦ πι.

Σ πάδα, οὐδετέρως κώμη περσική, ἐν ᾗ πρῶτον εὐνουχισμὸς γέγονεν. ὅθεν σπάδοι λέγονται. τὸ ἐθνικὸν, σπαδονεύς.

Σ πάρτακος, πόλις θράκης. Ἐρατοσθένης ἐν γαλατικῶν δευτέρῳ. τὸ ἐθνικὸν, σπαρτάκιος, ἢ σπάρτακος.

Σ παλέθρη, πόλις θεσσαλίας. Ἑλλάνικος δὲ σπάλαθρα αὐτήν φησι. τὸ ἐθνικὸν, σπαλαθραῖος.

Σ πάρτη, λακωνικὸν χωρίον, ἀπὸ τῶν μετὰ Κάδμου σπαρτῶν, περὶ ὧν Τιμαγόρας φησὶν, ἐκπεσόντας δι' αὐτοὺς εἰς τὴν λακωνικὴν, σπάρτην ἀφ' ἑαυτῶν ὀνομάσαι. τὸ ἐθνικὸν, σπαρτιάτης. τὸ θηλυκὸν, σπαρτιᾶτις, καὶ σπαρτιάς. τὸ κτητικὸν, σπαρτιατικός. τὰ τοπικὰ, ἐκ τόπου, σπάρτηθεν. εἰς τόπον, σπάρτηνδε. ἔστι καὶ Σπάρτων ὄρος, καὶ Σπάρτη κώμη πλησίον τοῦ εὐξείνου πόντου.

Σ πάρτωλος, πόλις μακεδονίας, ὡς Θουκυδίδης δευτέρᾳ. τὸ ἐθνικὸν, σπαρτώλιος.

Σ πασινοῦ χάραξ, πόλις ἐν τῇ μέσῃ τοῦ τίγρητος μεσήνης. ἡ δὲ τοῦ σπασίνου εὐθεῖα, σπασίνης ἐστί. τὸ ἐθνικὸν, σπασίνου χάρακος ῥητέον. εἰ δὲ τὸν συνήθη τύπον ἐκλάβωμεν, ἀνάγκη σπασινοχαρακηνὸς εἰπεῖν.

Σ πήλαιον, τὸ ἄντρον. οἱ οἰκοῦντες, σπηλαῖται. εἰσὶν οὖν ἀγάλματα Ἡρακλέους, Ἑρμοῦ, καὶ Ἀπόλλωνος σπηλαῖται καλούμενα.

Σ πῖνα, πόλις ἰταλίας, ὡς Εὔδοξος, καὶ Ἀρτεμίδωρος. τὸ ἐθνικὸν, σπινάτης, ὡς τοῦ βέμβινα, βεμβινάτης. ἔστι δὲ καὶ ποταμὸς Σπῖνος καλούμενος.

Σ πόργιλος, δῆμος ἀττικός. ὁ δημότης, σποργίλιος.

τὸ σίγμα μετὰ τοῦ ταῦ.

Σ τάγειρα, πόλις οὐδετέρως, πληθυντικῶς. ὁ πολίτης, σταγειρίτης. Ἀριστοτέλης σταγειρίτης.

Σ ταμήνη, πόλις χαλύβων. Ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, σταμηναῖος, καὶ σταμήνιος.

Σ τάσις, πόλις περσικὴ ἐπὶ πέτρης μεγάλης, ἣν εἶχεν Ἀντίοχος ὁ Σελεύκου. τὸ ἐθνικὸν, στασίτης. τῆς δὲ χώρας, στασηνός.

Σ τείρια, δῆμος ἀττικὸς πανδιονίδος φυλῆς, θηλυκῶς, καὶ οὐδετέρως. ὁ δημότης, στειριεὺς, στειριέως. καὶ κατὰ συναίρεσιν, στειριῶς. τὸ κτητικὸν, στειριακός. τὸ τοπικὸν, στειριάθεν, στειριάδε, στειριοῖ.

Σ τενύκληρος, πόλις μεσήνης. τὸ ἐθνικὸν, στενυκλάριος. τὸ θηλυκὸν, στενυκλαρία.

Σ τεφάνη, πόλις φωκίδος. τὸ ἐθνικὸν, στεφαναῖος.

Σ τεφανὶς, πόλις μαριανδυνῶν. Ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, στεφανίτης.

Σ τῆλαι, πόλις κρήτης, πλησίον Γαρασσοῦ, καὶ Ῥυθίμνης. τὸ ἐθνικὸν, στηλαῖος, ὡς λάμπη, λαμπαῖος. ἀλλὰ καὶ στηλίτης, ὡς παρὰ τὸ ἄγαλμα τὸν λίθον. ἀφ' οὗ καὶ στηλιτεύσω.

Σ τίλπαι, πόλις σικελίας. τὸ ἐθνικὸν, στιλπαῖος.

Σ τοῖαι, πόλις λιβύης, ὡς Ἑκαταῖος περιηγήσει αὐτῆς. τὸ ἐθνικὸν, στοιήτης.

Σ τοιχάδες, νῆσοι τρεῖς πρὸς τῇ μασσαλίᾳ. καλοῦνται δὲ καὶ λιγυστίδες.

Σ τοῖνος, πόλις λιγύρων. οἱ πολῖται, στοῖνοι.

Σ τρατία, βαρυτόνως ἀρκαδικὴ πόλις. Ὅμηρος, Ῥίπην τε, στρατίην τε, καὶ ἠνεμόεσσαν ἐνίσπην. ὠνόμασται δὲ ἀπὸ τῆς θυγατρὸς Φανέως. βαρυτονητέον δὲ τὰ ὀνόματα εἰς ἰδιότητα. στρατία δὲ σημαίνει ἡ στρατιά, τὴν πόλιν, καὶ τὸ σύστημα τοῦ στρατοῦ μετὰ τῆς αὐτῆς γραφῆς, ἀλλὰ τόνου διαφόρου. ὀξύνεται γὰρ τὸ δηλωτικὸν τοῦ συστήματος, τὸ τῆς πόλεως βαρυνομένου. τὸ ἀξίωμα ἡ στρατεία, καὶ διὰ διφθόγγου, καὶ βαρύνεται. τὸ ἐθνικὸν, στρατιεὺς, καὶ στρατιάτης.

Σ τράμβαι, πόλις θράκης. τὸ ἐθνικὸν, Στρα-

γεῖται στραμβαῖοι.

Σ τράτιον, πόλις ἀκαρνανίας. ὁ πολίτης, στρατιώτης, καὶ στράτιος.

Σ τρατονίκεια, πόλις μακεδονίας, πλησίον καρίας. κέκληται δὲ ἀπὸ Στρατονίκης τῆς Ἀντιόχου γυναικός. ὁ πολίτης, στρατονικεύς. ἐκτίσθη δὲ ὑπὸ Ἀδριανοῦ, καὶ ἀδριανούπολις ὠνομάσθη. ἔστι καὶ ἕτερον πολίχνιον πρὸς

Σ τράτος, πόλις ἀκαρνανίας, (τῷ ταύρῳ. θηλυκῶς, καὶ ἀρσενικῶς. ὁ πολίτης, στράτι·

Σ τρέψα, πόλις μακεδονίας. τὸ ἐθνικὸν, στρεψαῖος, καὶ στρεψιανός.

Σ τρῆνος, ἡρόδοτος ἑβδόμῃ, πόλις κρητική. τὸ ἐθνικὸν, στρήνιος, ὡς Φαιστὸς, Φαίστιος.

Σ τρόβος, πόλις μακεδονίας, ῥωμαίων ἄποικος. τὸ ἐθνικὸν, στροβαῖος.

Σ τρογγύλη, μία τῶν αἰόλου νήσων, ἀπὸ τοῦ σχήματος καλουμένη. καὶ Φλογὸς μὲν λειπομένη, Φέγγους δὲ μετέχουσα. τὸ ἐθνικὸν, στρογγυλαῖος, ὡς τῆς λιπάρας, λιπαραῖος. ἔστι καὶ ἄλλη πρὸς τῇ λύκτῳ. τὸ ἐθνικὸν, τῷ τῆς χώρας ἔθει, στρογγυλεύς.

Σ τρούθα, πόλις φρυγίας ἐν τοῖς ὅροις λυκαονίας. τὸ ἐθνικὸν, στρουθεύς.

Σ τρόπωλα, πόλις λυδίας. ξάνθος ἐν λυδιακῶν δευτέρῳ. τὸ ἐθνικὸν, στροπωλεύς.

Σ τροφάδες, νῆσοι πρὸς τῇ ζακύνθῳ δύο. τὸ ἐθνικὸν, στροφαδεύς.

Σ τρυβία, νῆσος τῶν σποράδων. τὸ ἐθνικὸν, στρυβιαῖος.

Σ τρύμη, πόλις θρᾴκης, ὡς ἀνδροτίων ἑβδόμῳ. τὸ ἐθνικὸν, στρυμηνὸς, καὶ στρυμήσιος, καὶ στρυμαῖος. καὶ τὸ κτητικὸν, στρυμαϊκός.

Σ τρυμὼν, ποταμὸς ἀμφιπόλεως, ἀφ' οὗ ὁ βορρᾶς. Στρυμονίου βορέαο. οἱ οἰκοῦντες, στρυμόνιοι. οὗτοι διαβάντες εἰς τὴν ἀσίαν, βιθυνοὶ ἐκλήθησαν. καὶ ἀπὸ τῆς στρυμόνος γενικῆς, τὸ θηλυκὸν, στρυμονίς. καὶ στρυμονία ἡ γῆ.

Σ τρών, πόλις λιβύης, ὡς ἑκαταῖος ἀσίας περιηγήσει. τὸ ἐθνικὸν, στρωαῖος, ἢ στρωΐτης.

Σ τύελλα, φρούριον τὸ ἐν σικελίᾳ μεγαρείδος. τὸ ἐθνικὸν, στυελλῖνος, ὡς ἐντελλῖνος.

Σ τυλλάγιον, πόλις τριφυλίας. τὸ ἐθνικὸν, στυλλάγιος, καὶ στυλλαγιεύς.

Σ τύμφαλος, πόλις ἀρκαδίας, καὶ πεδίον ὁμώνυμον, καὶ πηγή. ἡ πόλις ἀρσενικῶς, καὶ θηλυκῶς. τὸ ἐθνικὸν, στυμφάλιος, καὶ στυμφαλία Ἄρτεμις, καὶ λίμνη, καὶ γυνή.

Σ τύρα, πλησίον καρύστου, τῆς εὐβοίας πόλις. ὁ πολίτης, στυρεύς.

Σ τυράκιον, ὄρος κρήτης. οἱ ἐνοικοῦντες, στυρακῖται. στυρακίτης γὰρ Ἀπόλλων.

Σ τῶλος, πόλις μία τῶν ἐν θρᾴκῃ βαρβαρικῶν, ἃς μετῴκισαν ἐκ τῶν ἠδωνῶν οἱ χαλκιδεῖς εἰς τὰς αὐτῶν πόλεις. τὸ ἐθνικὸν, στώλιος.



Σ ύαγρα, χωρίον κιλικίας, πλησίον Ἀδου, καὶ Λαδάρου. τὸ ἐθνικὸν, συαγρεύς.

Σ ύαλις, πόλις μασυανῶν. τὸ ἐθνικὸν, συαλίτης. τῷ κοινῷ λόγῳ δύναται καὶ συαλεύς.

Σ ύασσος, κώμη φρυγίας. ἐν ταύτῃ τῇ κώμῃ φασὶ κιμμερίους εὑρεῖν ἐν σιροῖς τεθησαυρισμένας μυριάδας πυρῶν, ἀφ' ὧν αὐτοὺς ἐπὶ πολὺν χρόνον διατραφῆναι. τὸ ἐθνικὸν, συασσεὺς διὰ τὸν εἰθισμένον τῇ χώρᾳ χα-

Σ ύβαρις, πόλις ἰταλίας, καὶ (ρακτῆρα. ποταμός. ἡ δὲ πόλις ὕστερον ὠνομάσθη θούριον. ἥλω δὲ ὑπὸ κροτωνιατῶν χρησμοῦ δοθέντος αὐτοῖς, Εὐδαιμον συβαρῖτα πανευδαίμον, σὺ μὲν αἰεὶ ἐν θαλίῃσι θεῶν τιμῶν γένος αἰὲν ἐόντων, εὖτ' ἂν δὴ πρότερον θνητὸν θεοῦ σεβίζῃς, τηνίκα σοι πόλεμός τε καὶ ἔμφυλιος στάσις ἥξει. ἐγένετο δ' αὐτῶν ὄλεθρος κατὰ τὸ μαντεῖον οὕτω. τῶν συβαριτῶν τις οἰκέτην ἐμαστίγου ἐν ἀγρῷ. τοῦ δὲ καταφυγόντος ἐπὶ τὸν θεὸν, ὁ δεσπότης ἐπέμενε παίων. ὁ δὲ παῖς ἐπεὶ οὐδὲν ὠφέλει, εὐθέως ἐπὶ τὴν στήλην τοῦ πατρὸς καταντήσας, ἔτυχεν αἰδοῦς. καὶ εὐθὺς ἀπεστράφη τὸ ἄγαλμα τῆς ἥρας. ὁ πολίτης, συβαρίτης. καὶ θηλυκὸν, συβαρῖτις. καὶ συβαριτικὸς, καὶ συβαριτικὴ συμφορά.

Σ ύβδρος, πόλις ἰλλυρίδος. τὸ ἐθνικὸν, συβέριος, καὶ συβδρεὺς, καὶ συβδρείτης.

Σ ύβοτα, νῆσος, καὶ λιμήν. ὁ νησιώτης, συβότι·

Σ υβρίδαι, δῆμος τῆς ἐρεχθηΐδος φυλῆς. ὁ δημότης, συβρίδης. τὰ τοπικὰ, ἐκ συβριδῶν, ἐν συβριδῶν.

Σ ύεδρα, πόλις ἰσαυρίας, ὡς καπίτων ἐν ἰσαυρικῶν τρίτῳ. ὁ πολίτης, συεδρεύς.

Σ ύεασσα, καλύβη τις ἐν λυκίᾳ, ἀπὸ Συεάσσης γραός τινος ὑποδεξαμένης τὴν λητώ. τὸ ἐθνικὸν, συεασσαῖος, καὶ συεασσεύς. καὶ σύεσσα πόλις τυρρηνῶν. τὸ ἐθνικὸν, συεσσηνός.

Σ υήνη, πόλις αἰγύπτου, καὶ αἰθιοπίας, ἐπὶ τῷ νείλῳ. μεθ' ἣν ὠνόμασται σῖρις ὁ ποταμός. μέμνηται τῆς πόλεως παυσανίας. κέκληται δὲ ἀπὸ Συήνου Δαέρου παιδός. ὁ πολίτης, συηνίτης. τὸ κτητικὸν, συηνιτικόν.

Σ υΐα, πόλις μικρὰ κρήτης, ἐπίνειον οὖσα τῆς ἐλύρου. ὁ πολίτης, συϊάτης, καὶ συϊεύς.

Σ υΐς, πόλις αἰγύπτου, ὡς ἑκαταῖος ἐν τῇ αὐτοῦ περιηγήσει. καὶ νόμος συΐτης.

Σ υκαὶ, πόλις ἀντικρὺ τῆς νέας ῥώμης, ἡ καθ' ἡμᾶς ἰουστινιαναὶ προσαγορευθεῖσα. στράβων ἑνικῶς αὐτὴν λέγει συκήν. οἰκειότερον δὲ ὡς λέγονται συκαὶ καλοῖντ' ἄν. οἱ τόποι γὰρ ἀπὸ τῶν ἐν αὐτοῖς ὄντων ὀνομάζονται, κυπάρισσος, ἐλαία. καὶ τύπῳ περιεκτικῶν, σικυὼν,

κυῶν, μαραθῶν. καὶ εἰς ους, δαφνοῦς, κερασοῦς, φηγοῦς, μυῤῥινοῦς, ἀχερδοῦς, ἀγνοῦς, σελινοῦς. ἡ πόλις αὕτη παρὰ τὸ γενικὸν ἀνθεῖν, ἀνθοῦσα. οὐδὲν τῶν κτιστῶν εἰς η λήγει· συκῆ, ἀλλ' ἐχρῆν ἢ συκαῖς, ἢ συκένη, ἢ συκοῦντα, ἢ συκοῦνα καλεῖσθαι. καὶ ἄλλη συκῆ πλησίον συρακουσῶν, καὶ κιλικίας. ἔστι καὶ ἑτέρα ἀλεξανδρείας. φασὶν ἕνα τῶν τιτάνων Συκέα διωκόμενον τὴν μητέρα γῆν ὑποδέξασθαι, καὶ ἀνεῖναι τὸ φυτὸν τοῦτο. ὁ πολίτης, ὤφειλε συκαῖος· ἔστι δὲ ναῦ συκαΐτης, ἅπερ ἐστὶν ἀπὸ τοῦ συκαῖος, ὡς θηβαῖος, θηβαΐτης.

Συκάμινον, πόλις φοινίκης. τὸ ἐθνικὸν, συκαμινίτης.

Σύλκοι, πόλις ἐν σαρδοῖ, καρχηδονίων κτίσμα.

Σύλειον, πόλις Φρυγίας κατὰ τῆς εἴδι Φθόνσ. τινὲς δὲ παμφυλίας. τὸ ἐθνικὸν, συλειεύς.

Συλίονες, ἔθνος χαονίας, ὡς ῥιανὸς ἐν τετάρτῳ θεσσαλικῶν. συλίονές θ' ἕσπονθ' ὁμοῦ.

Σύμαιθα, πόλις θετταλίας. ὁ πολίτης, συμαιθεὺς, ὡς θεόπομπος φιλιππικῶν εἰκοστῷ δευτέρῳ.

Σύβρα, οὐδετέρως Φρυγίας φρούριον, ὡς καπίτων ἐν ἰσαυρικῶν δευτέρῳ. τὸ ἐθνικὸν, συβρειανός.

Σύμη, νῆσος καρική, ὡς στράβων τεσσαρεσκαιδεκάτῃ. καὶ πόλις ὁμώνυμος. ὠνόμασται δὲ ἀπὸ Σύμης τῆς Ἰαλύσου. καὶ πρότερον μὲν ἐκαλεῖτο μεταποντὶς, εἶτα αἴγλη. τὸ ἐθνικὸν, συμαῖος, ὡς κυμαῖος, δυμαῖος. λέγεται καὶ συμεύς.

Σύναγγος. ἡρωδιανὸς ἕκτῳ φησὶ, Σύναγγος πόλις Φοινίκων. τὸ ἐθνικὸν, συνάγγιος, ὡς σίγγιος.

Σύνδικος, πόλις προσεχὴς τῇ σκυθίᾳ, ἔχουσα λιμένα. ἔνιοι δὲ γοργίππην καλοῦσι.

Σύνναδα, πόλις Φρυγίας. καὶ δοκίμεια κώμη ἐπέκεινα αὐτῆς. οἱ δ' ἐπιχώριοι δοκιμίτην, καὶ δοκιμαίαν. λέγουσι δὲ Ἀκάμαντα μετὰ τὰ τρωϊκὰ ἀποπλανηθέντα, ἐλθεῖν εἰς Φρυγίαν, καὶ καταλαβεῖν πολιορκούμενον τὸν τῶν τόπων δυνάστην, καὶ βοηθήσαντα αὐτῷ λαβεῖν χώραν, καὶ κτίσαι πόλιν. συναθροίσαντα δὲ πολλοὺς οἰκήτορας τῶν ἀπὸ τῆς ἑλλάδος μακεδόνων κατὰ τὴν ἀσίαν, τὸ μὲν πρῶτον αὐτὴν ἀπὸ τῆς συναγωγῆς καὶ συνοικήσεως συνναΐα προσαγορευθῆναι. μετὰ δὲ ταῦτα παρεφθαρμένως ἀπὸ τῶν πλησιοχώρων σύνναδα κληθῆναι. ὁ πολίτης, συνναδεύς. οὕτω γὰρ καὶ ἐπὶ τοῦ παρόντος λέγεται.

Συπαληττός, δῆμος τῆς κεκροπίδος φυλῆς. ὁ δημότης, συπαλήττιος. ἐκ τόπου, συπαληττόθεν. συπαληττόνδε. ἐν τόπῳ, συπαληττοῖ.

Συρακοῦσαι, πόλις σικελίας μεγίστη, ὡς ἑκαταῖος εὐρώπῃ. κτίσμα Ἀρχίου κορινθίου, ἄποικος τῆς ἐν σικελίᾳ, καὶ ναξῷ ὁμόχρονος. φασὶ δὲ Μίσκελλον τὸν κρότωνος οἰκιστὴν, καὶ τὸν ταύτης Ἀρχίαν πυθοῖ χρηστηριαζομένους, ἐρωτηθῆναι ἐκ τῆς Πυθίας, πότερον βούλονται πλοῦτον ἔχειν, ἢ ὑγίειαν. καὶ Μίσκελλον μὲν ὑγιαίνειν, Ἀρχίαν δὲ πλουτεῖν εἰπεῖν. καὶ τῷ μὲν, δοῦναι κτίσαι συρακούσας. τῷ δὲ, κρότωνα. καὶ συμβῆναι τοὺς κροτωνιάτας ὑγιεινὴν οἰκῆσαι τὴν πόλιν, καὶ ἀθλητὰς εἶναι. συρακουσίους δὲ πλουτεῖν ἐπὶ τοσοῦτον, ὡς καὶ παροιμίαν ἐκπεσεῖν ἐπὶ τῶν εὐτελῶν, τὴν, οὐκ ἂν γένοιτο αὐτὸς συρακουσίων δεκάτη. τὸ ἐθνικὸν, συρακούσιος, καὶ συρακουσία τὸ θηλυκόν. καὶ λίμνη, ἥ τις καλεῖται συρακώ. καὶ συρακοσιεύς.

Συρβανὴ, νῆσος ἐν τῷ εὐφράτῃ, ὡς κουαδράτος ἐν ἐνάτῳ παρθικῶν. τὸ ἐθνικὸν, συρβανός.

Σύρινθος, πόλις κρήτης. τὸ ἐθνικὸν, συρίνθιος, ὡς ὀλύνθιος. τὸ θηλυκὸν, συρινθία.

Συρμαῖον, πεδίον μεταξὺ νομάδων τε καὶ ναβαταίων. τὸ ἐθνικὸν, συρμαῖος.

Συρμάται, οἱ σαυρομάται, ὡς εὔδοξος πρώτῳ, ποταμὸν τοῦ ταναΐδος συρμάτας κατοικεῖν.

Σύρνα, πόλις καρίας. ἔκτισται δὲ ὑπὸ Ποδαλειρίου. ἐκπεσόντα γὰρ αὐτὸν εἰς καρίαν, σωθῆναι ὑπό τινος αἰγοβοσκοῦ, καὶ ἀχθῆναι πρὸς Δαμαιθὸν καρίας βασιλέα, οὗ τὴν θυγατέρα Σύρναν πεσοῦσαν ἀπὸ τοῦ τέγους, ὑπ' αὐτοῦ θεραπευθῆναι. φασὶ δὲ οὕτως, ἀθυμοῦντος τοῦ Δαμαιθοῦ, τὸν Ποδαλείριον ἀφ' ἑκατέρου τῶν βραχιόνων αἷμα ἀφελόντα, σῶσαι τὴν παῖδα. τὸν δὲ, θαυμάσαντα, συνοικίσαι αὐτῷ τὴν παῖδα, καὶ δοῦναι τὴν χεῤῥόνησον, ἐν ᾗ δύο πόλεις κτίσαντα, τὴν μὲν, ἀπὸ γυναικὸς, σύρνον. τὴν δ' ἑτέραν, ἀπὸ τοῦ σώσαντος νομέως. τὸ ἐθνικὸν, σύρνιοι. τὸ θηλυκὸν, συρνιάς.

Σύροι, κοινὸν ὄνομα πολλῶν ἐθνῶν. λέγονται καὶ λευκόσυροι. στράβων ἑκκαιδεκάτῃ. δοκεῖ δὲ ἀπὸ τῶν σύρων τὸ ὄνομα διατείνειν μέχρι τοῦ ἰσσικοῦ κόλπου. ἀπὸ δὲ τούτου, μέχρι τοῦ εὐξείνου κόλπου. ἤγουν καππάδοκες ἀμφότεροι, οἵ τε πρὸς τῷ ταύρῳ, οἵ τε πρὸς τῷ πόντῳ μέχρι νῦν λευκόσυροι καλοῦνται. τὸ κτητικὸν, συρικός.

Σύρος, νῆσος ἰωνική, ὡς στράβων δυοκαιδεκάτῃ. τὸ υ, μακρόν. τὸ ἐθνικὸν, σύριος. νῆσος ἀκαρνανίας.

Συρέντιον, πόλις τυῤῥηνίας, καὶ συρκεντόν. τὸ ἐθνικὸν, συρέντιος.

Συώποι, ἔθνος προσεχὲς τοῖς λιβυρνοῖς, ὡς ἑκαταῖος εὐρώπῃ.

Σ Σφακτηρία, οὐδετέρως. ἔστι δὲ μεθόριον Ἠλείων τῶν πρὸς Μεσσηνίαν χώρας. κέκληται δὲ οὕτως ὥς φησιν Ἐχεφυλίδης, διὰ τὸ ἐν αὐτῷ σφαγιαζομένους τοὺς Ἡρακλείδας, πρὸς ὃ ξύλον ποιήσασθαι συνθήκας περὶ φιλίας, καὶ ὁμονοίας. ἔστι καὶ νῆσος Σφακτηρία, ἧς μνημονεύει Παυσανίας ἐν τῇ περιηγήσει Ἑλλάδος. ἐκαλεῖτο καὶ Σφαγία, ὡς Φαβωρῖνος. ἔστι καὶ Σφαγίτης ἄκρα Σκυθίας. τὸ ἐθνικόν, ἀπὸ τῆς ἀναλογίας Σφακτηριεύς, καὶ Σφακτηριώτης. καὶ τοῦ Σφαγία, Σφαγιεύς, ὡς τοῦ Ὑρία, Ὑριεύς.

Σ Σφενδάλη, δῆμος Ἱπποθοωντίδος φυλῆς. ὁ δημότης, Σφενδαλεύς. τὰ τοπικά, Σφενδαλῆθεν, Σφενδαλήνδε, Σφενδαλῆσι.

Σ Σφήκεια, πόλις Εὐβοίας. Λυκόφρων, οἳ πέντε που Σφήκειαν εἰς Κεραστίδα. οὕτω δὲ ἡ Κύπρος ἐκαλεῖτο. τὸ ἐθνικόν, Σφῆκες. Σφήκειαν δὲ Κεράστειαν τὴν Κύπρον.

Σ Σφηττός, δῆμος Ἀκαμαντίδος φυλῆς. ὁ δημότης, Σφήττιος. τὰ τοπικά, Σφηττόθεν, Σφηττόνδε, Σφηττοῖ. ὁ δῆμος καλεῖται ἀπὸ Σφήττου τοῦ Τροιζῆνος παιδός.

Τὸ σίγμα μετὰ τοῦ χι.

Σ Σχερία, ἡ Φαιακία. κέκληται δέ, Ἀριστοτέλης φησίν, ἀπὸ τοῦ τὴν Δήμητραν φοβουμένην, μὴ οἱ ἐκ τῆς ἠπείρου ἐπιχεόμενοι ποταμοὶ ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι τοῦ Ποσειδῶνος ἀποστρέψαι τὰ τῶν ποταμῶν ῥεύματα. ἐπισχεθέντων οὖν τούτων, ἀντὶ Δρεπάνης Σχερίαν αὐτὴν κληθῆναι. τὸ ἐθνικόν, Σχεριεύς. οἱ ἐνοικοῦντες, Σχέριοι, ἤτοι Φαίακες.

Σ Σχινοῦσσα, ὡς Ῥοδοῦσσα, Φοινικὴ νῆσος. τὸ ἐθνικόν, Σχινούσιος, καὶ Σχινουσσαῖος.

Σ Σχοινοῦς, Ἀρκαδίας χωρίον, ἀπὸ Σχοινέως τοῦ Ἀταλάντης πατρός. ἑλώδης δὲ ὢν ὁ τόπος, ἀπὸ τῶν ἐν αὐτῷ σχοίνων τὴν προσηγορίαν εἴληφεν, ὥσπερ καὶ τῶν δήμων ἀπὸ τῶν ἐν αὐτῇ φυομένων, Ῥαμνοῦς, Φηγοῦς, Μυρρινοῦς, Μαραθοῦς. ὁ τὸ χωρίον οἰκῶν, Σχοινούντιος, ὡς Σελινούντιος. καὶ Σχοινεὺς ποταμός, ἀπὸ Σχοινέως τοῦ Ἀθάμαντος. Τρύφων ἐν τῷ περὶ παρωνύμων ὧδέ φησι, τὰ εἰς ευς λήγοντα παρώνυμα, οὐδέποτε τῇ γενικῇ τοῦ πρωτοτύπου μιᾷ πλεονάζει. ὁ γοῦν Φωκεύς, οὐ παρὰ τὸν Φωκὸν γέγονε, παρὰ μέντοι τὴν Φώκαιαν. καὶ ὁ παρὰ Καλλιμάχῳ Ἐλλοπιεύς, ἀπὸ τῆς Ἐλλοπίας, οὐ παρὰ τὸν Ἔλλοπα. ὁ δὲ παραῤῥέων τὸν Σχοῖνον ποταμός, Σχοινεὺς καλεῖται, ἤτοι παρὰ τοὺς σχοίνους, ἢ παρὰ τὸν Σχοινέα τὸν τῆς Ἀταλάντης πατέρα. ὁ πολίτης μέντοι Σχοινιεύς. ὁ γοῦν ποταμὸς καὶ ὁ οἰκιστής, Σχοινεύς, ὡς Ταρσοῦ, Ταρσεύς. ἐκ τόπου, Σχοινόθεν.

Τὸ σίγμα μετὰ τοῦ ω μεγάλου.

Σ Σώβαλα, πόλις Καρίας, οὐδετέρως. τὸ ἐθνικόν, Σωβαλεύς.

Σ Σώζουσα, πόλις τρεῖς, Φοινίκης, Πισιδίας, Αἰθιοπίας.

Σ Σώλιμνα, πόλις Ἰνδίας, ὡς Ἡρωδιανὸς ἐν ἑνδεκάτῳ. τὸ ἐθνικόν, Σωλιμναῖος.

Σ Σωσάνδρα, νῆσος περὶ Κρήτην. ἐκλήθη δέ, ἐπειδή ποτε τῶν λῃστῶν νύκτωρ ἐπελθόντων τῇ πόλει διασῶσαι λέγεται τοὺς εἰς ἑαυτήν. ὁ νησιώτης, Σωσάνδριος.

Σ Σωφηνή, χώρα τῶν πρὸς Ἀρμενίαν, ὡς Στράβων ἑνδεκάτῃ. παρὰ δὲ Ἀῤῥιανῷ, Σωφανίνη τετρασυλλάβως. οἱ κατοικοῦντες, Σωφηνοί. φησὶ γὰρ Στράβων ἐν τῇ εἰρημένῃ, Σωφηνὸς Ἀρσάκης ἔχων τὰ νότια μέρη. ἀντίκειται δὲ ταύτῃ ἡ Κομμαγηνή, ὅμορος οὖσα τῇ Μελιτηνῇ.

Σ Σώτειρα, πόλις Ἀρειανῶν, Ἀντιόχου κτίσμα τοῦ Σελεύκου. τὸ ἐθνικόν, διὰ τὴν χώραν, Σωτειρηνός.

## ΑΡΧΗ ΤΟΥ ΤΑΥ ΣΤΟΙΧΕΙΟΥ.

Τὸ ταῦ μετὰ τοῦ ἄλφα.

Τ Ἄβαι, πόλις Λυδίας, περὶ ὧν ὁ χρησμός φησι πρὸς Πισίδας, ἄστυ Τάβων περικυδὲς ἐλεύθερον οἰκίζεσθαι. καὶ Ἀπολλώνιος ἐννάτῳ, ἐδεήθησαν ὅπως αὐτοὺς εἰς Τάβας καταγάγωσι. βαρύνεται δὲ ὡς Θῆβαι, κύριον, καὶ ἰαμβικόν. ἐκλήθη δὲ ἀπὸ Τάβου. ὁ δὲ Τάβος, ἥρως. οἱ δέ φασι τὸν Κιβύραν, καὶ Μαρσύαν ἀδελφούς, τὸν μὲν, κτίσαι Κιβύραν πόλιν, τὸν δὲ, Τάβας. καὶ καλέσαι ἀπὸ τοῦ ἐπὶ πέτρας οἰκεῖσθαι. τάβαν γὰρ τὴν πέτραν Ἕλληνες ἑρμηνεύουσιν. ἔνιοι ἀπὸ Ταβηνοῦ Ἀργείου. ὁ πολίτης, Ταβηνός. Ἡσίοδος παρ' Ἱπποδάμοισι γερηνοῖς. ἔστι καὶ ἄλλη πόλις Καρίας Τάβαι. καὶ τρίτη τῆς Περαίας, ἣν Ἀλέξανδρος ἐν τῷ περὶ Συρίας ἑρμηνεύει ἀγαθήν.

Τ Ταβηνοί, ἔθνος κατὰ τὴν ἔρημον Καρμανίας οἰκοῦντες.

Τ Τάβιοι, πόλις Ἰταλίας, ἐν ᾗ οἱ περὶ Ῥέμον ἐπαιδεύθησαν. τὸ ἐθνικόν, ὁμοίως Τάβιοι, διὰ τὴν πρόληψιν τοῦ ἐν τῷ πρωτοτύπῳ ἐθνικοῦ χαρακτῆρος.

Τ Τάβις, πόλις Ἀραβίας. Ἑκαταῖος περιηγήσει Αἰγύπτου. ὁ πολίτης, Ταβηνός.

Τάβαθρα,

T ἄβαβρα, πόλις λιβύης· πολ δυοκαιδεκά τῳ· τὸ ἐθνικὸν, ταβαβρηνὸς διὰ τὴν χώραν.

T ἄϊννοι, ἔθνος ἀπὸ τῶν σαρακηνῶν πρὸς μεσημβρίαν, ὡς οὐλπιανὸς ἐν ἀραβικοῖς, καὶ οὐράνιος ἐν ἀραβικῶν δευτέρῳ.

T αίναρος, πόλις, ἀπὸ ταινάρου τοῦ γεραιστοῦ μὲν ἀδελφοῦ, διὸς δὲ παιδός· ὃς πλέων σὺν καλάβρῳ τῷ ἀδελφῷ, καὶ τόπον τῆς πελοποννήσου καταλαβὼν τινὰ, ποσειδῶνος ἱερὸν ἱδρύσατο, ὃ καλεῖται ταίναρον· ἔστι καὶ ταίναρος ὁ ἰκαρίου υἱὸς, ἀφ' οὗ καλεῖται ἡ ἄκρα, καὶ ἡ πόλις, καὶ ὁ λιμήν· λέγεται δὲ ἀρσενικῶς, καὶ θηλυκῶς. λέγεται καὶ ταινάριος, καὶ ταιναρία, καὶ ταινάριον· εἰσὶ δὲ καὶ ταινάριοι θῆβαι, ὡς χάραξ ἑλληνικῶν δευτέρῳ· λέγεται καὶ ταιναρίζειν, ὡς Ἑρμιππος θεοῖς, καὶ σε τί χρὴ παραταιναρίζειν· ὦρος δέ φησιν ἐν τῇ ὀρθογραφίᾳ, ταίναρον πεδίον τῆς λακωνικῆς, καὶ ταινάριται οἱ ἐν αὐτῷ.

T ἀκόμψος, κώμη ἐν τοῖς ὁρίοις αἰγυπτίων, καὶ αἰθιόπων, πρὸς τῇ φιλίᾳ νήσῳ, ὡς ἀρισταγόρας ἐν αἰγυπτιακῶν πρώτῳ· τὸ ἐθνικὸν, ταχομψίτης, ὡς κάνωβος, κανωβίτης, πεντάσχοινος, πεντασχοινίτης.

T αλαρία, πόλις συρακουσίων· θεόπομπος ἐν φιλιππικῶν τεσσαρακοστῷ· τὸ ἐθνικὸν, ταλαρῖνος, ὡς τῆς πανδοσίας, πανδοσῖνος, καὶ πλακεντῖνος, σικελικῶς καὶ γὰρ ἀμφότερα.

T αμάσσος, πόλις κύπρου, διάφορον ἔχουσα χαλκὸν ἐν μεσογείᾳ· τὸ ἐθνικὸν, ταμασίτης, καὶ ταμάσιος, ὡς ἐφέσιος, θάσιος· ἐντεῦθεν τινὲς γράφουσιν ἐς ταμέσην μετὰ χαλκὸν, ἀπιθάνως. ἔστι γὰρ καὶ ταμέση πόλις ἰταλίας, καὶ ποταμός· πολύβιος δ' ἐν τῷ πρώτῳ τεμεσίαν τὴν πόλιν καλεῖ· τὸ ταύτης ἐθνικὸν, τεμεσαῖος.

T ἄμβραξ, πόλις παρθυαίων· τὸ ἐθνικὸν, ταμβράκιος· διὰ δὲ τὴν χώραν, ταμβρακηνός.

T αμιεῖον, οἶκος, ἐν ᾧ τὰ ἀναγκαῖα ἀποτίθεσθαι, ὡς ἀριστοφάνης, καὶ ἰπνὸς, καὶ ἄλλοι· φρύνιχος δὲ ἐν σοφιστικῇ παρασκευῇ, καὶ ἐπὶ τῶν κακῶν φησι τὸ ταμιεῖον· εἴρηται δὲ παρὰ τὸν ταμίαν· ὁ δὲ τοῦ ταμίου οἰκήτωρ, ταμιεύς.

T ἄμνα, πόλις ἀραβική, ὡς ἀλέξανδρος ὁ πολυΐστωρ· ὁ πολίτης, ταμνίτης.

T ἄμυνα, πόλις ἰβηρίας. στράβων δεκάτῃ· καὶ πληθυντικῶς, εἰς τὰς ταμύνας· τὸ ἐθνικὸν, ταμυνεύς· καὶ θηλυκῶς, ταμυνηΐς· ἐξ αὐτοῦ λέγεται καὶ ταμυναῖος· οὕτω γὰρ ὁ ζεὺς ἐν αὐτῇ τιμᾶται· παυσανίας ἐνδεκάτῳ περιηγήσεως.

T αμυράκη, πόλις σαρματίας τῆς ἐν εὐρώπῃ· τὸ ἐθνικὸν, ταμυρακηνός.

T αμίαθις, πόλις αἰγύπτου· λέγεται καὶ θηλυκῶς· ἡ γενική, ταμιάθεως· οὕτω γεώργιος ὁ χοιροβοσκὸς ἐν τῷ ὀνομαστικῷ.

T άναγρα, πόλις βοιωτίας, ἣν ὅμηρος γραῖαν καλεῖ, διὰ τὸ πλησίον εἶναι. ἐκαλεῖτο δὲ πρότερον ποιμανδρία· λυκόφρων, ἣν ἐς βαθεῖαν λαιμίσας ποιμανδρίαν· τὴν δὲ γραῖαν ἔνιοι λέγουσι, τὸ νῦν τῆς θηβαΐκῆς καλούμενον ἔδος· τινὲς δὲ τὴν ταναγραίαν· ὧν, εἷς ἐστι καὶ καλλίμαχος· ἀριστοτέλης δὲ γραῖαν τὴν νῦν ὠρωπόν· ἔστι δὲ ὁ τόπος τῆς τῶν ὠρωπίων πόλεως πρὸς τῇ θαλάττῃ· ὁ πολίτης, ταναγραῖος, καὶ ταναγρὶς, ἀπὸ τοῦ τάναγρα καὶ τὸ ταναγραῖον, καὶ ταναγρική· ἡρόδοτος πέμπτῃ, ταναγρικὴ μοῖρα· καὶ μένανδρος, ταναγρικὴ γυνή.

T αναΐς, πόλις ὁμώνυμος τῷ ποταμῷ· στράβων ἑβδόμῃ, ὡς ἀλέξανδρος ὁ πολυΐστωρ· κατὰ δὲ τὰς εἰς τὴν λίμνην τὴν μαιῶτιν ἐκβολὰς τοῦ ταναΐδος, πόλις ἑλληνικὴ ἔκτισται τανάϊς, ἥτις ἐστὶν ἐμπόριον ὀνομάζεται· ὁ πολίτης, ταναΐτης· καὶ θηλυκῶς, ταναΐτις· τινὲς δὲ καὶ τὸν ποταμὸν ἀκεσίνην εἶναι, καὶ ἰαξάρτην· ἑλληνίζουσι δὲ τὰ πολλὰ τῶν βαρβαρικῶν ὀνομάτων, ὡς νικάνωρ φησί.

T αὖις, πόλις μεγάλη αἰγύπτου· ὁ πολίτης, ταυίτης· τὸ ἐθνικὸν, τὸ αὐτό.

T άνος, πόλις κρήτης, ὡς ἀρτεμίδωρος ἐν τετάρτῳ γεωγραφουμένων· τὸ ἐθνικὸν, τάνιος.

T άνταλος, ὄρος λέσβου, ἀπὸ ταντάλου· τὸ ἐθνικὸν, ταντάλιος, ὡς φαρσάλιος.

T αξίανα, νῆσος περὶ τὸν πηλώδη κόλπον τῆς σουσίας νήσου· τὸ ἐθνικὸν, ταξιανδεύς, ὡς ἀδανεύς· τῷ τύπῳ τῆς χώρας ταξιανὴ νῆσος.

T άξιλα, πόλις ἰνδική· στράβων πεντεκαιδεκάτῃ· τὸ ἐθνικὸν, ταξιλίτης τῷ τῆς χώρας τύπῳ, καὶ ταξιληνός. οἱ δὲ παρ' ἡμῖν, ταξιλεύς.

T άοχοι, ἔθνος ἐνδοτέρω τοῦ πόντου· καὶ ἡ χώρα οὕτω· τούτους τινὲς τάους καλοῦσιν, ὡς σοφαίνετος ἐν τῇ ἀναβάσει φησί.

T αποσειρις, πόλις αἰγύπτου, πλησίον ἀλεξανδρείας· ὁ πολίτης, ταποσειρίτης.

T απροβανη, νῆσος μεγίστη ἐν τῇ ἰνδικῇ θαλάσσῃ· ἀλέξανδρος ὁ καὶ λύχνος, νῆσος τετράπλευρος, ἁλιστέφανος ταπροβάνη, θηρονόμων πεπληθὲν εὐρεῖνων ἐλεφάντων· ἡ πάλαι μὲν ἐκαλεῖτο σιμούνδου, νῦν δὲ σαλική, ἧς τὸ μῆκος οὔσης ἑπτάκις που χιλίων σταδίων, πλάτος δὲ πεντακοσίων· τὰ αὐτὰ δὲ καὶ ἀρτεμίδωρος ἐννάτῳ γεωγραφουμένων.

T άπυρροι, οὐ πόρρω ὑρκανίας ἔθνος· κουάδρατος ταπυρρά φησι· τὸ ἐθνικὸν, ταπυρραῖοι.

T αράνδρος, χώρα φρυγίας· τὸ ἐθνικὸν, ταρανδρεύς.

Τάρας, πόλις ἰταλίας, καὶ ποταμὸς ὁμώνυμος παρὰ θάλασσαν. ἀρσενικῶς δὲ κατ᾽ ἀναλογίαν· οὐδεὶς γὰρ εἰς ·ρας· θηλυκὸν εὑρίσκεται· τοῦτο δ᾽ εὕρηται καὶ θηλυκῶς. ὁ πολίτης, ταραντῖνος· καὶ ἀνεγράφησαν οὕτω πολλοὶ χρηματίζοντες, μάλιστα πυθαγόρειοι, καὶ Ἀριστόξενος μουσικὸς, Ἀριστοτέλους γνώριμος· καὶ Ῥίνθων ταραντῖνος φλύαξ, τὰ τραγικὰ μεταρρυθμίζων ἐς τὸ γελοῖον· φέρονται δ᾽ αὐτοῦ δράματα τριακοντα- επτά· καὶ Ἴκκος ὁ ταραντῖνος ἰατρὸς ἐπὶ τῆς ἑβδομηκοστῆς ἑβδόμης ὀλυμπιάδος· μέμνηται τούτου ὁ πλάτων ἐν Πρωταγόρᾳ· τὸ ἐθνικὸν, ταραντίνη, καὶ ταραντῖνον οὐδετέρως· καὶ ταραντινίζειν, τὸ τὴν ἐνόπλιον καὶ εἰς τὰς μάχας χρήσιμον ἱππασίαν ποιεῖσθαι· ἔστι δὲ καὶ Τάραντος ἀρσενικῶς λεγομένη πόλις βιθυνίας, ἔνθα τιμᾶται ταρανταῖος ζεύς, ὡς Δημοσθένης δευτέρῳ βιθυνιακῶν· εὕρηται καὶ διὰ τοῦ ·δ· δάρανδος.

Ταριχέαι, πόλεις πολλαί· αἱ μὲν, μενδήσιαι· αἱ δὲ, σκυθικαί· αἱ δὲ, κανωβικαί· οἱ πολῖται, ταριχευταὶ, παρὰ τὸ ταριχεύω· καὶ ὤφειλε διὰ διφθόγγου· ἔστι καὶ ταριχέα, καὶ ἑνικῶς, καὶ πληθυντικῶς λεγομένη πόλις τῆς ἰουδαίας, ὡς Ἰώσηπος. τὸ ἐθνικὸν, ταριχεάτης· καὶ ταριχεία τὸ πρᾶγμα, παρὰ τὸ ταριχεύω.

Ταρκυνία, πόλις τυρρηνίδος, ἀπὸ Τάρκωνος· τὸ ἐθνικὸν, ταρκυνιος, ἢ ταρκυνιεὺς, ὡς δουλιχιεὺς, καὶ βουπρασιεύς· ποτὲ δὲ καὶ ταρκυνῖται εἰσὶ, καὶ ταρκυνναῖοι ἔθνος ὑπερβορέων, παρ᾽ οἷς οἱ γρῦπες τὸν χρυσὸν φυλάσσουσιν, ὡς Ἱεροκλῆς ἐν τοῖς φιλίστορσι.

Τάρνη, πόλις ἀχαΐας· ὁ οἰκήτωρ, ταρνιος· καὶ ταρνια ἔργα.

Τάρπη, πόλις ἰταλίας· καὶ ταρπαῖον ὄρος· καὶ ἐθνικὸν ταρπαῖος, ὡς ῥωμαῖος, τριγενές.

Τάρρα, πόλις λυδίας, ἀφ᾽ ἧς Λούκιος ὁ γραμματικός· ἑτέρα κρήτης, ἐν ᾗ ταρραῖος ἀπόλλων τιμᾶται· ἔστι καὶ ἄλλη πόλις τάρρα παρὰ τὸν καύκασον, κρητῶν ἄποικος· Λούκιος δ᾽ ἦν ἀπὸ τάρρης τῆς κρητικῆς πόλεως· φέρεται δὲ τούτου τὰ περὶ παροιμιῶν τρία βιβλία ἄριστα, καὶ περὶ γραμμάτων, καὶ τεχνικὰ γλαφυρώτατα. τὸ θηλυκὸν ἐπὶ τῆς χώρας, ταρραία.

Ταρρακίνα, πόλις ἰταλίας· Διονύσιος πεντεκαιδεκάτῳ ῥωμαϊκῆς ἀρχαιολογίας· τὸ ἐθνικὸν, ταρρακινός.

Ταρράκων, πόλις δυσμικωτέρα τῆς ταρρακωνησίας χώρας· ὁ πολίτης, ταρρακωνήσιος· τὸ ἐθνικὸν, ταρρακωνίτης, ὡς ἀσκάλων, ἀσκαλωνίτης, καὶ μαρῶν, μαρωνίτης, καὶ καύκων, καυκωνίτης.

Ταρραχίνη, πόλις ἰταλίας· Φλέγων ὀλυμπιάδι ἑκατοστῇ ὀγδοηκοστῇ πρώτῃ, ὅτι παιδίον ἐκ δούλης γενόμενον, τῇ ἐνάτῃ καὶ τεσσαρακοστῇ τῆς γενέσεως τὸν προσαγορεύοντα αὐτὸ προσαγορεύει· ἐφ᾽ οἷς τοὺς μάντεις προσαγορεύειν ὄλεθρον· τὸ ἐθνικὸν, ταρραχῖνος.

Ταρσήϊον, πόλις πρὸς ταῖς ἡρακλείαις στήλαις· Πολύβιος τρίτῳ· τὸ ἐθνικὸν, ἔδει ταρσηΐτης, ἢ ταρσηϊώτης. νῦν δὲ κατὰ τὸ ἐπιχώριον ταρσηνοὶ λέγονται.

Ταρσὸς, ἐπισημοτάτη πόλις κιλικίας, ἣν διὰ τοῦ ·ε· ἔλεγον τερσὸν, παρὰ τὸ τερσανθῆναι, ὅ ἐστιν ἀναξηρανθῆναι· τῶν γὰρ ὑδάτων κατὰ τὴν πρώτην σύστασιν προχωρούντων, εἰς τὸ νῦν πέλαγος φασὶν ἀναφανθῆναι πρῶτα τὰ ταυρικὰ ὄρη· Διονύσιος δὲ ὁ θρᾷξ ἐν τῷ περὶ ῥόδου ἀπὸ τῆς τοῦ Βελλεροφόντου πτώσεως· μέρος γάρ τι τοῦ ποδὸς ταρσὸν καλεῖσθαι τῆς ἐκείνου χωλείας ὑπόμνημα ποιουμένων τῶν ἀρχαίων· Ἀλέξανδρος δὲ ὁ πολυΐστωρ, διὰ τὸ τὸν Πήγασον ἵππον ἐκεῖ τὸν ταρσὸν κλάσαντα, καὶ βελλεροφόντην ἐν τῷ ἀληΐῳ πεδίῳ πλανηθῆναι· ἄλλοι δέ φασι διὰ τὸ μετὰ τὸν κατακλυσμὸν τοὺς τόπους τούτους τῆς κιλικίας πρώτους ἀναφανῆναι, καὶ ἀναξηρανθῆναι· διὸ καὶ τὴν πόλιν τερσίαν ὀνομασθῆναι· Ἐρατοσθένης δὲ τερσὸν, διὰ τὸ πρότερον τῶν καρπῶν φθειρομένων ἐν τῷ παρακμάζειν, τούτους πρώτους συναγαγόντας τερσῆναι, καὶ εἰς τὸν χειμῶνα ἀποθέσθαι τὴν τροφήν· ἐκ ταύτης ἐγένετο Ἑρμογένης ὁ τὴν ῥητορικὴν γεγραφώς· θαρσὸς δὲ ἐκαλεῖτο, καὶ θαρσεῖς οἱ κίλικες, ὡς Ἰώσηπος ἐν ἀρχαιολογίᾳ· ἐκαλεῖτο δὲ καὶ κρανία, ἀπὸ κρανίου· ἐκλήθη δὲ καὶ ἱερά· ἐκλήθη δὲ καὶ ἀντιόχεια, ἀπὸ Ἀντιόχου τοῦ ἐπιφανοῦς· ἔστι δ᾽ ἄποικος ἀργείων, κτίσμα Σαρδαναπάλου· ταύτην διαρρεῖ ποταμὸς Κύδνος μέσος, ψυχρός τε, καὶ καθαρός. ὁ πολίτης, ταρσεὺς, ὡς ἁλικαρνασσεύς. Ἐρατοσθένης δὲ καὶ ταρσηνόν φησιν· ἔστι δὲ καὶ ταρσὸς ἄλλη τῆς βιθυνίας· τὸ ἐθνικὸν ταύτης, τάρσιος, καὶ ταρσία· Δημοσθένης ἐν δευτέρῳ βιθυνιακῶν ταρσείαν διὰ τῆς ·ει· διφθόγγου τὴν πόλιν οἶδε· τὸ ἐθνικὸν, τάρσειος· ἔστι καὶ χωρίον βιθυνίας ταρσὸς λεγόμενον. καὶ τάρσα κώμη ἐπὶ τῷ εὐφράτῃ, ὡς Κουάδρατος ἐν τρίτῳ παρθικῶν· ἀπὸ δὲ σαμοσατῶν κατὰ ῥοῦν ἰόντι ὅσον σταδίους ἑκατὸν πεντήκοντα, τάρσα κώμη πολυάνθρωπος ᾤκεῖτο ἄνω τοῦ ποταμοῦ σταδίους πεντεκαίδεκα· τὸ ἐθνικὸν, ταρσηνός.

Τάρταρος, Κράτης τὸν ὑπὸ τοῖς πολλοῖς ἀέρα παχὺν τε, καὶ ψυχρόν τινα, καὶ ἀφώτιστον.

τισον. Ὅμηρος δὲ τόπον εἶναι συνέχοντα τοὺς περὶ κρόνον, καὶ ὑπὸ γῆν ὄντας. λέγεται δὲ ἀρσενικῶς, καὶ θηλυκῶς, καὶ οὐδετέρως. ὁ οἰκήτωρ, ταρτάρειος. καὶ διὰ τῆς ει διφθόγγου παρ' Εὐριπίδῃ ἐν Εὐρυσθεῖ σατυρικῷ. καὶ τὸ κωμικὸν, ταρταρείτης. λέγεται καὶ παρὰ τὸ ταράσσειν, ταρταρίζειν, τὸ ταράσσεσθαι.

Τ αρτησσὸς, πόλις Ἰβηρίας, ἀπὸ ποταμοῦ τοῦ ἀπὸ τοῦ ἀργυροῦ ὄρους ῥέοντος. ὅστις ποταμὸς καὶ κασσίτερον ἐν ταρτησσῷ καταφέρει. τὸ ἐθνικὸν, ταρτήσσιος, καὶ ταρτησσία, καὶ ταρτησσίς. καὶ οὐδετέρως ταρτήσσιον ὄλβιον ἄστυ.

Τ άρφαρα, οὐδετέρως, πόλις τῆς εὐδαίμονος ἀραβίας. ὁ πολίτης, ταρφαρηνὸς, ὡς ζόαρα, ζοαρηνὸς, αὔαρα, αὐαρηνὸς, ὡς Οὐράνιος ἐν ἀραβικῶν τρίτῳ.

Τ άρφη, πόλις λοκρῶν. ὅμηρος, Τάρφην τε, θρόνιόν τε βοαγρίου ἀμφὶ ῥέεθρα. λέγουσι δ' αὐτὴν ἀπὸ τῆς περὶ Φάρυγας κρήνης. οἱ δὲ, καὶ αὐτὴν, καὶ τὸν τόπον διὰ τὴν τῆς ὕλης πυκνότητα. τὰ πυκνὰ γὰρ τάρφεα ὅμηρος λέγει. βαθείης τάρφεσιν ὕλης. καὶ τὸ ἐθνικὸν, ταρφαῖος, ὡς στύμφη, στυμφαῖος.

Τ αρχία, πόλις σικελική. φίλιστος ἑβδόμῳ σικελικῶν. τὸ ἐθνικὸν, ταρχιάτης, καὶ ταρχιανὸς τῷ τύπῳ τῆς χώρας.

Τ αρχώνιον, πόλις τυρρηνίας, ἀπὸ Τηλέφου παιδὸς Τάρχωνος. ὁ πολίτης, ταρχωνῖνος, ὡς ἀσπώρειον, ἀσπωρεῖνος. ἢ ταρχωνιεὺς, ὡς ἱππωνιεύς.

Τ αῦα, πόλις αἰγύπτου. ὁ πολίτης, ταυίτης, ὡς Ὧρος ἐν δευτέρῳ περὶ ἐθνικῶν.

Τ αύακα, πόλις σικελίας. φίλιστος ὀγδόῳ. τὸ ἐθνικὸν, ταυακῖνος, ὡς βρυκῖνος.

Τ αΰγετον, ὄρος τῆς λακωνικῆς. ὅμηρος, Ἢ κατὰ τηΰγετον περιμήκετον, ἢ ἐρύμανθον. λέγεται καὶ ἀρσενικῶς, καὶ θηλυκῶς, καὶ οὐδετέρως, ἀπὸ Τηϋγέτης τῆς μητρὸς Εὐρώτα. τὸ ἐθνικὸν, ταϋγέτιος.

Τ αυλάντιοι, ἰλλυρικὸν ἔθνος. Εὐφορίων δὲ μετὰ τοῦ ν ταυλαντίνους αὐτούς φησι. παρὰ τούτοις ἐκ μέλιτος οἶνον γίγνεσθαί φησιν Ἀριστοτέλης ἐν θαυμασίοις. λέγεται καὶ οὐδετέρως ταυλάντιον, καὶ ταυλαντὶς θηλυκῶς.

Τ αυρανία, πόλις ἰταλίας. τὸ ἐθνικὸν, ταυρανῖνος, ὡς πλακεντῖνος, καὶ ταυρανιανός.

Τ αυρική, νῆσος μεγάλη, καὶ λίαν ἐπίσημος, καὶ πολλὰ ἔχουσα ἔθνη, καὶ περικλείουσα τῇ θέσει τὴν μαιῶτιν λίμνην. ἧς πολὺ διεστῶσα ἡ ἀλωπεκεία ἐστὶ μικρά. τῇ δὲ ταυρικῇ δύο παράκεινται νῆσοι, φαναγόρα, καὶ Ἑρμώνασσα. λέγεται δὲ Ὄσιριν ἐκεῖ ζεύξαντα βοῦς ἀρόσαι τὴν γῆν. διὰ οὖν τὸ ζεῦγος τοῦ ταύρου τὸ ἔθνος κληθῆναι. ὁ οἰκήτωρ, ταυρικὸς, ὡς ἀττικός. τινὲς ταύναιν, οἱ δὲ, ἀλωπέκειαν, οἱ δὲ, μαιῶτιν αὐτήν φασι.

Τ αυρίσκοι, ἔθνος περὶ τὰς ἄλπεις ὄρη. λέγονται καὶ ταυρῖνοι, ὡς Πολύβιος τρίτῳ. Ἐρατοσθένης τηρίσκους αὐτούς φησι διὰ τοῦ ε, οἳ καὶ τρῶοι λέγονται.

Τ αυρόεις, πόλις κελτική, μασσαλιωτῶν ἄποικος. οἱ πολῖται, ταυροέντιοι. ἀπολλόδωρος ἐν πρώτῳ γεωγραφουμένων φησὶν, ὅτι ταυροφόρος ἦν ἡ ναῦς ἡ διακομίσασα τοὺς τὴν πόλιν κτίσαντας. οἳ ἀπορριφέντες ἀπὸ τοῦ στόλου τῶν φωκαέων, καὶ προσενεχθέντες αὐτόθι, ἀπὸ τοῦ ἐπισήμου τῆς νεὼς τὴν πόλιν ὠνόμασαν. τὸ ἐθνικὸν, ταυρεῖνοι.

Τ αυρομένιον, πόλις σικελίας. ὁ πολίτης, ταυρομενίτης, καὶ ταυρομένιος.

Τ αυροπόλιον, ἐν σάμῳ ἀρτέμιδος ἱερόν. στράβων τεσσαρεσκαιδεκάτῃ.

Τ αυρόπολις, πόλις καρίας. τὸ ἐθνικὸν, ταυροπολίτης.

Τ αῦρος, ὄρος διὰ μέσης ἀσίας διῆκον. διότι ταύρους οἱ παλαιοὶ πάντα ὄρη μεγάλα καὶ βίαια ἐπωνόμαζον. ἢ προτομῇ ταύρου τὰ πρὸς τῇ θαλάσσῃ αὐτοῦ ἀπείκασαι. τὸ ἐθνικὸν, ταυριανὸς πλεονασμῷ τοῦ ι, ὡς ζυπανός.

Τ αύχειρα, πόλις λιβύης, θηλυκῶς, καὶ οὐδετέρως, ὡς τάγειρα, ἀπὸ Ταγείρας τῆς Αὐτάνδρου θυγατρός. λέγεται ἡ νῦν ἀρσινόη. ὁ πολίτης, ταυχείριος, καὶ ταυχέριος, καὶ ταύχειρος, καὶ ταυχειρίτης, καὶ ἀρσινοίτης ἀπὸ τῆς αἰγυπτίας.

Τ άφος, πόλις κεφαληνίας. νῦν ἡ ταφιοῦσσα. ἔστι καὶ νῆσος ἀπὸ τεσσαράκοντα σταδίων ταφιὰς καλουμένη. καὶ ἑτέρα. οἱ πολῖται, τάφιοι. τῆς δὲ ταφιούσσης, ταφιουσσαῖος, ὡς σκοτουσσαῖος, πιθηκουσσαῖος.

Τ αφόσιρις, πόλις αἰγύπτου, ἐν ᾗ λέγεται Ὄσιρις τεθάφθαι.

Τ άφραι, καὶ τάφρη ἑνικῶς, χώρα ταφρευθεῖσα, περὶ τὴν μαιῶτιν λίμνην ὑπὸ δούλων ταῖς δεσποίναις συμμιγέντων κατὰ τὸν πολυχρόνιον πόλεμον τῶν σκυθῶν, τῶν δεσποτῶν πολεμούντων τοῖς θραξὶν, ἢ τοῖς ἐν τῷ ἴστρου, ὡς Καλλίστρατος ἐν τρίτῳ. ταύτην τὴν χώραν κατοικῆσαι σατορχαίους. οἱ οἰκοῦντες, σατορχαῖοι.

Τ αχεμψὼ, νῆσος αἰθιοπίας πρὸς τῇ λιβύῃ. τὸ ἐθνικὸν, ταχεμψίτης τῷ τύπῳ τῆς χώρας.

Τὸ ταῦ μετὰ τοῦ ε ψιλοῦ.

Τ εανὸν, πόλις ἰταλίας, ὡς Ἀρτεμίδωρος τετάρτῳ γεωγραφουμένων. τὸ ἐθνικὸν, τεανός.

Τ έβρις, πόλις ἰταλίας, ἔνθα ἡ ῥώμη, καὶ ὁ

τῶν Λατίνων ἐστὶ χώρα, ὡς Ἀπολλόδωρος.

Τεγέα, πόλις Ἀρκαδίας. καὶ Τεγέην εἶχον, καὶ Μαντινέην ἐρατεινήν. Ὅμηρος. καὶ Παυσανίας, ἡ Μαντινικὴ, καὶ Τεγεώτης, καὶ Μαίναλος Τεγέαν κτίζουσι, καὶ Μαντίνειαν. Λέπιδος δ' ἐν ἱστορίας ἐπιτομῆς πρώτῳ περὶ Λακεδαιμονίων οὕτω φησὶ, χρᾷ δ' αὐτοῖς ἡ Πυθία ἐπ' Ἀρκαδίᾳ ὧδε, Ἀρκαδίην μ' αἰτεῖς, μέγ' αἰτεῖς· οὔ τοι δώσω· πολλοὶ δ' ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν, οἵ σ' ἀποκωλύσουσιν. ἐγὼ δέ τοι οὔτι μεγαίρω· δώσω τοι Τεγέην ποσσίκροτον ὀρχήσασθαι. ἔχρων δὲ καὶ πάλ · καὶ ἀφικνεῖται αὐτοῖς τάδε, Ἔστι τις Ἀρκαδίης Τεγέη λευρῷ ἐνὶ χώρῳ, ἔνθ' ἄνεμοι πνείουσι δύο κρατερῆς ὑπ' ἀνάγκης· καὶ τύπος ἀντίτυπος· καὶ πῆμ' ἐπὶ πήματι κεῖται. ἔνθ' Ἀγαμεμνονίδην κατέχει φυσίζοος αἶα· τὸν, σὺ κομισάμενος Τεγέας ἐπιτάρροθος ἔσῃ. ἔστι καὶ Τεγέα ἐν Κρήτῃ, ὑπὸ Ταλθυβίου κτισθεῖσα. ὁ πολίτης, Τεγεάτης, ὡς Ἐλεάτης· καὶ θηλυκὸν, Τεγεᾶτις. ἣν δὲ μελοποιὸς Αὐγὴ Τεγεᾶτις. λέγεται καὶ Τεγεὰς, ὡς Ἰλιάς· ὀξύνεται, ὡς Σοφοκλῆς.

Τέργεστρα, οὐδετέρως πόλις Ἰλλυρίας, πρὸς τῇ Ἀκυληΐᾳ. Ἀρτεμίδωρος δ' ἐν ἐπιτομῇ τῶν ἕνδεκα Τέργεστρον αὐτὴν καὶ κώμην οἶδεν. ἀπὸ Τεργέστρου κώμης, καὶ τοῦ μυχοῦ, ἐπὶ τὸν Ἀδρίαν στάδιοι πεντακισχίλιοι εἰκοσιεννέα. ὁ πολίτης, Τεργεστραῖος.

Τεγησσὸς, πόλις Κύπρου. Διονύσιος ἐν Βασσαρικῶν τρίτῳ. τὸ ἐθνικὸν, Τεγήσσιος, καὶ Τεγησσεύς.

Τεγύρα, πόλις Βοιωτίας, ἐν ᾗ Ἀπόλλωνά φασι γεννηθῆναι. Σῆμος δ' ὁ Δήλιος, τὴν Ἀπόλλωνος γένεσιν, οἱ μὲν, ἐν Λυκίᾳ, οἱ δ' ἐν Δήλῳ, οἱ δ' ἐν Ζωστῆρι τῆς Ἀττικῆς, οἱ δὲ, ἐν Τεγύρᾳ τῆς Βοιωτίας φασίν. ὅθεν καὶ Τεγυρήϊος Ἀπόλλων. Καλλισθένης ἐν τρίτῳ τῶν Ἑλληνικῶν εἶναι μαντεῖά φησι, τὸ μὲν Ἰσμήνιον, ἐν Θήβαις· τὸ δὲ Τροφώνιον, ἐν Λεβίᾳ· τὸ δ' ἐν Ἀβαῖς λεγόμενον, ἐν Φωκεῦσι· τὸ δὲ κυριώτερον, ἐν Δελφοῖς· ὃ καὶ μάλιστά φασι μεμαρτυρηκέναι τὴν ἐν Τεγύρᾳ. τὸ κτητικὸν, Τεγυρεὺς, καὶ Τεγύριος· καὶ Ἰωνικῶς, Τεγυρήϊος.

Τείρια, πόλις Λευκοσύρων. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν, Τειριεὺς, ὡς Σειριεύς.

Τειχιόεις, φρούριον πλησίον τῆς Τραχίνης. τὸ ἐθνικὸν, Τειχιοεύς· καὶ θηλυκὸν, Τειχιόεσσα.

Τεῖχος, φρούριον Ἀχαΐας. ὁ οἰκήτωρ, Τειχίτης, ὡς τοῦ Γορδίου τεῖχος, Γορδιοτειχίτης.

Τεκμὼν, πόλις Θεσπρωτῶν. ὁ πολίτης, Τεκμώνιος.

Τεκτόσαξ, ὡς Ἄζαξ, ἄσφαξ. Τεκτόσαγες, ἔθνος Γαλατικόν. εὕρηται Τεκτοσάγης δι-

θεῖα, καὶ Τεκτόσαγαι. ὡς γὰρ Καππάδοξ, Καππαδόκης, οὕτω Τεκτόσαξ, Τεκτοσάγης.

Τελαμὼν, πόλις Τυρρηνίας. τὸ ἐθνικὸν, Τελαμώνιος, ὡς Καλυδώνιος.

Τελάνη, πόλις ἀρχαιοτάτη Συρίας, ἣν ᾤκει Νῖνος πρὸ τῆς Νίνου κτίσεως. τὸ ἐθνικὸν, Τελαναῖος. καὶ ἐπιχωρίως, Τελανηνός.

Τελέθριον, ὄρος τῆς ἐν Εὐβοίᾳ Οἰχαλίας. Στράβων δεκάτῃ. οἱ οἰκήτορες, Τελεθριεῖς, ὡς Σουνιεῖς.

Τέλμερα, πόλις Καρίας. τὸ ἐθνικὸν, Τελμερεύς. Τερμίλην δ' ἑξῆς παραθήσομαι. ἑτέραν ἔχουσι γραφὴν, τὴν αὐτὴν οὖσαν ὡς οἶμαι.

Τελμισσὸς, πόλις Καρίας. ὡς δὲ Φίλων, ἢ Στράβων, Λυκίας. ἔστι γὰρ ἀμφότερα ὅριον μετὰ Δαίδαλα. ὁ πολίτης, Τελμισσεύς. καὶ δρᾶμα Ἀριστοφάνους Τελμισσεῖς. λέγεται καὶ τετρασυλλάβως Τελεμισσεῖς, ὡς αὐτὸς ἐν αὐτῷ, Ὡς αὖτις αὖ οἶδ' ὅτι ποιήσας, ὡς Τελμισσεῖς. καὶ πάλιν, φέρε δὴ τοίνυν ταῦθ' ὅταν ἔλθῃ τί ποιεῖν χρὴ μ' ὦ Τελμισσεῖς. ἔστι δὲ τὸ μέτρον ἀναπαιστικὸν τετράμετρον καταληκτικὸν, οὗ πρὸ τῆς τελευταίας συλλαβῆς ἀνάπαιστος τάττεται. σπανιαίτατα δὲ σπονδεῖος. τὸ θηλυκὸν, Τελμισσὶς, ὡς βασιλίς. καὶ Τελμίσσιος, ὡς Λυρνήσσιος. καὶ θηλυκὸν Τελμισσιὰς, ὡς τοῦ Ἑλικώνιος, τὸ Ἑλικωνιάς. ἔστι καὶ ἄκρα Λυκίας οὕτω λεγομένη Τελμισσιὰς, ὡς Ἀρτεμίδωρος ἐν δεκάτῳ γεωγραφουμένων.

Τελφοῦσα, πόλις Ἀρκαδίας, ἀπὸ νύμφης λεγομένης Τελφούσης, θυγατρὸς Λάδωνος. ὁ οἰκήτωρ, Τελφούσιος. τὸ θηλυκὸν, Τελφουσία. Λυκόφρων, Δίκης ἐάσει ταρροθος Τελφουσία. ἔστι καὶ Βοιωτίας.

Τελφούσιον. Στράβων ἐννάτῃ. Ἔφορος δὲ Τιλφωσσαῖον ὄρος ἐν Ἀλαλκομενίᾳ. Πίνδαρος δὲ Κηφισίδα καλεῖ ταύτην. ἔστι καὶ Βοιωτίας Τιλφῶσσα κρήνη, καὶ ὄρος ἀπὸ Τιλφούσης. Ἡρωδιανὸς δὲ Τίλφωσσά φησι.

Τελχὶς, πόλις Αἰθιοπίας πρὸς τῇ Λιβύῃ. τὸ ἐθνικὸν, τῷ μὲν ἔθει τῆς χώρας, Τελχίτης. τῷ δὲ κοινῷ χαρακτῆρι, Τελχίνιος, ἀπὸ τῆς γενικῆς. ἐπειδὴ καὶ ἡ Κρήτη Τελχινία ἐλέγετο, καὶ οἱ Κρῆτες Τελχῖνες. λέγονται καὶ Τελχῖνες θηλυκῶς αἱ ἀπὸ πληγῆς εἰς θάνατον καταφοραί. Τελχινία δὲ καὶ ἡ Σικυὼν ἐκαλεῖτο. καὶ τὸ ἐθνικὸν, Τελχίνιος.

Τέμβειον, πόλις Φρυγίας. Χάραξ δὲ Τύμβειον αὐτήν φησι. Μένανδρος δὲ Τεμβρίειόν φησιν, ὡς Γόρδειον. τὸ ἐθνικὸν, Τεμβρειεύς.

Τέμβρος,

Τ ἔμβρος, πόλις κύπρου, ἐν ᾗ τετίμηται ὑλάτης ἀπόλλων· τὸ ἐθνικὸν, τέμβριος.

Τ εμένεια, πόλις φρυγίας πρὸς τῇ λυκαονίᾳ· τὸ ἐθνικὸν, τεμενεύς.

Τ έμενος, τόπος σικελίας ὑπὸ ταῖς ἐπιπολαῖς, πρὸς ταῖς συρακούσαις· ὁ οἰκήτωρ, τεμενίτης· καὶ θηλυκῶς διὰ τοῦ ι. ἔστι καὶ τεμενίτης λόφος ἐν τῇ θράκῃ, πρὸς τῇ ζιβαλλῷ.

Τ εμέση, πόλις ἰταλίας. ὅμηρος, ἐς τεμέσην μετὰ χαλκὸν, ἄγω δ᾽ αἴθωνα σίδηρον· ὁ πολίτης, τεμεσαῖος.

Τ έμμιξ, ἔθνος πρῶτον οἰκῆσαν ἐν βοιωτίᾳ. λυκόφρων, Αρχῆς παλαιᾶς γένα τεμμίκων πρόμοι. τὸ θηλυκὸν, τεμμικία παρὰ τῷ αὐτῷ, ὀν βομβύλεια κλιτὺς ἡ τεμμικία· καὶ θηλυκῶς, τεμμικίς· καὶ τεμμίκειος τὸ κτητικόν. Μενέλαος δὲ διὰ τοῦ ι· τεμμίκιον ἄστυ ἐν πρώτῳ θηβαΐδος.

Τ ένδηβα, πόλις ἰκαρίας ἀρχαία· τὸ ἐθνικὸν, τενδηβεῖς.

Τ ενέα, κώμη κορίνθου, ἀπὸ τέννου τοῦ κύκνου. κεῖται μεταξὺ κορίνθου, καὶ μυκήνης· τὸ ἐθνικὸν, τενεάτης. λέγεται καὶ τενεάκη χώρα.

Τ ενέβριον, ἀκρωτήριον· καὶ κώμη τενεβρία ἰβηρίας· ὁ κωμήτης, τενεβριανὸς, ὡς παλτυμβριανὸς, μεσημβριανός.

Τ ένεδος, νῆσος τῶν σποράδων, ὡς Εκαταῖος ἐν Ελλησπόντῳ, ἀπὸ τέννου, καὶ Αμφιθέας, ἢ Ημιθέας τῶν κύκνου παίδων· οἱονεὶ τεννούεδος. ἐκαλεῖτο δὲ λευκόφρυς· ὁ πολίτης, τενέδιος, ὡς ἀρκάδιος, ῥόδιος· ἔστι καὶ πόλις τένεδος πρὸς τῇ λυκίᾳ. Απολλόδωρος δὲ παμφυλίας αὐτὴν εἶναί φησι· καὶ παροιμία, τενέδιος αὐλητὴς, ἐπὶ τῶν τὰ ψευδῆ μαρτυρούντων· τὸν γὰρ αὐλητὴν ἡ φιλονόμη πρὸς κύκνον ἤγαγε μαρτυροῦντα, ὅτι τέννης αὐτὴν ἤθελε βιάσασθαι· ἔστι καὶ ἑτέρα παροιμία, τενέδιος πέλεκυς, ἐπὶ τῶν ἤτοι πικρῶς, ἢ καὶ μᾶλλον συντόμως ἀποκοπτόντων τὰ ζητήματα, καὶ τὰ ἄλλα πράγματα· καί φησιν Αρισείδης, καὶ ἄλλοι τῶν ἐν τενέδῳ, ἀπόλλωνα πέλεκυν κρατεῖν διὰ τὰ συμβάντα τοῖς περὶ τέννην. ἢ μᾶλλον ὥς φησιν ἀριστοτέλης ἐν τῇ τενεδίων πολιτείᾳ, ὅτι βασιλεύς τις ἐν τενέδῳ νόμον ἔθηκε τὸν καταλαμβάνοντα μοιχοὺς, ἀναιρεῖν πελέκει ἀμφοτέρους· ἐπειδὴ δὲ συνέβη τὸν υἱὸν αὐτοῦ καταληφθῆναι μοιχὸν, ἐκύρωσε καὶ περὶ τοῦ ἰδίου παιδὸς τηρηθῆναι τὸν νόμον· καὶ ἀναιρεθέντος, εἰς παροιμίαν ἐλθεῖν τὸ πρᾶγμα ἐπὶ τῶν ὠμῶς πραττομένων· διὰ τοῦτό φησι καὶ ἐπὶ τοῦ νομίσματος τῶν τενεδίων κεχαράχθαι ἐν μὲν τῷ ἑτέρῳ μέρει, πέλεκυν· ἐπὶ δὲ τοῦ ἑτέρου, δύο κεφαλὰς, εἰς ὑπόμνησιν τοῦ περὶ τὸν παῖδα παθήματος· ἔστι καὶ ἄλλη παροιμία, τενέδιος ξυνήγορος, ὁ ἀπότομος, καὶ σκληρός. Απολλόδωρος δὲ ἐν νεῶν καταλόγῳ φησὶν, ὅτι τοὺς μὲν τῆς παμφυλίας, τενεδεῖς· τοὺς δὲ τῆς νήσου, τενεδίους· καὶ θηλυκῶς, τενεδία.

Τ εντυρίς, πόλις αἰγύπτου καθαρτικὴ τῶν κροκοδείλων· ὁ πολίτης, τεντυρίτης. λέγεται καὶ τέντυρα ἡ πόλις, ὡς Αλέξανδρος ἐν τρίτῳ αἰγυπτιακῶν.

Τ εράψη, νῆσος πρὸς καρχηδόνα, οὐ μεγάλη· τὸ ἐθνικὸν, τεραψαῖος.

Τ ερβιντία, πόλις σικελίας· οἱ πολῖται, τερβιντῖνοι, ὡς πλακεντῖνοι, ἀπὸ πλακεντίας· Φλέγων ἐν ὀλυμπιάδων πεντεκαιδεκάτῳ.

Τ έργις, πόλις ἐν λιβύῃ πρὸς τῇ αἰθιοπίᾳ· τὸ ἐθνικὸν, τεργίτης, ὡς τῆς λέπτης, λεπτίτης.

Τ ερηδὼν, πόλις ἐπὶ τῇ ἐρυθραίᾳ· τὸ ἐθνικὸν, τερηδόνιος, ὡς ἀνθηδόνιος, καρχηδόνιος.

Τ έρινα, πόλις ἰταλίας, καὶ ποταμὸς ὁμώνυμος, κτίσμα κροτωνιατῶν, ὡς Φλέγων. ἐκαλεῖτο δὲ καὶ μεγάλη ἑλλὰς, ὡς Απολλωνίδης ὁ νικαεὺς ἐν τῷ περὶ παροιμιῶν· τινὲς δὲ νῆσον αὐτὴν, εἰς ἣν ἐξεβράσθη λίγεια ἡ σειρὴν, ὡς Λυκόφρων, λίγεια δ᾽ εἰς τέριναν ἐκναυσθλώσεται· ὁ πολίτης, τεριναῖος.

Τ έρμερα, πόλις λυκίας, ἀπὸ τερμέρου· ὁ πολίτης, τερμερεύς. Ηρόδοτος δὲ τερμίλας αὐτοὺς καλεῖ ἐν τῷ πρώτῳ· ὁ δὲ χρησμὸς ὁ περὶ αὐτῶν τερμερέας αὐτούς φησι.

Τ ερμησσὸς, πόλις πισιδίας· ἔστι καὶ ἄλλη ταύτης ἄποικος, καὶ αὐτὴ πισιδίας, λεγομένη μικρὰ, ὡς ἡ προτέρα, μείζων· τὸ ἐθνικὸν, τερμησσεύς.

Τ ετράπολις, τῆς ἀττικῆς ἔχουσα δήμους, καὶ πόλεις τέτταρας, οἰνόην· προβάλινθον· τρικόρυθον· μαραθῶνα. Ανδροτίων δὲ τετραπόλιδός φησι διὰ τοῦ δ· αὕτη πρότερον ἐκαλεῖτο Υττηνία. οἱ οἰκήτορες, τετραπολεῖς, καὶ τετραπολῖται, ὡς Φαβωρῖνος ἐν πρώτῳ παντοδαπῆς ὕλης ἱστορικῆς.

Τ ετραχωρῖται, οἱ βεσσοὶ, ὡς Στράβων ἑβδόμῃ· οὗτοι λέγονται καὶ τετράκωμοι.

Τ ευθὶς, πόλις ἀρκαδίας· τὸ ἐθνικὸν παρωνυμικῶς, τευθίδης.

Τ ευθρανία, μυσίας πόλις, ἀπὸ τεύθραντος· ὁ τεύθρας δὲ τὴν Αὔγην ἔγημε, καὶ τὸν Τήλεφον ἐπαιδοποιήσατο· τὸ ἐθνικὸν, τευθράνιος, ὡς τῆς παρασίας, παράσιος· λέγεται καὶ τευθράντιος. Εὐριπίδης λικυμνίᾳ, τευθράντιον δὲ σχῆμα μυσίας χθονός. τὸ θηλυκὸν, τευθραντὶς, ἀπὸ τῆς τεύθραντος γυναικός.

T ευκροὶ, ὀξυτόνως οἱ τρῶες, ἀπὸ τεύκρου τοῦ σκαμάνδρου, καὶ Ἰδαίας νύμφης. λέγεται καὶ τευκρὶς θηλυκῶς ἡ τρῳία, καὶ τεύκριοι.

T ευμησσὸς, ὄρος βοιωτίας. ὅμηρος ἐν τῷ εἰς ἀπόλλωνα ὕμνῳ, ἄστυ, ὡς δημοσθένης ἐν τετάρτῳ βιθυνιακῶν, εἰς μυκαλησσὸν ἰὼν, καὶ τευμησσὸν λεχεποίην. ἐκλήθη δ' οὕτως, ὡς ἀντίμαχος πρώτῳ θηβαΐδος, οὕνεκά οἱ κρονίδης, ὃς μέγα πάντων ἀνάσσει, ἄντρον ἐνὶ σκιερῷ τευμήσατο, τόφρα κεν εἴη φοίνικος κούρα κεκευθμένα· ὅς ῥα μή τις, μήτε θεῶν ἄλλος γε παρὲξ φράσσαιτο κεν αὐτοῦ. οἱ κατοικοῦντες, τευμήσιοι. καὶ τευμησία ἡ ἀλώπηξ, ἀπὸ τοῦ ὄρους. καὶ τὸ οὐδέτερον, τευμήσειον. καὶ τὸ ἐκ τόπου, τευμησσόθεν. καὶ τὸ εἰς τόπον, τευμησσόνδε. ἀντίμαχος ἐν πρώτῳ θηβαΐδος.

T ευτλουσσα, νῆσος ἰωνίας. θουκυδίδης. τὸ ἐθνικὸν, τευτλουσσαῖος, ἢ τευτλούσσιος.

T έως, πόλις ἰωνίας. ἔστι δὲ μέση ἰωνίας, ὡς ἡρόδοτος ἐν πρώτῃ. ἣν πρώτην ἔκτισεν Ἀθάμας. ὅθεν ἀθαμαντίδα καλεῖ αὐτὴν Ἀνακρέων. ἐκλήθη δὲ ἀπὸ τῆς Ἀθάμαντος θυγατρὸς Ἀρᾶς. σκοπουμένου γὰρ τοῦ Ἀθάμαντος ἔνθα ἱδρύσει τὸν ναὸν, ἀθύρουσα, οἷα δὴ παῖς ἐκ λίθων οἰκίαν δειμαμένη, ἔλεγεν, ἕως σὺ χῶρον ἐσκόπεις, τέως ἐγὼ πόλιν σοι ἐδειμάμην. καὶ διὰ τοῦτο ἡ πόλις οὕτως ὠνομάσθη. τὸ ἐθνικὸν, τήϊος. ἔστι γὰρ πρῶτον τέϊος, καὶ τεῖος. καὶ ἰωνικῶς, τήϊος. ἀφ' οὗ Πρωταγόρας τήϊος, καὶ Σκυθῖνος ἰάμβων ποιητὴς, τήϊος. καὶ θηλυκῶς, τηΐα. ἔστι καὶ ἑτέρα πόλις ἐν δερβοαῖς τῆς σκυθίας, ἐν ᾗ λέγουσι λίμνην ἰχθύων ἔχουσαν πλῆθος. ἀφ' ὧν εὐδίας γινομένης, ἔλαιον ἐπιπολάζει τοσοῦτον, ὅσον ἀρύεσθαι αὐτὸ ταῖς χερσὶν εἰς σκάφος, καὶ χρῆσθαι αὐτῷ.

T εύωχις, πόλις αἰγυπτία. ἔστι καὶ λίμνη ὁμώνυμος. ὁ πολίτης, τευωχίτης.

Τὸ ταῦ μετὰ τοῦ ἦτα.

T ήλανδρος, πόλις καρίας, καὶ τηλανδρία ἄκρα. ἀλέξανδρος δ' ὁ πολυΐστωρ οὐδετέρως τὴν πόλιν τήλανδρον καλεῖ ἐν πρώτῳ λυκιακῶν, καὶ τηλανδρίαν τὴν αὐτήν. τὸ ἐθνικὸν, τηλανδρεύς. τοῦ δὲ τηλάνδρου, τηλάνδριος τὸ ἐθνικόν.

T ηλεβοῖς, μοῖρα τῆς ἀκαρνανίας, ἀπὸ τηλεβόου, ἣ πρότερον ταφίων ἐκαλεῖτο. οἱ οἰκήτορες, τηλεβόαι. ἔστι καὶ τηλεβόας ποταμὸς πρὸς ταῖς πηγαῖς τοῦ τίγρητος.

T ηλέφιος, δῆμος. καὶ τηλέφου κρήνη λυκίας. Μενέμαχος γάρ φησιν, ὅτι ἀπὸ ἑπτὰ σταδίων πατάρων τηλέφου κρήνη δείκνυται, διὰ τὸ τήλεφον ἀπονίψασθαι ἐκεῖ τὸ τραῦμα. θολερὰν δὲ εἶναι. ἔστι δὲ δῆμος τηλέφιος. τὸ ἐθνικὸν, τηλέφιος, ἢ τηλεφιεύς.

T ῆλος, νῆσος τῶν κυκλάδων, ἀπὸ τήλου οἰκιστοῦ. ἐκαλεῖτο δὲ καὶ ἀγαθοῦσσα, ὡς Ἰάσων. τὸ ἐθνικὸν, τήλιος. ἀνδροτίων ἕκτῳ ἀτθίδος.

T ημένιον, χωρίον μεσσήνης, ἐν ᾧ τέθαπται τήμενος. οἱ οἰκήτορες, τημενεῖς, ὡς ἠλιεῖς.

T ῆμνος, πόλις τῆς αἰολίδος. ὁ μάλλος γὰρ ἔλαβε χρησμὸν ὅπου ἂν ὁ τοῦ ἅρματος ἄξων διατμηθῇ, πόλιν κτίσαι. καὶ διατμηθέντος τοῦ ἄξονος, κτίζει. ὁ πολίτης, τημνίτης.

T ήνειον, πόλις ἀχαΐας. τὸ ἐθνικὸν, τηνειεὺς, ὡς σουνιεὺς, καὶ σιγειεύς.

T ῆνος, νῆσος κυκλὰς, ἀπὸ οἰκιστοῦ Τήνου. ἐκλήθη δὲ ὑδροῦσσα, διὰ τὸ κατάρρυτον εἶναι, καὶ ὀφιοῦσσα. Ἀριστοτέλης ἐν τῷ περὶ θαυμασίων ἀκουσμάτων φησὶν, ὅτι ἐν τῇ νήσῳ φασὶ φιάλων σύγκραμα εἶναι, ἐξ οὗ πῦρ ἀνάπτουσι πάνυ ῥᾳδίως. καὶ Ἀθήναιος ἐν δευτέρῳ δειπνοσοφιστῶν περὶ αὐτῆς, ὅτι ἐν τῇ νήσῳ κρήνη ἐστὶν, ἧς τὸ ὕδωρ οἴνῳ οὐ μίγνυται. ἔστι καὶ πόλις λακωνικὴ μία τῶν ἑκατὸν τῆνος λεγομένη. ὁ πολίτης, τήνιος. καὶ τὸ θηλυκὸν, τηνία. ἀφ' ἧς καὶ Ἠρίννα τηνία ποιήτρια. λέγεται καὶ τηνεύς.

Τὸ ταῦ μετὰ τοῦ ἰῶτα.

T ιβαρηνία, χώρα πρὸς τῷ πόντῳ, πρόσοικος χάλυψι, καὶ μοσυνοίκοις. τὸ ἐθνικὸν, τιβαρήνιοι, καὶ τιβαρηνοί. καὶ θηλυκὸν, τιβαρηνίς. ἔφορος ἐν πέμπτῳ φησὶν, ὅτι τιβαρηνοὶ καὶ τὸ παίζειν καὶ τὸ γελᾶν εἰσὶν ἐζηλωκότες, καὶ μεγίστην εὐδαιμονίαν τοῦτο νομίζουσιν. ὅμοροι δὲ τούτοις χάλυβες, καὶ τὸ τῶν λευκοσύρων ἔθνος.

T ίβειον, ὄρος φρυγίας, ἀπὸ τιβείου τινός. ἐκ τούτου καὶ τιβείους τοὺς δούλους καλοῦσι.

T ιβεριὰς, πόλις τῆς ἰουδαίας, πρὸς τῇ κεννεσαρίτιδι λίμνῃ. ἐκτίσθη δὲ ὑπὸ Ἡρῴδου. ἐκ ταύτης ἦν Ἰοῦστος ὁ τὸν ἰουδαϊκὸν πόλεμον τὸν κατὰ Οὐεσπεσιανοῦ ἱστορήσας. ὁ πολίτης, τιβεριεύς. Ἰουλιανὸς δὲ ὁ βασιλεὺς τιβεριοπολίτας ἐπέγραψε. καὶ δῆλον ὡς τῆς πόλεως καλουμένης τιβεριουπόλεως, τὸ θηλυκὸν τιβεριάς.

T ίβυρις, πόλις ἰταλίας. ἀρτεμίδωρος τετάρτῳ γεωγραφουμένων. ἔστι δ' ἐν μεσογείῳ. καὶ τίβυρα πόλις ἑλληνὶς τὴν ἀρχὴν γεγονυῖα, ἀπέχουσα ἀπὸ ῥώμης σταδίους ἑκατὸν τεσσαράκοντα ἑπτά. τὸ ἐθνικὸν, τιβυρτι-

νος· Νικάνωρ δ' ὁ Ἑρμείου Τίβουρα ταύτην καλεῖ· καὶ τὸ ἐθνικὸν, Τιβουρῖνος, ὃ καὶ ἀναλογώτερον· ἐν ᾗ Τιβουρίνιον τέμενος· αὕτη Πολυστέφανος ὠνομάζετο πρότερον·

T ίγγιος, πόλις μαυρουσίας· ὁ πολίτης, ἔδει τιγγίτης, ὡς μεμφίτης, ζελείτης. Μαρκιανὸς δὲ μαυριτανίαν αὐτὴν λέγει. Τιγγιτανὸς οὖν τὸ ἐθνικόν· καὶ θηλυκὸν, Τιγγιτανή· εἰσὶ δὲ ἀπὸ Τίγγεως στάδια ὀγδοήκοντα·

T ιγρανόκερτα, πόλις οὐδετέρως πρὸς ἀρμενίαν, ἀπὸ Τιγρανοῦ βασιλέως ἀρμενίας. Κουάδρατος ἐννάτῳ· καὶ ᾤκησε τὰ Τιγρανόκερτα· τὸ δ' ἐστι τῇ παρθυαίων φωνῇ, Τιγρανούπολις· τὸ ἐθνικὸν, Τιγρανοκερτηνός·

T ιθοραία, πόλις βοιωτίας, ἀπὸ νύμφης Τιθοραίας, ὡς Παυσανίας ἐννάτῳ· ἐνταῦθα Ζῆθος, καὶ Ἀμφίων ἐτάφησαν· ὁ πολίτης, Τιθοραιεύς· ἔστι δ' ἐν τῇ ἄκρᾳ παρνασοῦ·

T ίθρας, δῆμος τῆς αἰγηΐδος φυλῆς· ὁ δημότης, Τιθράσιος· ἐκ τόπου, Τιθρασόθεν. εἰς τόπον, Τιθρασάδε· ἐν τόπῳ, Τιθρασοῖ·

T ιθρώνιον, φωκικὴ πόλις· τὸ ἐθνικὸν, Τιθρωνεύς·

T ίκινος, πόλις Ἰταλίας περὶ ῥαούενναν, καὶ ποταμὸς ὁμώνυμος· τὸ ἐθνικὸν, Τικινός·

T ιλαταῖοι, ἔθνος θρᾴκης. Θουκυδίδης δευτέρᾳ·

T ιλφωσσαῖον, χωρίον θετταλίας· τὸ ἐθνικὸν, Τιλφωσσαῖος ὁμοίως.

T ίμυρα, πόλις περὶ Ἰσαυρίαν, καὶ ποταμὸς Ἰνδός. τὸ ἐθνικὸν, Τιμυραῖος·

T ιμώνιον, φρούριον παφλαγονίας· τὸ ἐθνικὸν, Τιμωνίτης· καὶ τὸ θηλυκὸν, Τιμωνῖτις·

T ίνδιον, πόλις λιβύης· ὁ πολίτης, Τινδιανός. ἔχρην δὲ Τινδιεὺς, ὡς Σουριεύς· ἀλλὰ μᾶλλον ἀπὸ τοῦ Τίνδα, Τινδανός· τοῦ δὲ Τίνδα, τὸ Τίνδιον· ἔστι καὶ Τίνδη θρᾴκης χαλκιδικὴ πόλις· τὸ ἐθνικὸν, Τινδαῖος·

T ίος, πόλις παφλαγονίας τοῦ πόντου, ἀπὸ Τίου ἱερέως, τὸ γένος μιλησίου, ὡς Φίλων· Δημοσθένης δ' ἐν βιθυνιακοῖς φησι κτίστην τῆς πόλεως γενέσθαι Πάταρον ἑλόντα παφλαγονίαν· καὶ ἐκ τοῦ τιμᾶν τὸν Δία, Τίον προσαγορεῦσαι. μέμνηται καὶ Μένιππος ἐν παφλαγονίας περίπλῳ, ἀπὸ Ψύλλης χωρίου ἐς Τίον πόλιν, καὶ ποταμὸν Βίλλαιον. στάδιοι διακόσιοι οἱ πάντες ἀπὸ ἡρακλείας. ἐς Τίον πόλιν, καὶ ποταμὸς Βίλλαιον, στάδιοι διακόσιοι ἑβδομήκοντα· καὶ πάλιν οἱ πάντες ἀπὸ Τίου εἰς Ἄμαστριν, στάδιοι εἴκοσι. Στράβων ἐν δυοκαιδεκάτῃ οὐδετέρως, καὶ Πτολεμαῖος τὸ Τίειον φησί· καὶ τὸ ἐθνικὸν, ἀπὸ τῆς Τίου, Τιανὸς, ὡς ἀπὸ τῆς Κίου, Κιανός· λέγεται καὶ Τιανεύς·

T ιπανισσαι, ἔθνος παρὰ τὸν καύκασον· Ἑκαταῖος εὐρώπῃ.

T ίριζα, πόλις παφλαγονίας· τὸ ἐθνικὸν, Τιριζοι· Κτησίας Τιριζιβανοὺς αὐτούς φησιν ἐν τῷ δευτέρῳ. ἐκ δὲ τῶν ὀδρυσσῶν εἰς Τιριζιβανοὺς οἰκοῦντας ἐν πα

T ίρσαι, πόλις μυγδονίας τῆς ἐν μακεδονίᾳ, ἀπὸ Τίρσης μιᾶς τῶν γυναικῶν τοῦ παιδὸς Μύγδονος, ὡς Θεαγένης φησί· τὸ ἐθνικὸν, Τιρσαῖος.

T ίρυνς, πόλις τῆς πελοποννήσου. οἵ δ' ἄργος τ' εἶχον, Τίρυνθά τε τειχιόεσσαν· ἀπὸ Τίρυνθος τῆς Ἀλω θυγατρὸς, ἥτις Ἀμφιτρύωνος ἦν ἀδελφή· ἐκαλεῖτο δὲ πρότερον ἁλιεῖς, διὰ τὸ πολλοὺς πορφυρέας ἁλιευομένους οἰκεῖν αὐτοῦ. τὸ ἐθνικὸν, Τιρύνθιος, καὶ Τιρυνθιὰς τὸ θηλυκὸν, καὶ Τιρυνθίς· τὸ ἐκ τόπου, Τιρυνθόθεν· εἰς τόπον, Τιρυνθόνδε· ὤφειλε δὲ Τιρυνθάδε, ὡς πρὸς αἰτιατικήν·

T ισία, ὡς ἀσία, πόλις ἰταλίας· τὸ ἐθνικὸν, Τισιάτης, ὡς ἀσιάτης· καὶ Τισιάτις θηλυκόν·

T ίσις, πόλις αἰγύπτου, ἣν ἔκτισε Τίσις· ὁ πολίτης, Τισίτης·

T ισσαι, χωρίον σικελίας· Φίλιστος ἐννάτῳ. τὸ ἐθνικὸν, Τισσαῖος·

T ιτακίδαι, δῆμος τῆς ἀντιοχίδος φυλῆς, ἀπὸ Τιτάκου τοῦ προδόντος ἀφίδνας τοῖς διοσκούροις· ὁ δημότης, Τιτακίδης ὁμοφώνως· καὶ τὰ τοπικὰ ἐπιῤῥήματα ὡσαύτως·

T ίτανα, χωρίον τῆς σικυωνίας· λέγεται καὶ ἑνικῶς, Τιτάνοιό τε λευκὰ κάρηνα· τὸ ἐθνικὸν, Τιτάνιος, καὶ Τιτανία· νῦν δὲ Τιτάνιον καλεῖται·

T ιταρών, πόλις θετταλίας, ἣν Τίταρον Λυκόφρων φησί· τὸ ἐθνικὸν, Τιταρώνιος· ἔστι καὶ Τιταρήσιος ποταμὸς θετταλίας· τὸ ἐθνικὸν ὁμοφώνως Τιταρήσιος·

T ιτωνεύς, ὄρος· Διονύσιος γιγαντιάδος πρώτῳ· ὁ οἰκήτωρ, Τιτωνεύς·

Τὸ ταῦ μετὰ τοῦ λάμβδα·

T λῆτες, ἔθνος ἰβηρικὸν παροικοῦν τοὺς ταρτησσίους· Θεόπομπος τεσσαρακοστῷ πέμπτῳ·

T λῶς, πόλις λυκίας, ἀπὸ Τλῶου τοῦ Τρεμίλου, καὶ Πραξιδίκης νύμφης· τὸ ἐθνικὸν διχῶς, καὶ Τλωεὺς, καὶ Τλωΐτης· ἔστι καὶ Τλὼς Τλωὸς τὸ ἐθνικόν· ἀλλὰ καὶ Τλώϊος· ἔστι καὶ ἄλλη Τλὼς πόλις πισιδίας. τὸ κτητικὸν, Τλωϊκὸς, καὶ Τλωϊκή·

Τὸ ταῦ μετὰ τοῦ νῦ·

T νύασος, πόλις καρίας· Ἑκαταῖος ἀσίᾳ· τὸ ἐθνικὸν, Τνυασεὺς, τῷ τύπῳ τῆς χώρας·

Τὸ ταῦ μετὰ τοῦ ο μικροῦ·

T ολέριον, πόλις ἰταλίας· τὸ ἐθνικὸν, Τολερῖνος·

Τ ολιστόβιοι, ἔθνος γαλατῶν ἑσπερίων, μετοικησάντων ἐκ τῆς κελτογαλατίας εἰς βιθυνίαν. Ἐρατοσθένης δ' ἐν πρώτῳ γαλατικῶν τολιστοβωγίους αὐτούς φησι.

Τ ολοφών, πόλις λοκρῶν τῶν ὀζολῶν. τὸ ἐθνικὸν, τολοφώνιος. Θουκυδίδης τρίτῃ.

Τ όμαρος, ὄρος δωδώνης, ὃ τινὲς τομοῦρον. καὶ τοὺς κατοικοῦντας, τομούρους. οἱ δὲ, τμάρας. οὗ τὸ ἐθνικὸν, τμάριος.

Τ ομεύς, πόλις πρὸς τῇ ὀδησσῷ. Στράβων ἑβδόμῃ. ὠνομάσθη δὲ οὕτω, διὰ τὸ ἄψυρτον τὸν αἰήτου υἱὸν ὑπὸ Μηδείας καὶ Ἰάσονος ἐν τῇ φυγῇ ἐκεῖ κατατμηθῆναι. ἔστι καὶ τομαῖον ὄρος παρὰ τὸ κορυφάσιον τῆς πύλου, ἐοικὸς σμύλῃ. ὁ πολίτης, τομίτης. καὶ τομῖτις τὸ θηλυκόν. ὤφειλε δὲ ὡς ἀταρνείτης διὰ διφθόγγου γράφεσθαι.

Τ όμισα, χωρίον διορίζον καππαδοκίαν ἀπὸ τοῦ ταύρου. τὸ ἐθνικὸν, τομισηνὸς τῷ τύπῳ τῆς χώρας, καὶ τομισεύς.

Τ όξιοι, καὶ τοξιανοὶ, ἔθνος ταυρικόν. Ἡρωδιανὸς ἑβδόμῃ.

Τ οπάζιος, νῆσος ἰνδική. τὸ ἐθνικὸν, τοπάζιος. Ἀλέξανδρος ὁ πολυΐστωρ φησὶν, ὡς εὑρίσκεσθαι καὶ ἐν τῇ τῶν τοπαζίων νήσῳ λίθον ὁμώνυμον τῇ νήσῳ, ὅμοιον τῇ χροιᾷ τῇ τοῦ νέου ἐλαίου. διὰ τοῦ. ξ. δ' ἐγράφετο πρότερον.

Τ ορέται, ἔθνος ποντικόν. Ἀπολλόδωρος δευτέρῳ περιηγήσεως.

Τ όρρηβος, πόλις λυδίας, ἀπὸ Τορρήβου τοῦ Ἄτυος. τὸ ἐθνικὸν, τορρήβιοι. καὶ θηλυκὸν, τορρηβίς. ἐν δὲ τῇ τορρηβίδι ἐστὶν ὄρος κάριος καλούμενον, καὶ ἱερὸν τοῦ καρίου ἐκεῖ. Κάριος δὲ διὸς παῖς, καὶ Τορρηβίας, ὡς Νικόλαος τετάρτῳ. ὃς πλαζόμενος περί τινα λίμνην, ἥτις ἀπ' αὐτοῦ τορρηβία ἐκλήθη, φθογγῆς νυμφῶν ἀκοῦσαι, ἃς καὶ μούσας λυδοὶ καλοῦσι. καὶ μουσικὴν ἐδιδάχθη. καὶ αὐτοὺς λυδοὺς ἐδίδαξε τὰ μέλη. διὰ τοῦτο τορρηβία ἐκαλεῖτο.

Τ ορτόμιον, πόλις μεταξὺ συρίας, καὶ ἀρμενίας. τὸ ἐθνικὸν, τορτόμιος, ὡς βυζάντιος.

Τ ορώνη, πόλις θρᾴκης, ἀπὸ Τορώνης τῆς Πρωτέως, καὶ Ποσειδῶνος, καὶ Φοινίκης. ἔστι καὶ ἄλλη Τορώνη μετὰ τροίαν κτισθεῖσα. ὁ πολίτης, τορρωναῖος. ἔστι καὶ ἄλλη πόλις σικελίας τόρρωνα, διὰ δύο. ν. καὶ τὰ δύο. ο. μικρά. λέγεται καὶ τορωναῖος κόλπος. οὕτω δὲ καλεῖται ἀπὸ τοῦ καναστραίου, ἕως τῆς δέρρεως.

Τ ουρδιτανία, χώρα τῆς ἰβηρίας, ἣ καὶ βαιτικὴ καλεῖται, περὶ τὸν βαίτην ποταμόν. οἱ οἰκοῦντες, τουρδιτανοὶ, καὶ τουρδοῦλοι. Ἀρτεμίδωρος δὲ τουρτυτανίαν αὐτὴν καλεῖ, καὶ τούρτους τοὺς οἰκήτορας, καὶ τυρτυτανούς.

Τὸ ταῦ μετὰ τοῦ ρῶ.

Τ ράγασαι, χώρα ἐν ἠπείρῳ, ἀπὸ Τραγάσου, οὗ εἰς χάριν ὁ Ποσειδῶν πήξιν ἐποίησεν. ὅθεν τράγασοι οἱ ἅλες, ὡς Ἑλλάνικος ἐν πρώτῳ λεσβιακῶν. ἀφ' οὗ καὶ τὸ πεδίον ἁλσιον καλεῖται. ὁ οἰκήτωρ, τραγασαῖος. Ἀριστοφάνης ἀχαρνεῦσι.

Τ ραγαία, νῆσος πρὸς ταῖς κυκλάσιν, ὅθεν ἦν Θεογείτων ὁ περιπατητικὸς, Ἀριστοτέλους γνώριμος. ἔστι πόλις ἐν νάξῳ, ἐν ᾗ τράγιος ἀπόλλων τιμᾶται. Εὔπολις διὰ τοῦ. ε. γράφει καὶ πληθυντικῶς τραγεαί. τὸ ἐθνικὸν, τραγεάτης, ὡς τεγεάτης.

Τ ράπιλος, πόλις μία τῶν ἐπὶ θρᾴκης, πρὸς τῇ χερρονήσῳ, καὶ μακεδονίᾳ. ἐκ ταύτης ἦν Ἀσκληπιάδης, ὁ τὰ τραγῳδούμενα γράψας ἐν ἓξ βιβλίοις. ὁ πολίτης, τραγιλεύς.

Τ ραλλία, μοῖρα τῆς ἰλλυρίας. λέγονται καὶ τράλλοι, καὶ τράλλεις παρὰ Θεοπόμπῳ. λέγεται καὶ τραλλικίδαι, καὶ τράλλα. ἔστι καὶ τράλλιον βιθυνίας, ἣ καθήκει πρὸς τὸν ἀστακηνὸν κόλπον. τὸ ἐθνικὸν τούτου, τράλλιοι.

Τ ράλλις, πόλις λυδίας πρὸς τῷ μαιάνδρῳ ποταμῷ, ἡ πρότερον λεγομένη ἄνθεια, διὰ τὸ πολλὰ ἄνθη ἐκεῖ πεφυκέναι. ἐκαλεῖτο καὶ ἐρυμνά. τὸ ἐθνικὸν, τραλλιανός.

Τ ράμπη, ἰωνίας πόλις. τὸ ἐθνικὸν, τραμπαῖος, ὡς λάμπη, λαμπαῖος.

Τ ράμπυα, πόλις τῆς ἠπείρου, πλησίον βουνίμων. ὁ πολίτης, τραμπυεύς, καὶ τραμπυέτης.

Τ ρανσαλπῖνοι, ἔθνη κελτῶν, πέραν τῶν ἄλπεων. τὸ γὰρ τράνς, σημαίνει πέραν.

Τ ράπεζα, πόλις ἀρκαδίας, ἐγγὺς τεικολώνου. οἱ πολῖται, τραπεζεῖς.

Τ ραπεζοῦς, πόλις πρὸς τῷ εὐξείνῳ πόντῳ, σινωπέων ἄποικος. ἐκαλεῖτο καὶ οἰζηνίς. ἐν ταύτῃ μέλι ἀπὸ τῆς πύξου φησὶν Ἀριστοτέλης γίγνεσθαι ἐν τῷ περὶ θαυμασίων ἀκουσμάτων βαρύοσμον. ἀφ' οὗ τοὺς φαγόντας ὑγιαίνοντας μὲν, ἐξίστασθαι. τοὺς δ' ἐπιλήπτους, εὐθέως ἀπαλλάττεσθαι. ἔστι καὶ ἀρκαδίας πόλις τραπεζοῦς, ἀπὸ Τραπεζοῦντος παιδὸς Λυκάονος, ὡς Παυσανίας ὀγδόῳ. ἔστι καὶ ἄλλη πλησίον τοῦ ἀραβικοῦ κόλπου. ὁ πολίτης, τραπεζούντιος, ὡς σελινούντιος. καὶ ἡ χώρα τραπεζουντία. λέγεται καὶ τραπεζούσιος, ὡς ἀμαθούσιος.

Τ ράβαλα, πόλις λυκίας. τὸ ἐθνικὸν, τραβαλεύς.

Τ ραυχένιοι, ἔθνος περὶ τὸν πόντον τὸν εὔξεινον, ὅμορον σινδοῖς.

Τ ραυσοὶ, πόλις κελτοὺς. ἔθνος, οὓς οἱ ἕλλη-

νὰς ἀγαθύρσους ὀνομάζουσι.

Τ ράφη, πόλις πρὸς τῷ πόντῳ. τὸ ἐθνικὸν, τραφαῖος.

Τ ράφεια, πόλις βοιωτίας, πολλὰ θρέμματα ἔχουσα. τὸ ἐθνικὸν, τράφιος, ἢ τραφιεύς.

Τ ραχεῖα, οὕτως ἡ ἰσαυρία πάλαι. στράβων τεσσαρεσκαιδεκάτῃ. κιλικίας δὲ τῆς ἔξω ταύρου ἡ μὲν, λέγεται τραχεῖα, ἡ δὲ, πεδιάς. τὸ τοπικὸν, τραχειώτης. ἀρχὴ δ' αὐτῆς ἀπὸ κορακησίου ἡ πεδιάς. ἀπὸ δὲ σόλων καὶ ταρσοῦ, μέχρις ἰσσοῦ. καὶ ἔστι τὸ ταύτης τοπικὸν ἔτι καὶ νῦν πεδιανοί. ὤφειλον πεδιεῖς, ὡς σουνιεῖς.

Τ ράχις, πόλις θετταλίας, ὑπὸ τὴν οἴτην, ὑπὸ ἡρακλέους κτισθεῖσα, καὶ ὀνομασθεῖσα διὰ τὴν τραχύτητα. ὁ πολίτης, τραχίνιος, καὶ τριχίνιος, καὶ τραχιναῖος.

Τ ρεμιθοῦς, κώμη κύπρου. καλοῦνται τρεμιθούσιοι, καὶ τρεμιθοπολῖται. φασὶ δ' ὅτι ἐπιβάσης ἀφροδίτης εἰς τὸν τόπον, διὰ τὴν παρουσίαν τῆς δαίμονος ὑπὸ τρόμου διασαλευθῆναι, διὸ καὶ τρεμιθοῦντα κληθῆναι. ἐμοὶ δὲ δοκεῖ ἀπὸ τῶν περὶ τὸν τόπον πεφυκυιῶν τερμίνθων, ἃς κύπριοι τρεμίθους καλοῦσιν, ὡς καὶ πλεῖσται ἄλλαι ἀπὸ τῶν ἐν αὐταῖς πλεοναζόντων φυτῶν. ἐν μὲν τῇ ἀττικῇ, ῥαμνοῦντα. ἐν δὲ τῇ πελοποννήσῳ, κυπαρισσον, καὶ θρύον, καὶ ἐλαία.

Τ ρεμίλη, ἡ λυκία ἐκαλεῖτο οὕτως. οἱ κατοικοῦντες, τρεμιλεῖς, ἀπὸ τρεμύλου, ὡς πανύασις, ἔνθα δ' ἔναιε μέγας τρεμύλιος, καὶ ἔγημε θυγατέρα νύμφην ὠγυγίην, ἣν πραξιδίκην καλέουσι, σίβρῳ ἐπ' ἀργυρέῳ ποταμῷ παρὰ δινήεντι. τῆς δ' ὀλοοὶ παῖδες, τμῶος, ξάνθος τε, πίναρος, καὶ κράγος, ὃς κρατέων πάσας ληΐζετ' ἀρούρας. ἀλέξανδρος δὲ τελευτήσας*. τούτους δὲ τοὺς τρεμιλέους λυκίους βελλεροφόντης ὠνόμασεν. ἑκαταῖος τρεμίλας αὐτοὺς καλεῖ ἐν τετάρτῳ γενεαλογιῶν.

Τ ρῆρος, χωρίον θρᾴκης, καὶ τρῆρες θρᾳκικὸν ἔθνος. λέγεται καὶ τρισυλλάβως παρὰ καλλιμάχῳ ποιητῇ τρήρεας.

Τ ριχὶς, πόλις αἰγύπτου, ὡς θωνὶς, βοῦσις. τὸ ἐθνικὸν, τριχίτης. ἀνδρας ἄπων θεόπομπος τράρας αὐτοὺς καλεῖ.

Τ ριβαλλοὶ, ἔθνος ἰλλυρικόν. ἀριστοφάνης ὄρνισιν, ὄνομα δὲ τούτοις τῶν θεῶν τῶν βαρβάρων τί ἐστι, μαραθωνοτριβαλλοί.

Τ ριζοὶ, ἔθνος πρὸς νότον τοῦ ἴστρου. ἑκαταῖος εὐρώπῃ.

Τ ριῆρον, ἔθνος ἀπὸ τριήρου τοῦ ὀμβριάρεω, καὶ θρᾴκης παιδὸς, ὡς ἀρριανὸς ἐν βιθυνιακοῖς.

Τ ριήρης, πόλις συρίας. ὁ πολίτης, τριηρίτης.

Τ ρίκαλον, καὶ τρίκαλα οὐδετέρως, πόλις σικελῶν. φίλιστος. τὸ ἐθνικὸν, τρικαλῖνος, καὶ τρικαλίνη θηλυκῶς.

Τ ρίκαρα, φρούριον τῆς φλιασίας. θεόπομπος πεντηκοστῷ πέμπτῳ. τὸ ἐθνικὸν, τρικαρανεὺς, καὶ τρικολωνεὺς, τῆς αὐτῆς χώρας ἀμφότερα.

Τ ρίκκη, πόλις θετταλίας, ἀπὸ τρίκκης τῆς πηνειοῦ θυγατρός. τὸ ἐθνικὸν, τρικκαῖος.

Τ ρικόλωνοι, πόλις ἀρκαδίας, ἀπὸ τρικολώνου παιδὸς λυκάονος. τὸ ἐθνικὸν, τρικολωνεύς.

Τ ρικόρυνθον, οὐδετέρως δίδυμος, καὶ διόδωρος. διονύσιος ἀρσενικῶς. εὐφορίων θηλυκῶς. ἔστι δὲ δῆμος τῆς αἰαντίδος φυλῆς. ὁ δημότης, τρικορύσιος. καὶ θηλυκὸν, τρικορυσία. ἀριστοφάνης λυσιστράτῃ, οὐχ ὁρᾷς, οὐκ ἐμπίς ἐστιν ἥδε τρικορυσία; καὶ τρικορυνθόθεν, καὶ τρικορυνθόνδε, καὶ τρικορυνθοῖ.

Τ ρινακρία, ἡ σικελία, παρὰ τὸ τρεῖς ἔχειν ἄκρας. τὸ ἐθνικὸν, τρινακρεύς. καλλίμαχος δ' αἰτιῶν πρώτῃ, τρινάκριον πόντον φησίν. ἐκλήθη δὲ οὕτως, ἢ ὅτι τρεῖς ἄκρας ἔχει, ἢ ὅτι θρινακι ἐστὶν ὁμοία. πολλὰ δὲ ἀπὸ τῆς ὁμοιότητος χωρία προσηγόρευται. λυρνησός. βροντήσειον. σαρδώ. σιβύλλα δὲ τρίνακρον τὸν ποσειδῶνος σικελίας ἄρξαι τρινακριεῖς νήσου, ἣν ἔκτισε τρίνακρος ἥρως, υἱὸς ποντομέδοιο ποσειδῶνος ἄνακτος. ἕτερον τρινεμεῖς δῆμος τῆς κεκροπίδος φυλῆς. διόδωρος καὶ δίδυμος τρινεμεῖς ἀναγράφουσι τὸν δῆμον. ἐκλήθη ἀπὸ σικανοῦ          καλλίμαχος ἐκάλει τρινέμειαν. ὁ δημότης, τρινεμεύς. τὸ τοπικὸν, τρινεμέαθεν. εἰς τόπον, τρινεμεᾶδε. ἐν τόπῳ, τρινεμεᾶσι.

Τ ρίνασα, τόπος φρυγίας. θεόπομπος ἑλληνικῶν τετάρτῳ. τὸ ἐθνικὸν, τρινασαῖος.

Τ ρίοδος, τόπος τρεῖς ὁδοὺς ἔχων, ἀπὸ τριόδου λυκαΐδος. ἀπ' αὐτοῦ τριοδίτης, ὡς ὀπίτης, χωρίτης. καὶ θηλυκὸν, τριοδῖτις. οὕτω γὰρ ἡ ἑκάτη. αὕτη καὶ ἐνοδία ἐκλήθη, ὅτι ἐν τῇ ὁδῷ εὑρέθη ὑπὸ ἰνάχου. τριοδῖτις δὲ, ὅτι ἐν ταῖς τριόδοις τετίμηται.

Τ ριόπιον, πόλις καρίας, ἀπὸ τριόπου τοῦ παιδὸς ἐρυσίχθονος. λέγεται καὶ τριοπία. ἑλλάνικος δὲ καὶ τρίοπα φησὶν αὐτὸν, ἀπὸ τοῦ τρίοπος. τὸ ἐθνικὸν, τριόπιος, καὶ τριοπῖτις τὸ θηλυκὸν, καὶ τριοπῒς, ὡς ἀπὸ τοῦ τριοπεύς. καὶ τὸ κτητικὸν, τριοπικός. τριοπικὸν ἱερὸν ἡρόδοτος πρώτῃ.

Τ ριποδίσκος, καὶ τριποδίσκοι, κώμη τῆς μεγαρίδος. λέγεται καὶ τριποδίσκη. ἡρωδιανὸς δυοκαιδεκάτῃ. ὁ πολίτης, τριποδίσκιος. καλλίμαχος δ' ἐν αἰτίων πόλιν αὐτὴν εἶναί φησι.

Τ ρίπολις, πόλις φοινίκης, διὰ τὸ ἐκ τριῶν πόλεων ἔχειν ἀποικίας, ἀράδου, τύρου, σιδῶ-

νοσ. ὁ πολίτης, τειπολίτης. ἔστι καὶ ἑτέρα
μακεδονίας, καὶ ἄλλη περαιβίας, καὶ ἄλλη κα
είας, ἡ νῦν Νεάπολις μεσηνίας, καὶ ἀρκα
δίας, καὶ ἠπείρου. καὶ ἄλλη ποντική.

T ειπόλιοι, ἔθνος θεσπρωτικόν, οὓς καὶ Ζι
πολιαίους καλεῖ Ριανὸς ἐν πεντεκαιδεκάτῳ.

T ρίπολαι, ἔθνος θρᾴκης. Εκαταῖος εὐρώπῃ.

T ειταία, πόλις ἀχαΐας. Στράβων ὀγδόῃ. ὁ
πολίτης, τειταιεύς.

T είτεια, πόλις Ζωϊκή, ἀρισβαίων κτίσμα.
ὁ πολίτης, τειτειεύς. ἔστι καὶ ἄλλη μεταξὺ
φωκίδος, καὶ λοκρῶν τῶν ὀζολῶν. ἔστι καὶ ἀχαΐ
ας ἄλλη διὰ δύο. ττ.

T είτη, πόλις περὶ τὰς ἡρακλείους στήλας. ἡ
χρῆσις ἐν τῷ περὶ σαμύκλα κεῖται.

T είπωνος, πολίχνιον μακεδονίας. τὸ ἐθνικὸν,
τειπώνιος.

T ειφυλία, ἡ ἦλις. λέγονται καὶ τείφυλοι,
παρὰ τὸ οἰκισθῆναι ἀπὸ τῶν τειῶν φυλῶν,
ἢ ἀπὸ Ζιῶν πυλῶν, ἢ ἀπὸ Τειφύλης τῆς κλυ
τίου μητρός. ὁ οἰκήτωρ, τειφύλιος. καὶ θηλυ
κὸν, τειφυλὶς, ὡς παμφυλίς.

T ειχώνιον, πόλις αἰτωλίας. ὁ πολίτης, Ζι-
χωνιεὺς, ὡς δουλιχιεύς. καὶ τειχώνιος εὕρη
ται διὰ τοῦ ο. μικροῦ. λέγεται καὶ Ζιχωνήϊος. ἔστι
καὶ Ζιχωνίτης. καὶ θηλυκὸν, τειχωνῖτις.

T ροία, χώρα ἀσίας, ἡ πρότερον ἰδαία. εἶτα
τευκρίς. εἶτα Ζοία, ἀπὸ Τρωὸς κατὰ βοιω
τούς. ἢ μᾶλλον ὡς βοιωτιακὸν, ὡς ἡρωδιανός.
τὸ ἐθνικὸν, Ζώς, ὁμοφώνως τῷ κτίστῃ, ὡς ἀχαιός.
δαναός. σικελός. τὸ θηλυκὸν, Ζωΐς, καὶ Ζω-
ϊάς. ἢ παρὰ τὸ Ζώϊος, Ζωϊὰς, ὡς λέσβιος,
λεσβιάς. ἔστι καὶ Ζῳὰ θηλυκῶς, καὶ Ζωΐς, καὶ Ζω
ϊάς. καὶ Ζωϊκὸν τὸ κτητικὸν, καὶ Ζωΐη. εἰσὶ καὶ
ἄλλαι Ζοῖαι, ἐν ἀττικῇ κώμη, ἣν τις νῦν ξυπε
τῆ δῆμος καλεῖται. ἔστι καὶ πόλις ἐν κεστρία
τῆς χαονίας. ἔστι καὶ τῆς αἰγύπτου πόλις. ὁ
πολίτης, Ζωΐτης. ἔστι καὶ Ζωΐτης ποτα-
μὸς, καὶ Ζωϊκὸν ὄρος αἰγύπτου. ἔστι καὶ Ζοία
πρὸς τῷ ἀδριάτῃ τῆς βενετίας. καὶ ἄλλη κατὰ τί

T ροιζὴν, πόλις πελοποννήσου, ἀπὸ Τροιζῆνος.
ζῆνος τοῦ Πέλοπος. ἐκαλεῖτο δὲ Ἀφροδισιὰς,
καὶ Σαρωνία, καὶ ποσειδωνιὰς, καὶ Ἀπολλωνι-
ὰς, καὶ ἀνθανίς. καὶ τὸ ἐθνικὸν, Ζοιζήνιος, καὶ Ζοι
ζηνία, καὶ Ζοιζηνίς. καὶ οὐδέτερον, Ζοιζήνιον. ἔστι
καὶ ἄλλη Ζοιζὴν ἐν μασσαλίᾳ τῆς ἰταλίας,
ἣν Χάραξ Ζοιζηνίδα χώραν φησί.

T ρόκμοι, ἔθνος γαλατικόν. ἐκαλοῦντο δὲ καὶ

T ρόπισ, νῆσος. ἀρτεμίδωρος Ζοκμηνοί.
ἐν δευτέρῳ γεωγραφουμένων.

T ρύχαι, πόλις εὐβοίας. Λυκόφρων δὲ μετα
φάσεις, Ζύχαινα καλεῖ. τὸ ἐθνικὸν, Ζυχεύς.
τοῦ δὲ Ζύχαντος, Ζυχάντιος.

T ρώγιλος, χώρα ἐν σικελίᾳ. ἔστι καὶ χώρα μα
κεδονίας. τὸ ἐθνικὸν, Ζωγίλιος, καὶ Ζωγιλία.
ἔστι καὶ Ζωγιλία τῆς μυκάλης, ἣ λέγεται
καὶ Ζωγίλιον.

T ρωϊὰς, ἡ χώρα τῆς ἰλίου, ἣ ἐκαλεῖτο τευκρίς,
καὶ δαρδανία, καὶ ξάνθη. τὸ ἐθνικὸν, Ζωαδεύς.
ἐντεῦθεν ἦν καὶ Ηγησιάναξ γραμματικὸς,
γράψας περὶ τῆς Δημοκρίτου λέξεως βι
βλίον ἓν, καὶ περὶ ποιητικῶν λέξεων. ἦν
δὲ Ζωαδεύς.

Τὸ τοῦ μετὰ τοῦ .υ. ψιλοῦ.

T ύανα, πόλις μέση κιλικίας, καὶ καππαδο-
κίας, ὑποπεπτωκυῖα τῷ ταύρῳ τῷ κατὰ
τὰς κιλικίους πύλας. οἱ πολῖται, τυα-
νεῖς, ὡς ἀδανεῖς. λέγεται καὶ τυανίτης,
καὶ τυανῖτις θηλυκόν. ἐκαλεῖτο δὲ θόα-
να. καὶ κατὰ παραγραμματισμὸν, τύανα, ὡς
ἀρριανός. ἔστι καὶ τύανα πόλις αἰγύπτου, ἧς
μᾶλλον ἀναλογεῖ τὸ τυανίτης διὰ τὴν αἰγύ
πτιον χώραν.

T ύδερτα, πόλις τυρρηνική, οὐδετέρως. τὸ ἐ-
θνικὸν, τυδερτῖνος.

T υήνισ, πόλις κόλχων, ἀπὸ τυηνίδος ποτα-
μοῦ. τὸ ἐθνικὸν, τυηνίτης.

T υληστὸς, ὄρος ἰταλίας. τὸ τοπικὸν, τυλήσ
σιος. Λυκόφρων, Αλλοι δὲ πρῶνας δυσβά-
τους τυλησίων.

T ύλις, πόλις θρᾴκης, τοῦ αἵμου πλησίον. καὶ
κλίνεται τύλεως. τὸ ἐθνικὸν, τυλίτης, ὡς
μεμφίτης.

T υμέναιον, ὄρος περὶ φρυγίαν. οἱ κατοικοῦντες,
τυμεναῖοι.

T ύμηννα, κώμη λυκίας. ἐκλήθη δὲ ἀπό τι-
νος Ζάγρου οὕτως ὀνομαζομένου, ὃς ἀπαλλασ
σόμενος ἀπὸ τοῦ αἰπολίου, ἤρχετο τὸν πώγω-
να βεβρεγμένος. ᾧ κατακολουθήσαντες,
εὗρον πηγὴν ἔν τινι λόχμῃ. καὶ ταύτην, καὶ
τὸ χωρίον οὕτω καλέσαι. τὸ ἐθνικὸν, τυμην
νεὺς, ὡς πταρεὺς, παταρεύς. χαίρουσι γὰρ οἱ
λύκιοι τῷ τύπῳ τούτῳ.

T ύμης, τύμητος, πόλις λιβύης. τὸ ἐθνικὸν, τυ
μήσιος, ὡς σφραγήσιος, μαγνήσιος.

T υμνιαστὸς, πόλις καρίας, ἀπὸ τυμνιαστοῦ
ῥάβδου. ξάνθιοι γὰρ τὴν ῥάβδον τυμνίαν
λέγουσιν. ὁ πολίτης, τυμνιαστεὺς, ὡς Αλέ-
ξανδρος ἐν πρώτῳ λυκιακῶν.

T ύμνος, πόλις καρίας. ὁ πολίτης, τύμνιος.
Αλέξανδρος ἐν τῷ περὶ καρίας δευτέρῳ.

T ύμφη, ὄρος θεσπρωτικόν. καὶ τυμφαία πόλις.
τὸ ἐθνικὸν, τυμφαῖος. καὶ θηλυκὸν, τυμ-
φαία. καὶ κτητικὸν, τυμφαϊκόν. καὶ Ιυμφαΐς,

T ύμωλος, οὕτως ὁ Ιμῶλος (ὡς ἀχαιΐς.
κατὰ ποιητικὸν σχηματισμόν.

T ύνης, τύνητος, πόλις σικελίας. τὸ ἐθνικὸν, τυ
νησαῖος, ὡς φυγησαῖος, κυμησαῖος, ἀσσυ
μησαῖος.

T ύπαιον, ὄρος ἤλιδος. παυσανίας ἠλιακῶν ια.

Τ υπανέαι, πόλις τριφυλίας. τὸ ἐθνικὸν, τυπανεάτης, ὡς φενεάτης.

Τ ύρας, πόλις καὶ ποταμὸς ἐν τῷ εὐξείνῳ πόντῳ. καὶ ἔδει παρὰ τὸν τύραν τυράτην εἶναι τὸ ἐθνικόν. ἔστι καὶ τυρίτης, ἀπὸ τοῦ τύρις. ὁ δὲ πολυΐστωρ τὸν ποταμὸν καὶ τὴν πόλιν, τύραν. τοὺς δὲ πολίτας, τυραΐους. ἐκαλεῖτο δ' ὀφιοῦσσα.

Τ υρακῖναι, πόλις σικελίας, μικρὰ μὲν, εὐδαίμων δ' ὅμως. τὸ ἐθνικὸν, τυρακιναῖοι. καὶ τυρακιναία θηλυκόν. τυράκινον δὲ αὐτὴν Ἀλέξανδρος ἐν εὐρώπῃ καλεῖ.

Τ υριτακίτη, πόλις πόντου. τὸ ἐθνικὸν, τυριτακαῖος, καὶ τυριτακηνὸς τῷ συνήθει τύπῳ.

Τ υρμένιοι, σκυθικὸν ἔθνος ναυτικώτατον. ἐρημίῳ δύονται φυγάδες.

Τ υρμίδαι, δῆμος οἰνηΐδος φυλῆς. ὁ δημότης, τυρμίδης. τὸ τοπικὸν, ἐκ τυρμιδῶν, εἰς τυρμιδῶν, ἐν τυρμιδῶν.

Τ υρόδιζα, πόλις θρᾴκης μετὰ σέῤῥιον. Ἑλλάνικος δὲ τυρόριζαν αὐτήν φησιν ἐν περσικῶν δευτέρῳ. τὸ ἐθνικὸν δεῖ τυροδιζαῖος, ὡς γαζαῖος. νῦν δὲ τυροδιζηνοὶ λέγονται, ὡς Κράτερος ἐν τρίτῳ περὶ ψηφισμάτων.

Τ ύρος, νῆσος ἐν φοινίκῃ, ἀπὸ τύρου τοῦ φοίνικος. ἔστι καὶ τύρος τῆς λακωνικῆς. καὶ νῆσος πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ, ἣν Ἀρτεμίδωρος τύλον διὰ τοῦ λ καλεῖ. ἔστι καὶ πόλις ἰνδική, καὶ λυδίας, καὶ πισιδίας. Ἀῤῥιανὸς δὲ τὰ ἄναθα τύρον καλεῖ. τὸ ἐθνικὸν, τύριος, καὶ τυρία θηλυκόν. καὶ τὸ οὐδέτερον, τύριον. καὶ κτητικὸν, τυριακὸς, ὡς ῥοδιακός. ἐκλήθη δὲ καὶ παλαίτυρος. καὶ τὸ ἐθνικὸν, παλαιτύριος.

Τ υῤῥηνία, χώρα πρὸς τῷ ἀδρίᾳ, ἀπὸ τυῤῥηνοῦ. ἔστι καὶ τυῤῥηνία πόλις, ἣ λέγεται καὶ τυῤῥήνη. καὶ τυῤῥηνοὶ οἱ πολῖται. καὶ τυρσηνὴ θάλασσα, καὶ τυρσηνίς. καὶ κτητικὸν, τυρσηνικὸς, καὶ τυρσηνική, καὶ τυρσηνικόν. λέγονται καὶ τυῤῥηνοὶ οἱ ἀδριᾶται, ἀπὸ τυῤῥηνοῦ κατὰ δωρίδα διάλεκτον. ἀφ' οὗ κατὰ ἀφαίρεσιν, καὶ γράμματος πρόσθεσιν τύραννος ἐκλήθη.

Τ ύρσητα, πόλις ταυνιτῶν. Φίλιστος ἐν δεκάτῳ. τὸ ἐθνικὸν, τυρσητῖνος.

Τ ύκλος, πόλις ἰταλίας. λέγεται καὶ τύσκλανον. τὸ ἐθνικὸν, τυσκλανός.

Τ υφρηστὸς, πόλις τῆς τραχῖνος, ὀνομασθεῖσα ἀπὸ τῆς τέφρας Ἡρακλέους, ἢ ἀπὸ τυφρηστοῦ υἱοῦ Σπερχειοῦ. τὸ ἐθνικὸν, τυφρήστιος. καὶ τὸ οὐδέτερον Παρθένιος, τυφρήστιον ἔπος. καὶ ὄρος ἀρσενικῶς τυφρηστός.

Τ ύχη, πόλις σικελίας, πλησίον συρακουσῶν. Ἔφορος ἐν δυοκαιδεκάτῳ νῆσον τυχίαν φησίν. ἔστι δὲ καὶ τυχαῖον ὄρος μεταξὺ ἐρετρίας, καὶ βοιωτίας. τὸ ἐθνικὸν τῆς τύχης, τυχαῖος.

## ΑΡΧΗ ΤΟΥ Υ ΨΙΛΟΥ ΣΤΟΙΧΕΙΟΥ.

Τὸ υ ψιλὸν μετὰ τοῦ ἄλφα.

υ Αία, πόλις λοκρῶν ὀζολῶν. τὸ ἐθνικὸν, ὑαῖος. Θουκυδίδης τρίτῃ.

Υάμεια, πόλις μεσσήνης, τῶν πέντε μία. ὁ πολίτης, ὑαμείτης διὰ διφθόγγου.

Υ άμιον, πόλις τρωϊκή. τὸ ἐθνικὸν, ὑάμιος, ὡς βυζάντιος. καὶ ὑαμιεὺς, ὡς δουλιχιεύς.

Υ άμπολις, πόλις φωκίδος. ὁ οἰκήτωρ, ὑαμπολίτης.

Υ άντες, ἔθνος περὶ ἀλαλκομενίαν. λέγονται καὶ ὑάντιοι. καὶ ὑάντιος, καὶ ὑαντία, καὶ ὑαντῖνοι. καὶ ὑαντίνη θηλυκῶς. ἔστι καὶ ὑαντία πόλις λοκρῶν.

Υ άπεια, πόλις φωκίδος, ἀπὸ Υάπου. ὁ πολίτης, ὑαπεύς.

Υ ασις, πόλις λιβύης. λέγεται καὶ ὄασις. καὶ ὁ πολίτης, ὀασίτης, ὁ ποιητὴς Σωτήριχος, καὶ ὁ τὰ πάτρια γεγραφώς. ὁ πολίτης, ὑασίτης.

Τὸ υ ψιλὸν μετὰ τοῦ βῆτα.

Υ βα, οὕτως ὁ δῆμος τῆς λεοντίδος φυλῆς. τινὲς δὲ τὸν δῆμον ὑβάδαι λέγουσι. τὰ τοπικὰ, ἐξ ὑβάδων, εἰς ὑβάδων, ἐν ὑβάδων.

Υ βέλη, πόλις περὶ καρχηδόνα. Ἑκαταῖος ἀσίᾳ. τὸ ἐθνικὸν, ὑβελίτης.

Υ βλαι, τρεῖς πόλεις σικελίας. ἡ μείζων, ἧς οἱ πολῖται ὑβλαῖοι. ἡ μικρὰ, ἧς οἱ πολῖται, ὑβλαῖοι γαλεῶται. μεγαρεῖς ἡ δὲ ἐλάττων, ἥρα καλεῖται. ἔστι καὶ πόλις ἰταλίας. τὴν ὕβλαν, ἀπὸ Ὕβλου τοῦ βασιλέως. διὰ τὸ τὰς πολλὰς ὕβλας καλεῖσθαι τῶν σικελῶν πόλεων. τοὺς ἐνοικοῦντας, μεγαρέας ἐκάλουν. μία δὲ τῶν ὕβλων τιέλλα καλεῖται, ὡς Φίλιστος τετάρτῳ σικελικῶν.

Τὸ υ ψιλὸν μετὰ τοῦ γάμμα.

Υ γασσος, πόλις καρίας, ὡς βούβασσος, καρύασσος. τὸ ἐθνικὸν, ὑγάσσιος, ὡς βουβάσσιος. λέγεται καὶ ὑγάσσειον πεδίον διὰ διφθόγγου, ἀφ' οὗ καὶ ὑγασσεύς.

Τὸ υ ψιλὸν μετὰ τοῦ δέλτα.

Υ δάρκαι, ἔθνος ἰνδικὸν, αὐτοταξάμενον Διονύσῳ, ὡς Διονύσιος βασσαρικῶν τρίτῳ.

Υ δη, πόλις λυδίας, ἐν ᾗ ᾤκει Ὀμφάλη δυναστεύουσα λυδῶν, Ἰορδάνου θυγάτηρ, ὡς Ἀπολλώνιος καρικῶν τετάρτῳ. Ὅμηρος δὲ τοῦ λ σκυτοτόμων ὄχ' ἄριστος ὕλῃ ἔνι οἰκία ναίων. τὸ ἐθνικὸν, ὑδαῖος. Λέανδρος δ' ὁ Νικάνωρ παρατίθησιν ἐν μετονομασίαις τὴν αὐτὴν ὕδην, καὶ σάρδεις φησίν.

Υ δισσός, πόλις καρίας, ἀπὸ Υδίσσου παιδὸς βελλεροφόντου, καὶ ἀστερίας θυγατρὸς Υδέως, ὡς Ἀπολλώνιος καρικῶν τετάρτῳ. ἐξ ὧν ἐγεννήθη Υδις· ἐξ οὗ καὶ ἡ πόλις ὕδισσος. ὁ πολίτης, ὑδισσεύς, ὡς αὐτὸς Ἀπολλώνιός φησιν.

Υ δρα, νῆσος λιβύης περὶ καρχηδόνα, ὡς Ἔφορος πέμπτῳ. τὸ ἐθνικὸν, ὑδραῖος, ἢ ὑδράτης.

Υ δραμία, πόλις κρήτης, ὡς Ξενίων ὁ τὰ κρητικὰ γράψας. οἱ πολῖται, ὑδραμιεῖς, ὡς μεγαρεῖς.

Υ δρέα, νῆσος πρὸς τῇ τροιζῆνι. Ἑκαταῖος εὐρώπῃ. τὸ ἐθνικὸν, ὑδρεάτης. οὕτω γὰρ ἐχρημάτιζεν Εὐάγης ὑδρεάτης κωμῳδίας ποιητὴς, ὡς Διονύσιος εἰκοστῷ τετάρτῳ τῆς μουσικῆς ἱστορίας. ἦν δ' ὁ εὐάγης ποιμήν τις ἀγράμματος δηλαδὴ, καὶ τῆς ἄλλης παιδείας ἄπειρος. ποιητὴς δ' ἀγαθὸς κωμῳδιῶν.

Υ δρηλα, τῆς καρίας. Ἐρατοσθένης τριακοστῷ τρίτῳ γαλατικῶν. τὸ ἐθνικὸν, ὑδρηλεύς.

Υ δροῦς, φρούριον ἀρσενικῶς. Θεόπομπος τριακοστῷ ἐννάτῳ φιλιππικῶν. τὸ ἐθνικὸν, ὑδρούντιος, ὡς σελινούντιος. ἔστι καὶ πόλις ἰταλίας. τὸ ἐθνικὸν, ὑδρουσαῖος, καὶ ὑδρούσιος.

Τὸ υ ψιλὸν μετὰ τοῦ ἦτα.

Υ ηττὸς, κώμη βοιωτίας, ἀπὸ Υήττου ἀνδρὸς ἀργείου. λέγεται καὶ ἀρσενικῶς. ὠνόμασται δ' οὕτω διὰ τὸ καθύεσθαι σφοδροῖς ὄμβροις. τὸ ἐθνικὸν, ὑήττιος, ὡς ὑμήττιος. τινὲς δὲ τὴν ἀσπληδόνα ὕηττον ἐκάλεσαν.

Τὸ υ ψιλὸν μετὰ τοῦ θῆτα.

Υ θμῖται, ἔθνος πρὸς λιβυρνοῖς, καὶ συωπίοις, ὡς φησιν Ἑκαταῖος εὐρώπῃ.

Τὸ υ ψιλὸν μετὰ τοῦ κάππα.

Υ κκαρον, πόλις σικελίας, ὡς Φίλιστος σικελικῶν πρώτῳ. Ἀπολλόδωρος δ' ἐν δευτέρῳ χρονικῶν πόλιν λέγει αὐτὴν τὰ ὕκκαρα. μέμνηται τῆς λέξεως καὶ Θουκυδίδης. ὕκκαρα δὲ, πόλισμά ἐστι τῆς σικελίας, ἔνθεν φασὶ γενέσθαι καὶ λαΐδα τὴν ἑταίραν. τὸ ἐθνικὸν, ὑκκαρεύς. καὶ κτητικὸν, ὑκκαρικός.

Τὸ υ ψιλὸν μετὰ τοῦ λάμβδα.

Υ λέα, χώρα ποντική, ἀβική λεγομένη. τουτέστιν, ὑλαία. Ἀλέξανδρος ἐν τῷ περὶ πόντου.

Υ λαβοι, πόλις λυκίας, ὡς Ἀλέξανδρος ὁ πολυΐστωρ ἐν δευτέρῳ περὶ λυκίας. εἶτα Διονύσιός φησι τούβεριν καὶ τερμέριν δύο ἀδελφὰς γῆμαι, καὶ γεννῆσαι δέκα ἄρρενας ἑκατέραν. ὑλάμους δὲ τοὺς ἑ ποὺς φασί. τὸ ἐθνικὸν, ὑλαμίτης.

Υ λή, πόλις κύπρου, ἐν ᾗ Ἀπόλλων τιμᾶται ὑλάτης. Λυκόφρων, καὶ στρόχων κλωζόντων ὑλάτου τέγην. ἔστι καὶ πόλις λοκρῶν τῶν ὀζολῶν, ἧς τὸ ἐθνικὸν ὑλαῖος. δῆλον δ' ὅτι καὶ βοιωτίας ἣν ἡ ὕλη. Ὅμηρος, οἵ τ' ἐλεῶν' εἶχον, ἠδ' ὕλην, καὶ πετεῶνα. εἰρῆσθαι δ' αὐτὴν ἀπὸ Ὕλης τῆς θεσπιέως, ἢ ὅτι ὑλώδης ἐστί. καὶ ὕλη χωρίον μεταξὺ τῆς σαβίνων, καὶ ῥωμαίων πόλεως.

Υ λλαρίμα, πολίχνιον καρίας, ὑπὲρ θεστρατονικίας. ὅθεν ἦν Ἱεροκλῆς ὁ ἀπὸ ἀθλήσεων ἐπὶ φιλοσοφίαν ἀχθείς. ὁ πολίτης, ὑλλαριμεύς.

Υ λλεῖς, ἔθνος ἰλλυρικὸν, ἀπὸ Ὕλλου τοῦ ἡρακλέους, καὶ Μελίτης τῆς Αἰγαίου τοῦ ποταμοῦ, ὡς Ἀπολλώνιος τετάρτῳ ἀργοναυτικῶν. ἔστι καὶ πόλις ὕλλη, ὡς αὐτός φησι. τὸ ἐθνικὸν, ὑλλεύς. καὶ θηλυκὸν, ὑλληΐς. καὶ παρὰ Καλλιμάχῳ ὑλλὶς ὑλλίδος, ἀπὸ ἀργείας μιᾶς τῶν νυμφῶν. ἢ ἀπὸ Ὕλλου, καὶ Δηϊανείρας. ἔστι δ' ὡς φωκὸς, φωκεὺς, αἰόλος, αἰολεὺς, οὕτως ὕλλος, ὑλλεύς. Ἀπολλόδωρος ἐν τῷ περὶ γῆς δευτέρῳ, ὑπὲρ δὲ τοὺς ὕλλους λιβυρνοὶ, καί τινες ἴστροι λεγόμενοι θρᾷκες. καὶ τὸ θηλυκὸν, ὑλλίς. πρόκειται χερρόνησος ἡλίκη μάλιστα πελοποννήσου, ὥς φασι πεντεκαίδεκα πόλεις ἔχουσα παμμεγέθεις οἰκουμένας. ἔστιν ὑλλὶς καὶ φυλὴ ἄργους, καὶ δωριέων, καὶ τροιζηνίων. ὁ φυλέτης, ὑλλεύς. Χάραξ θ, καὶ παμφύλιοι, καὶ ὑλλεῖς.

Υ λλούαλα, δῆμος καρίας. Ἀπολλώνιος ε καρικῶν. Κᾶρες δὲ τὸν τόπον ἐκεῖνον, ἔνθα Ὕλλος ἀπώλετο, ὑλλούαλαν ὠνόμασαν, καὶ ἕδος ἐνταῦθα ἐδείματο Ἀπόλλωνι. καὶ νῦν ἔτι περὶ τὸν θεὸν δῆμός ἐστιν ὑλλούαλα λεγόμενος. ἄλλα γὰρ οἱ κᾶρες τὸν ἵππον ἔλεγον, ὡς καὶ πρότερον εἴρηται.

Τὸ υ ψιλὸν μετὰ τοῦ μῦ.

Υ μηττὸς, ὄρος τῆς ἀττικῆς. τὸ υ μακρὸν, καὶ βραχύ. ὁ οἰκήτωρ, ὑμήττιος.

Τὸ υ ψιλὸν μετὰ τοῦ ο μικροῦ.

Υ οψ, πόλις ἐν ἰβηρίᾳ χερρονήσου. Ἑκαταῖος εὐρώπῃ. μετὰ δὲ ὕοψ πόλις, μετὰ δὲ λεσυρὸς ποταμός. τὸ ἐθνικὸν, ὑόπος, ἀπὸ τῆς γενικῆς.

Τὸ υ ψιλὸν μετὰ τοῦ πῖ.

Υ παιπα, πόλις λυδίας, κτισθεῖσα ὑπὸ τὸ παρακείμενον ὄρος, ὑπὸ τὸ αἶπος. τὸ ἐθνικὸν, ὑπαιπηνός. καλλίστας ἔχειν γυναῖκας τὴν πόλιν, δῶρον ἀφροδίτης.

Υ παλόχιοι, ἔθνος μολοσσικόν. Ῥιανὸς ἐν τετάρτῳ θεσσαλικῶν.

Υ πανα, πόλις τῆς τριφυλίας, ὡς Πολύβιος τετάρτῳ. τὸ ἐθνικὸν, ὑπανεύς.

Υ πανις, ποταμὸς καὶ πόλις μεταξὺ τοῦ πόντου, καὶ τῆς μαιώτιδος λίμνης. Ἀλέξανδρος δ' ὁ πολυΐστωρ φησὶν, ὅτι ὁ ὕπανις διχῆ σχιζόμενος, τὸ μὲν ἓν μέρος, εἰς τὴν μαιῶτιν λίμνην βάλλει. τὸ δ' ἕτερον, εἰς τὸν πόντον. Μητρόδωρος δ' ἐν τετάρτῳ, καὶ κρήνην

τινὰ πικρὰν εἰς αὐτὸν ἐγχεῖσθαι, καὶ ἄποτον ποιεῖν τὸν ποταμόν. τὸ ἐθνικὸν, ὑπανίτης, ὡς πανοαίτης.

Υ πάτη, πόλις αἰνιάνων. λέγεται δὲ καὶ ὕπατα. ἔστι καὶ χώρα πλησίον σαγγαρίου ποταμοῦ. τὸ ἐθνικὸν, ὑπαταῖος, καὶ ὑπαταία, καὶ ὑπατεύς.

Υ περασία, πόλις, ἧς τὸ ἐθνικὸν ὑπερασιεύς. φλέγων εἰκοστῷ ζ' τῷ ὀλυμπιάδος.

Υ περβόρεοι, ἔθνος. πρώταρχος δὲ τὰς ἄλπεις ῥίπαια ὄρη οὕτω προσηγορεῦσθαι. καὶ τοὺς ὑπὸ τὰ ἄλπαια ὄρη κατοικοῦντας πάντας, ὑπερβορέους ὀνομάζεσθαι. Αντίμαχος δὲ τοὺς αὐτούς φησιν εἶναι τοῖς ἀριμασποῖς. Δαμάστης δ' ἐν τῷ περὶ ἐθνῶν, ἄνω σκυθῶν ἰσσηδόνας οἰκεῖν, τούτων δ' ἀνωτέρω ἀριμασπούς. ἄνω δ' ἀριμασπῶν, τὰ ῥίπαια ὄρη, ἐξ ὧν τὸν βορέαν πνεῖν, χιόνα δ' αὐτὰ μήποτε ἐλλείπειν. ὑπὲρ δὲ τὰ ὄρη ταῦτα ὑπερβορέους καθήκειν εἰς τὴν ἑτέραν θάλασσαν. καὶ ἄλλοι ἄλλως. Ἑλλάνικος δὲ ὑπερβόρειοι γράφει διὰ διφθόγγου.

Υ περδέξιον, χωρίον λέσβου, ἐν ᾧ ζεὺς ὑπερδέξιος. καὶ ὑπερδεξία ἀθηνᾶ. ὡς οὖν ἀπὸ τοῦ βυζαντίου, βυζάντιος, οὕτω παρὰ τὸ ὑπερδέξιον, ὑπερδέξιος τὸ ἐθνικόν. Νικόλαος δὲ πληθυντικῶς ὑπερδεξίους φησίν.

Υ περησία, πόλις τῆς ἀχαΐας. οἱ δ' ὑπερησίην τε, καὶ αἰπεινὴν γονόεσσαν. Ὅμηρος. κακῶς δὲ Θέων ὑπέρειαν αὐτὴν καλεῖ. Υπέρεια γὰρ πηγὴ μεσσηΐδος, καὶ πόλις σικελική. ὠνομάσθη δὲ ὑπὸ Υπέρητος τοῦ λυκάονος υἱοῦ. τὸ ἐθνικὸν τῆς ὑπερησίας, ὑπερησιεύς. καὶ θηλυκὸν, ὑπερησὶς παρ' Ἡσιόδῳ. Θεόπομπος δὲ ὑπερασιεῖς φησι διὰ τοῦ α. ἀπὸ δὲ τῆς ὑπερείας τῆς κρήνης, ὑπερηϊὰς θηλυκῶς ἡ εὔβοια. ἀφ' ἧς τὴν ὑπερηΐδος, ἡ ἀρεθούσης.

Υ πιος, ποταμὸς καὶ πόλις ὑπὸ τὴν ποντικὴν ἡράκλειαν, ὡς Δομίτιος Καλλίστρατος ἐν ἑβδόμῳ τῶν περὶ ἡρακλείας. λέγεται καὶ ἀρσενικῶς, καὶ θηλυκῶς. ἔστι καὶ Υπια ὄρη αὐτόθι, ὡς Νύμφις ἐν πρώτῳ ἡρακλείας. καὶ τοὺς κατοικοῦντας ἐν τοῖς ὄρεσι τούτοις μυσούς φασι. τὸ ἐθνικὸν, ὑπιανὸς, ὡς κίος, κιανός. ὕπιος, πιανός.

Υ ποθῆκαι, τινὲς οὕτω φασὶ τὰς πότνιας τῆς βοιωτίας κεκλῆσθαι. οἱ δὲ, πολισμάτιόν τι διὰ τὴν τοῦ τόπου θέσιν οὕτως ὠνομασμένον, ὡς τὴν ὑποχαλκίδα καλοῦσι, διὰ τὸ ὑπὸ τὸ ὄρος τὴν χαλκίδα κεῖσθαι. πολλοὶ δὲ εἰσὶ μετὰ προθέσεως τόποι. ὑποκνημίδιοι. ὑπερβόρειοι. περιποτάμιοι. προποντίς. παρωκεανῖται.

Υ ποχαλκὶς, πόλις αἰτωλίας κατ' εὐρώπην. τὸ ἐθνικὸν, ὁμοίως τῷ ἁπλῷ ὑποχαλκιδεύς.

Τὸ·υ·ψιλὸν μετὰ τοῦ ρῶ.

Υ ρία, χώρα πλησίον αὐλίδος. ἦν δὲ καὶ πρότερον πολίδιον. Ἡσίοδος δ' ἐν ὑρίᾳ τὴν Αντιόπην φησὶ γενέσθαι. Ευφορίων δ' ἐν ὑσίᾳ. ἔστι δ' ἡ μὲν ὑρία πρὸς τὸν εὔριπον. αἱ δ' ὑσίαι τῆς παρασωπίας, ὑπ' αὐτὸν τὸν κιθαιρῶνα κείμεναι. ὁ κτίσας, ὑριεύς. ὁ πολίτης, ὑριάτης. ἔστιν Υρία καὶ κατὰ ἰσαυρίαν σελεύκειαν, ἣν παραρρεῖ ὁ καλύκαδνος, ὃν καλυδνόν τινες καλοῦσιν. ἔστιν ὑρία πρὸς τῇ ἰαπυγίᾳ κρητῶν κτίσμα. Ἡρόδοτος ἑβδόμῃ. τὸ ἐθνικὸν, ὑριεύς.

Υ ρκανία, πόλις θράκης. τὸ ἐθνικὸν, ὑρκάνιος, ὡς παρράσιος, ὑρβάνιος. καὶ ὑρκανίτης, ὡς κυδωνιάτης. ἔστι καὶ ὑρκανία κώμη τῆς παλαιστίνης, πλησίον τῆς ἰουδαίας, ἀπὸ Υρκανοῦ τοῦ ἐξάρχου τῶν ἰουδαίων. ἔστι καὶ ὑρκάνιον πεδίον τῆς λυδίας, ὡς Ερατοσθένης ἐν πέμπτῳ γαλατικῶν.

Υ ρκανοὶ, ἔθνος προσεχὲς τῇ κασπίᾳ θαλάσσῃ. λέγεται καὶ ὑρκάνιος, καὶ ὑρκανία, καὶ ὑρκανίς. ἐξ οὗ τὸ ες ὑρκανίδα λίμνην, ὡς Αλέξανδρος ἐν ἀσίᾳ.

Υ ρμίνη, πόλις τῆς ἤλιδος. Οσσον ἐφ' ὑρμίνην καὶ μύρτωνος ἐσχατόωσαν. Μενέλαος δὲ τετάρτῳ θηβαϊκῶν, ὕρμιναν διὰ τοῦ α φησί. τὴν δ' ὑρμίνην ἐχεφυλίδα φησὶ, τὰς νῦν ὁρμίνας. ὁρμίνας δὲ καὶ τοὺς αἰπεινοὺς καλεῖσθαι. ὅρμιναι δὲ δύο.

Υ ρίνθιον, χωρίον ἐν ἐπιδαύρῳ, ἀπὸ Υρινθοῦς τῆς τημένου θυγατρός. Παυσανίας δευτέρῳ περιηγήσεως. τὸ ἐθνικὸν, ὑρινθίας, ὡς βιθυνίας, τοῦ βιθυνίου.

Υ ρτακὸς, ἢ καὶ ὑρτακῖνος, πόλις κρήτης. ὁ πολίτης, ὑρτακῖνος. Πολύβιος δὲ τὸ θηλυκὸν ὑρτακίνη, ἀπὸ τοῦ ὑρτακῖνος ἐθνικοῦ. ἀπὸ ὑρτάκου δὲ, ὑρτάκιος.

Τὸ·υ·ψιλὸν μετὰ τοῦ σίγμα.

Υ σαεῖς, νῆσος μικρὰ καὶ μεγάλη αἰθιόπων. Εκαταῖος περιηγήσει αἰγύπτου. οἱ νησιῶται, ὑσαῗται, ὡς ὀασῖται.

Υ σβη, πόλις λυδίας. τὸ ἐθνικὸν, ὑσβαῖος, καὶ ὑσβίτης.

Υ σία, πόλις βοιωτίας καὶ ἑνικῶς, καὶ πληθυντικῶς. περὶ ἧς ὁ Θουκυδίδης ζ' τῇ. ἄπρικος ὑρέων, κτίσμα Νυκτέως τοῦ Αντιόπης πατρός. ἔστι καὶ ἄλλη παρθυαίων βασίλειον. Αρτεμίδωρος ἐννάτῳ γεωγραφουμένων. τὸ ἐθνικὸν, ὑσιεύς. ἔστι καὶ ἀργεία κώμη ὑσία, ὡς Θουκυδίδης. Χάραξ δ' αὐτὴν πόλιν λέγει ἐν ἐννάτῳ ἑλληνικῶν. οἱ ἐξ αὐτῆς, ὑσιᾶται λέγονται. καὶ θηλυκῶς, ὑσιάτις. ἔστι καὶ ἀρκαδίας πόλις, ὡς Φερεκύδης πρώτῳ. ἔστι καὶ Ρυσία πόλις βοιωτίας.

Υ σκανα, πόλις ἰλλυρίδος, οὐδετέρως. Πολύβιος η. τὸ ἐθνικὸν, ὑσκανεύς, ὡς δανεύς, τυανεύς.

Υ στάσται, ἔθνος περσικόν. Νέστωρ δ' ἐν πρώτῳ τῆς ἀλεξανδρειάδος.

Τὸ υ ψιλὸν μετὰ τοῦ ταῦ.

Υ τυννα, πόλις λυκίας. ὁ οἰκήτωρ, ὑτεννεύς.

Τὸ υ ψιλὸν μετὰ τοῦ ψῖ.

Υ ψηλις, κώμη αἰγύπτου. οἱ κωμῆται, ὑψηλῖται. εἰσὶν ὑψηλῖται καὶ κατοικία θράκης.

Υ ψους, πόλις ἀρκαδίας, ὡς Παυσανίας ὀγδόῳ.

Τὸ υ ψιλὸν μετὰ τοῦ ω μεγάλου.

Υ ὤπη, πόλις ματιηνῶν, προσεχὴς τοῖς γορδίοις. Ἑκαταῖος ἀσίᾳ. ἐν δὲ, πόλις ὑώπη. οἱ δ' ἄνθρωποι ἐσθῆτα φορέουσιν, οἵην περ παφλαγόνες. τὸ ἐθνικὸν, ὑωπηνὸς τῷ ἐπιχωρίῳ τύπῳ. εἰ δὲ καθ' ἡμᾶς, ὑωπεὺς, ὡς σινωπεύς. καὶ ὑωπίτης, ὡς σινωπίτης.

ΑΡΧΗ ΤΟΥ ΦΙ ΣΤΟΙΧΕΙΟΥ.

τὸ φῖ μετὰ τοῦ ἄλφα.

Φ αβία, πόλις κελτογαλατῶν, κτίσμα φαβίου στρατηγοῦ ῥωμαίων. Ἀπολλόδωρος ἐν δευτέρῳ χρονικῶν. τὸ ἐθνικὸν, φαβιάτης, ὡς φαβιανός.

Φ αβεντία, πόλις ἰταλίας. τὸ ἐθνικὸν, φαβεντῖνος, ὡς πλακεντῖνος.

Φ άγρης, πόλις θράκης. Ἑκαταῖος εὐρώπῃ, καὶ Θουκυδίδης δευτέρᾳ. τὸ ἐθνικὸν, φαγρήσιος λέγεται, καὶ φαγρησαῖος.

Φ αγρώριον, πόλις ὡς Ἀλέξανδρος ὁ πολυΐστωρ ἐν αἰγυπτιακοῖς. ἐξ οὗ συνθετὸν φαγρωριόπολις, καὶ φαγρωριοπολίτης.

Φ αίαξ, καὶ φαιακία, ἀπὸ φαίακος. Ἑλλάνικος ἱερείων α. φαίαξ ὁ ποσειδῶνος, καὶ κερκύρας τῆς ἀσωπίδος. ἀφ' ἧς ἡ νῆσος κόρκυρα ἐκλήθη. τὸ πρὶν δρεπάνη τε καὶ σχερία κληθεῖσα. τὸ ἐθνικὸν, φαιακίς. οἱ ἐνοικοῦντες, φαίακες.

Φ αιστὸς, πόλις κρήτης, ὀξυτόνως. τὸ δὲ βαρύτονον, κύριον. ἐκτίσθη ὑπὸ φαίστου τοῦ ῥοπάλου ἡρακλέους παιδός. ὁ πολίτης, φαίστιος, καὶ φαιστία, καὶ φαίστιον, καὶ φαιστιάς. ἔστι τῆς φαιστιάδος καὶ ὁ καλούμενος λισσής. Ὅμηρος, ἔστι δέ τις λισσὴ αἰπεῖά τε εἰς ἅλα πέτρη. ἔστι καὶ ἀχαΐας, ὡς Ῥιανὸς ἐν ἀχαϊκῶν τρίτῳ. τὸ ἐθνικὸν, ὁμοίως φαίστιος. ἔστι καὶ ἀπὸ τοῦ φαιστῖνος, φαιστίνιος. ἔστι καὶ ἄλλη φαιστὸς πελοποννήσου, ἡ πρότερον φρίξα καλουμένη.

Φ άκιον, πόλισμα θεσσαλίας. Θουκυδίδης δ. τὸ ἐθνικὸν, φακιεύς, ὡς κάλλιον, καλλιεύς.

Φ άκουσα, κώμη μεταξὺ αἰγύπτου, καὶ τῆς ἐρυθρᾶς θαλάσσης. Στράβων ιζ. Ἑκαταῖος δὲ φακούσας, καὶ φακούσσας φησί. καὶ φακοῦσσαι νῆσοι, καὶ φάκουσσοι. τὸ ἐθνικὸν, φακουσσιος.

Φ αλαισία, πόλις ἀρκαδίας. Παυσανίας ὀγδόῳ. τὸ ἐθνικὸν, φαλαισιεύς.

Φ αλάκραι, ἄκρα τῆς ἴδης, ἥτις οὐκ ἔχει ζωόφυτον διὰ τὴν χιόνα, καὶ τὸ κρύσταλλον, ἀλλ' ἐψίλωται. καὶ πάντα δὲ τὰ ἐψιλωμένα ὄρη, ἐλέγετο φαλάκραι. ὁ ἐκ τόπου, φαλακραῖος. Λυκόφρων, στένων, κυβίλην, καὶ φαλακραῖον κλάδον. καὶ θηλυκῶς, φαλακραῖαι κόραι. καὶ οὐδέτερον. ἔστι καὶ κώμη λιβύης φαλάκραι. ἔστι καὶ φάλακρον ἀκρωτήριον κερκύρας, ὡς Ἀρτεμίδωρος ἐν πέμπτῳ γεωγραφουμένων φησί.

Φ άλανθος, ὄρος καὶ πόλις ἀρκαδίας. Παυσανίας ὀγδόῳ. ἀπὸ φαλάνθου. τὸ ἐθνικὸν, φαλάνθιος, ὡς ἀκάνθιος, ὀλύνθιος.

Φ άλαννα, πόλις περραιβίας, ἀπὸ φαλάννης τῆς τύρου θυγατρός. Λυκόφρων, γόνον φαλάννας, ἢ δ' ὀλοοσσόνων γύας. Ἑκαταῖος ἱστοριῶν α. ἱππίαν αὐτὴν καλεῖ. καὶ Ἔφορος φάλαννον αὐτὴν καλεῖ ἐν τῷ θ. ἔστι καὶ ἑτέρα κρήτης, ἀφ' ἧς ἦν φανιάδης ὁ περιπατητικός. ὁ πολίτης, φαλανναῖος, καὶ φαλανναία τὸ θηλυκόν.

Φ αλανναία, πόλις κρήτης. ὁ πολίτης, φαλανναιεύς, ὡς τοῦ ἥραια, ἡραιεύς.

Φ άλαρα, πόλις θετταλίας, πλησίον λαμίας. τὸ ἐθνικὸν, φαλαρεύς, ὡς μεγαρεύς.

Φ αλάσαρνα, πόλις κρήτης, ἀπὸ φαλασάρνης. ὁ πολίτης, φαλασάρνιος, ὡς Ξενίων φησί.

Φ άλγα, κώμη μέση σελευκείας τῆς πιερίας, καὶ τῆς ἐν μεσοποταμίᾳ. Ἀρριανὸς ἐν ι παρθικῶν. ἡ δὲ φάλγα, γλώσσῃ τῇ ἐπιχωρίῳ τὸ μέσον δηλοῖ. τὸ ἐθνικὸν, φαλγηνὸς, καὶ φαλγαῖος, ὡς ἐδεσσηνὸς, καὶ ἐδεσσαῖος, καὶ καρρηνὸς, καὶ καρραῖος. τὸ μὲν, κατὰ λόγον. τὸ δὲ, κατὰ τὸ ἐπιχώριον.

Φ αλβρίον, ὡς βυζάντιον, πόλις τυρρηνίας. τὸ ἐθνικὸν, φαλβρίος.

Φ άληρον, δῆμος, καὶ ἐπίνειον τῆς ἀττικῆς. Παυσανίας πρώτῳ περιηγήσεως ἑλλάδος. καὶ πληθυντικῶς τὰ φάληρα. Ξενοφῶν ἱππαρχικῷ. ἀπὸ γὰρ φαλήρου, φαληρεῖς ὀνομάζονται οἱ ἀθηναῖοι. λέγεται δὲ καὶ ὁ δῆμος καὶ ὁ δημότης φαληρεύς. λέγεται καὶ φαληραῖος. καὶ θηλυκῶς, φαληρίς. τὰ τοπικὰ, φαληρόθεν. φαληρόνδε. φαληροῖ. καὶ φαληρικόν. ἔστι καὶ πόλις ἐν ὀπικοῖς, εἰς ἣν ἐξεβράσθη Παρθενόπη ἡ σειρήν. ἣ καλεῖται Νεάπολις. ἔστι καὶ θετταλίας ἄλλη πρὸς τῇ οἴτῃ, ἣν Ῥιανὸς διὰ τοῦ α γράφει φάλαρον λέγων, καὶ φάληρον διὰ τοῦ η.

Φ αλίσκος, πόλις ἰταλίας, ἄποικος ἀργείων. καὶ φαλίσκοι, οἱ οἰκήτορες.

Φ αλώρη, πόλις θετταλίας. ταύτην Ῥιανὸς φαλωρίαν καλεῖ. τὸ ἐθνικὸν, φαλωρεύς, καὶ φαλωρείτης, ὡς μαρωνίτης.

Φ αλωειὰς, πόλις Λοκρίδος. ὁ πολίτης, Φαλωειεὺς, ὡς ὀρθωσιεὺς, ἀφροδισιεύς.

Φ αμιζὼν, κώμη τῆς ἀμασείας, καὶ νοτιωτέρα ἀμίσου. ἧς οἱ κωμῖται φαμιζωνῖται. ἡ χώρα, Φαμιζωνῖτις, ἣν νεάπολις λέγεται. οὕτω γὰρ Πομπήϊος ταύτην ὠνόμασε.

Φ αναγόρεια, πόλις, ἀπὸ Φαναγόρου, ὡς Ἑκαταῖος ἀσίᾳ. ἡ νῆσος Φαναγόρη, καὶ Φαναγόρεια. ἔστι καὶ ἐμπόριον τὰ Φαναγόρεια οὐδετέρως. τὸ ἐθνικὸν ἐχρῆν Φαναγορεὺς, ὡς ἀλεξανδρεὺς, τῷ πλείονι λόγῳ. ἐκράτησε δ᾽ ὅμως Φαναγορείτης.

Φ ἄναι, ἀκρωτήριον τῆς Χίου, ἀπὸ τοῦ ἐκεῖθεν ἀναφανῆναι τῇ Λητοῖ τὴν Δῆλον. οἱ οἰκήτορες, Φαναῖοι. καὶ Φαναία τὸ θηλυκόν. ἔστι καὶ Φάνα ἑνικῶς πόλις Ἰταλίας. καὶ Φανοτεὺς, πόλις Φωκίδος. Θουκυδίδης. δ. λέγεται καὶ Φανότη, καὶ Φανότεια. οἱ πολῖται, Φανοτεῖς, ὡς Δελφοὶ, καὶ Θούριοι, ὧν οἰκιστὴς παραπλησίως. τινὲς Πανότειαν φασί.

Φ αραθὼς, πόλις τῆς Γαλιλαίας. Ἰώσηπος πέμπτῳ Ἰουδαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν, Φαραθωνίτης, καὶ θηλυκῶς.

Φ αραὶ, πόλις Μεσσήνης, ὅθεν ἦσαν οἱ ἀφαριτιάδαι. ἔστι καὶ Ἀχαΐας. εἰσὶ καὶ διὰ τοῦ η. Φηραί. ὁ πολίτης, Φηραῖος. εἰσὶ καὶ Φαραὶ Βοιωτίας. τὸ ἐθνικὸν, Φαρεὺς, Φαρῆτος. ἔστι δ᾽ ἄλλη Κρήτης ἄποικος τῆς ἐν Μεσσήνῃ, ὡς Φίλων. τὸ ἐθνικὸν τῆς Μεσσηνίας, Φαραΐτης, ὡς Θῆβαι, Θηβαΐτης, καὶ Συκαὶ, Συκαΐτης. τῆς δ᾽ ἐν Ἀχαΐᾳ, Φαρεῖς λέγονται. καὶ δῆλον, ὡς παρὰ τὸ Φαραῖος, Φαραιεὺς, Κρηταῖος, Κρηταιεὺς, Κωπαῖος, Κωπαιεύς. καὶ κτητικὸν Φαραϊκὸς, ἀπὸ τοῦ Φαραῖος.

Φ αρὰν, πόλις μεταξὺ Αἰγύπτου, καὶ Ἀραβίας. τὸ ἐθνικὸν, Φαρανίτης. καὶ κτητικὸν, Φαρανιτικὸς ὄρος.

Φ άρβαιθος, πόλις Αἰγύπτου. ὁ πολίτης, Φαρ

Φ άρβηλος, πόλις Θρᾳκίων. (βαιθίτης.

Φ αρὶς, πόλις τῆς Λακωνικῆς. τὸ ἐθνικὸν, Φαρβήλιος. οἱ πολῖται, Φαρῖται, ὡς Παυσανίας. καὶ Φαριάτης, ὡς Σπαρτιάτης. Ὅμηρος, Φαρίν τε, Σπάρτην τε, πολυτρήρωνά τε Μέσσην.

Φ αρκηδὼν, πόλις Θεσσαλίας. Θεόπομπος δὲ θ. Φιλιππικῶν Φαρκαδόνα καὶ διὰ τοῦ α. φησίν. ὁ πολίτης, Φαρκηδόνιος, ὡς Χαλκηδόνιος. καὶ Φαρκηδονὶς, καὶ Φαρκηνίς.

Φ αρμακοῦσσα, δύο νῆσοι πλησίον Σαλαμῖνος. ἔστι καὶ ἄλλη ὑπὲρ Μίλητον, ἐν ᾗ Ἄτταλος ἀνῃρέθη. τὸ ἐθνικὸν, Φαρμακουσσαῖος, ἢ Φαρμακούσιος.

Φ αρνακία, χώρα καὶ πόλις Ποντικὴ, προσεχὴς τῇ Τραπεζοῦντι. τὸ ἐθνικὸν, Φαρνακεὺς, ἀπὸ τοῦ Φάρνακος, ὡς Ἀντίοχος, Ἀντιοχεύς. Σέλευκος, Σελευκεύς. ἔστι καὶ Φρυγίας Φαρνάκιον, ὡς Ἀλέξανδρος περὶ Φρυγίας τρίτῳ.

Φ άρος, νῆσος ἐν τῷ Ἀδρίᾳ, ποταμὸν ὁμώνυμον ἔχουσα. ἔστι δὲ κτίσμα Φαρίων, ὡς Ἔφορος εἰκοστῷ ὀγδόῳ. ἔστι καὶ πόλις Ἰλλυρίας, ὡς Πολύβιος. γ. τὸ ἐθνικὸν, Φάριοι. ἔστι καὶ νῆσος ἡ πρὸς τῇ Ἀλεξανδρείᾳ, ἐφ᾽ ἧς ὁ Σωστράτου τοῦ Δεξιφάνους πύργος ὁμώνυμος, λεγόμενος Φάρος. Φάρος δ᾽ ὁ πρωρεὺς Μενελάου ἐν τῇ νήσῳ δηχθεὶς ὑπὸ ὄφεως, ἐτάφη. Φάρος δὲ καὶ ἡ Ἀλεξάνδρεια ἐκαλεῖτο. τὸ ἐθνικὸν, Φάριος, καὶ Φαρία, καὶ Φάριον. ἔστι καὶ πόλις Παραβικὴ. ἐθνικὸν τὸ αὐτό.

Φ αρούσιοι, ἔθνος Λιβυκόν. μέμνηται αὐτῶν Διονύσιος, καὶ Ἀρτεμίδωρος.

Φ άρσαλος, πόλις Θεσσαλίας, ἀπὸ Φαρσάλου τοῦ Ἀκρισίου. τὸ ἐθνικὸν, Φαρσάλιος, καὶ Φαρσαλὶς, καὶ Φαρσαλία. ἔστι καὶ Παμφυλίας πόλις. λέγεται καὶ Φαρρσάλιος διὰ δύο. ρρ, ὡς Μυρρίνη, καὶ κόρρη, καὶ ἐπικόρρης.

Φ αρύγαι, πόλις Λοκρίδος, ἣν Ὅμηρος Τάρφην καλεῖ. οἱ μὲν, ἀπὸ τῶν ἐν Φαρύγαις Τάρφης τὸ ὄνομα. οἱ δὲ, ἀπὸ τοῦ πυκνοῦ τῆς ὕλης ταύτας κεκλῆσθαι. οἱ πολῖται, Φαρυγαῖοι, ὡς δῆλον ἐκ τῆς Φαρυγαίας Ἥρας.

Φ ασαηλὶς, πόλις τῆς Ἰουδαίας, ἀπὸ Ἡρώδου κτισθεῖσα τοῦ πρώτου βασιλέως τῆς χώρας τῷ ὀνόματι τοῦ ἀδελφοῦ, ὡς Ἰώσηπος ἐν. α. τοῦ πρὸς Ῥωμαίων πολέμου. τὸ ἐθνικὸν, Φασαηλίτης, ὡς αὐτὸς ἐν τῇ αὐτῇ.

Φ άσηλις, πόλις Παμφυλίας, ἡ πρότερον Πιτύουσσα, καὶ ὕστερον Φάρβηλος. ὁ πολίτης, Φασηλίτης. Θεοδέκτης δ᾽ ἦν γένος Φασηλίτης, υἱὸς Ἀριστάνδρου, κάλλει διαφέρων. ὃς ἐποίησε τραγῳδίας. ν. καὶ ῥητορικὰς τέχνας, καὶ λόγους ῥητορικοὺς ἔγραψεν. ἀπέθανε δ᾽ Ἀθήνησι, καὶ ἐπιγέγραπται αὐτῷ ἐλεγεῖον τόδε, Ἥδε χθὼν κόλποισι Φασηλίτην Θεοδέκτην κρύπτει, ὃν ηὔξησαν μοῦσαι ὀλυμπιάδες. ἐν δὲ χθὼν, ἱεραῖς τρισὶ καὶ δέκα ἁμίλλαις, ὀκτὼ ἀκηράτους ἀμφεθέμην στεφάνους. Ἡρωδιανὸς δὲ μόνον νῆσόν φησι, καὶ προπαροξύνεσθαι. τὸ μέντοι ἀρσενικὸν οἱ ἐπ᾽ Ἀλεξανδρείας ὀξύνουσι.

Φ ασηλουσσαι, δύο νῆσοι Λιβύης, πλησίον Σίριος ποταμοῦ. Ἑκαταῖος περιηγήσει Λιβύης. οἱ νησιῶται, Φασηλουσσαῖοι, ὡς Σκοτουσσαῖοι.

Φ ᾶσις, πόλις τῆς Αἴας πρὸς τῷ Φάσιδι ποταμῷ ἐν Κόλχοις. ἐκτίσθη δὲ ὑπὸ Μιλησίων. τὸ ἐθνικὸν ἔδει Φασίτης, ὡς Ὀασίτης, Μεμφίτης. ἢ Φασιάτης πλεονασμῷ τοῦ α, ὡς καὶ λέγεται. τὸ ἐθνικὸν, Φασιάτης, καὶ Φασιατικὸς, καὶ Φασιανός. Ἀριστοφάνης ἐν Ὄρνισι. καὶ Φασιανὴ θηλυκὸν, καὶ Φασιανὸν οὐδετέρως. ἔστι καὶ ἄλλος ποταμὸς Φᾶσις.

Φ αστία, πόλις ἐν Σάκαις. (ἐν τῇ Ταπροβανῇ. τὸ ἐθνικὸν, Φασταῖος, καὶ Φασταιεὺς διὰ τὸν τύπον.

Φ αντία, πόλις Ἰωνικὴ, κτίσμα Κυμαίων. καὶ Φαντεῖς, ὡς Νεανδρεῖς τὸ ἐθνικόν.

Φ ατρία, ὑφ' ἣν οἱ φράτορες λέγονται, οἱ ἐκ τῆς φατρίας τῆς αὐτῆς ὄντες, ὅ ἐστι τρίτης φυλῆς, ἣν τινὲς τριττὺν λέγουσιν. ἐλέγετο δὲ φράτηρ, καὶ φράτωρ. ἀλλὰ τὸ μὲν φράτηρ, ἀρχαῖον μετὰ τῆς αὐτοῦ κλήσεως. θάτερον δὲ, νεώτερον. λέγεται καὶ φάτρειον τόπος, ἐν ᾧ οἱ τῆς αὐτῆς φατρίας συνήεσαν. λέγεται καὶ φρατρίζειν, τὸ εἰς ταυτὸν συνιέναι. καὶ μετὰ τοῦ α. φατριάζειν, ὅπερ συνήθες τοῖς ἀττικοῖς. φατριάζειν ἔλεγον, τὸ ἐν τῷ φατρίῳ εὔχεσθαι, ὅ ἐστι τὸ τῆς φρατρίας ἔθος. καὶ κίνημα τοῖς ῥωμαίοις, καὶ τοῖς τούτων ἱστορικοῖς. ἀλλὰ καὶ φατριεῖς ἐκαλοῦντο οἱ ἐν αὐτῷ συνιόντες. ἐλέγοντο δὲ καὶ φάτραι, καὶ φάτραι. ἀλλ' οὐ συνάδει τῷ φατρειδεύς. ὡς γὰρ ὑρία, ὑριεύς, ὑσία, ὑσιεύς, οὕτω φρατρία, φρατριεύς.

Τὸ φι μετὰ τοῦ ε. ψιλοῦ.

Φ έα, πόλις τῆς ἠλείας. ὅμηρος διὰ τοῦ ι. φειᾶς πὰρ τείχεσι. τὸ ἐθνικὸν, φεαῖος.

Φ ελεσαῖοι, ἔθνος ὅμορον τοῖς ὀμβρικοῖς πρὸς τῇ ἰαπυγίᾳ, ὡς εὔδοξος ἕκτῳ.

Φ ελλὰς, ὄρος τῆς ἀττικῆς. τάχα δ' οὐ μόνης τῆς ἀττικῆς, ἀλλὰ παντὸς τοῦ τόπου ἔχοντος ἐπιπολῆς μὲν πέτρας, ὑπὸ ταύτης δὲ, γῆν λιπαρὰν καὶ πρὸς ἐλαιοφυτείαν. τὸ τοπικὸν, φελλείτης ὡς εἰκὸς τοῦ ἀταρνεύς, ἀταρνείτης.

Φ ελλὸς, πόλις παμφυλίας. ἑκαταῖος ἀσίᾳ. ἀλέξανδρος ὁ πολυΐστωρ ἐν τῷ περὶ λυκίας, φελλὸν καὶ ἀντίφελλον λυκίας εἶναι λέγει. ὁ πολίτης, φελλίτης, καὶ ἀντιφελλίτης, ὡς ἀλέξανδρος ἐν τῇ εἰρημένῃ, καὶ πολύχαρμος.

Φ ενέβηθις, πόλις αἰγύπτου. τὸ ἐθνικὸν, τῷ συνήθει χαρακτῆρι. καὶ φενεβηθίτης. οὕτω γοῦν ὡραπόλλων ὁ φιλόσοφος ἐχρημάτιζεν.

Φ ενεὸς, πόλις ἀρκαδίας. οἳ φενεόν τ' ἐνέμοντο, καὶ ὀρχομενόν. λέγεται καὶ ἀρσενικῶς. ἔστι δὲ ἡ πόλις τῆς ἀζανίας. ὁμορεῖ δὲ ἐκ τῶν πρὸς βορρᾶν μερῶν τῇ κλειτορίᾳ. ἐν δὲ τῷ πρὸς ἄρκτους, αἰγείροις, καὶ πελλωίταις, ἀχαϊκαῖς πόλεσι. κεῖται δὲ ὑπὲρ τὸ ὄρος τὴν κυλλήνην. ὁ πολίτης, φενεὺς, καὶ φενεάτης, καὶ φενεαῖος. καὶ θηλυκῶς, φενεαία, καὶ φενεαῖον. τὸ κτητικὸν, φενεατικὸς, καὶ φενεατική, καὶ φενικὸς, καὶ φενική.

Φ εραὶ, πόλις θεσσαλίας. οἱ δὲ φερὰς ἐνέμοντο παραὶ βοιβηΐδα λίμνην, ἀπὸ φέρητος τοῦ κρηθέως, ἢ φερᾶς τῆς αἰόλου θυγατρός. ὁ πολίτης, φεραῖος, καὶ φεραία. εἰσὶ καὶ ἄλλαι φεραὶ ἀρχαῖαι, τῶν νῦν φερῶν ἀπέχουσαι σταδίοις ὀκτώ. εἰσὶ καὶ ἄλλαι ἰαπυγίας, καὶ αἰτωλίας, καὶ παρθυαίων. ἔστι καὶ διὰ τοῦ η. φηρὰς τε ζαθέας, ἠδ' ἄνθειαν βαθύλειμον. τὸ ἐθνικὸν, φεραῖος.

Φ ερεντῖνος, πόλις σαυνιτῶν ἐν ἰταλίᾳ. τὸ ἐθνικὸν, φερεντηνός. λέγεται καὶ φερέντη, ὡς διονύσιος ιζ. τῆς ῥωμαϊκῆς ἀρχαιολογίας.

Τὸ φι μετὰ τοῦ ἦτα.

Φ ηγαία, δῆμος τῆς αἰγηΐδος φυλῆς. ὁ δημότης, φηγαιεύς. ἔστι καὶ ἄλλος δῆμος τῆς πανδιονίδος φυλῆς οἱ φηγαιεῖς. ὁ δημότης, φηγαιεύς. τὰ τοπικὰ, ἐκ φηγαίων, εἰς φηγαίων, ἐν φηγαίων.

Φ ήγεια, πόλις ἀρκαδίας, ἀπὸ φηγέως βασιλέως, ὡς χάραξ ἑλληνικῶν δ. φηγεὺς δ' ὁ ἀδελφὸς τοῦ φορωνέως ἔκτισε πόλιν φήγειαν, ἣ πρὶν ἐρύμανθος ἐκαλεῖτο. ὕστερον δὲ ψωφὶς ὠνομάσθη, ὡς ἐροῦμεν, ἀπὸ τῆς μητρός. οἱ πολῖται,

Φ ηγοῦς, δῆμος ἐρεχθηΐδος φυλῆς. ( φηγεῖς. ὁ δημότης, φηγούσιος. τὰ τοπικὰ, φηγουντόθεν, φηγουντάδε, φηγουντῖσι.

Φ ημίαι, πόλις τῆς ἀρναίας, ἀπὸ φημίου τοῦ ἄμπυκος. ἑλλάνικος πρώτῃ δευκαλιωνείας. τὸ ἐθνικὸν, φημαῖος, καὶ φημιεὺς, καὶ φημιάτης, ὧν οἱ τύποι εὕρηνται.

Τὸ φι μετὰ τοῦ θῆτα.

Φ θειροφάγοι, ἔθνος. στράβων ἑνδεκάτῃ.

Φ θία, πόλις καὶ μοῖρα θετταλίας. παρμενίσκος δὲ χώραν αὐτήν φησι, καὶ οὐ πόλιν. οὐκ ὀρθῶς. ἐκλήθη δὲ ἀπὸ φθίου γυναικὸς, ἢ φθίου ποσειδῶνος, καὶ λαρίσσης. στράβων δὲ, εἰς τέσσαρα διαιρεῖ τὴν θεσσαλίαν, φθιῶτιν, αἰστιῶτιν, θετταλιῶτιν, πελασγιῶτιν. ὁ πολίτης, φθιώτης, καὶ φθιῶτις τὸ θηλυκὸν, καὶ φθῖος, ἀφ' οὗ φθῖοι, καὶ φθίοι. εὕρηται καὶ φθιὰς θηλυκῶς παρ' εὐριπίδῃ ἐν ἀνδρομάχῃ, φθι

Φ θίρα, ὄρος καρίας. οἱ κατοικοῦ( ας ὁμῶς. ντες, φθῖρες. καὶ φθειριὰς θηλυκῶς.

Τὸ φι μετὰ τοῦ ἰῶτα.

Φ ία, πόλις τῆς περὶ μάχην μεσσηνίοις, καὶ λάκωσιν. ὅμηρος, φειᾶς πὰρ τείχεσιν ἰαρδάνου ἀμφὶ ῥέεθρα. τὸ ἐθνικὸν, φιεὺς, καὶ φιάτης, καὶ φιαῖος.

Φ ιγαλέα, πόλις ἀρκαδίας. ῥιανὸς ἐν ε. μεσσηνιακῶν, τὴν μὲν ἐπήγετ' ἄκοιτιν ἐπὶ κραναὴν φιγαλέαν. μετωνομάσθη δὲ φιάλεια δίχα τοῦ γ, ἀπὸ φιάλου τινός. ἔστι καὶ φιάλεια βιθυνίας. τὸ ἐθνικὸν τῆς προτέρας, φιγαλεὺς, καὶ φιγαλείτης.

Φ ιδήνη, πόλις ἀλβανῶν. τὸ ἐθνικὸν, φιδηναῖος. ἔοικε καὶ φίδηνα λέγεσθαι, ὡς ῥάβεννα. καὶ φιδηνάτης, ὡς ῥαβεννάτης. οὕτω γὰρ χάραξ κέχρηται.

Φ ίκιον, ὄρος βοιωτίας, καὶ διὰ διφθόγ( φιδηνάτ. γου, καὶ διὰ βραχέος τοῦ ι. τὸ ἐθνικὸν, φικιεὺς, ὡς βουδιεὺς, ῥοιτειεὺς, ἀργιεὺς, σουνιεύς.

Φ ίλα, πόλις μακεδονίας, κτίσμα δημητρίου τοῦ ἀντιγόνου παιδὸς, τοῦ γονατᾶ καλουμένου, ὃς ἀπὸ τῆς μητρὸς φίλας ἤδη τοῦ σηνειοῦ ἔκτισε πόλιν φίλαν. ἔστι καὶ νῆσος αἰγύπτου. ἡρόδοτος τετάρτῃ, ἐπὶ τὸν ποταμὸν τὸν μέγαν, ᾧ ὄνομα τρίτων ἐστὶν, ἐκδιδόντος ἐς λίμνην μεγάλην τριτωνίδα. τὸ ἐθνικὸν, φιλαῖος. τῆς νήσου δὲ, φιλάτης.

Φ ιλαδέλφεια, πόλις λυδίας, ἀττάλου κτίσου τοῦ φιλαδέλφου. ἔστι καὶ τῆς κεκαυμένης

ὑπὸ

ὑπὸ μυσῶν καὶ λυδῶν κατεχομένη. Στράβων δυοκαιδεκάτῃ. ἔστι καὶ ἑτέρα τῆς αἰγύπτου. καὶ τρίτη τῆς συρίας ἐπιφανὴς πόλις, ἡ πρότερον ἄμμανα. εἶτ' ἀστάρτη. εἶτα φιλαδέλφεια, ἀπὸ Πτολεμαίου τοῦ φιλαδέλφου. ὁ πολίτης, φιλαδελφεύς. τὸ δὲ φιλαδελφηνὸς, ἐπιχώριον. οὕτω γὰρ Ἰώσηππος ·κ· τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Φιλαΐδαι, δῆμος τῆς αἰγηΐδος φυλῆς, ἀπὸ Φιλαίου τοῦ Αἴαντος υἱοῦ, καὶ Λυσίδης τῆς Κορωνοῦ τοῦ λαπίθου. ὁ δημότης, φιλαΐδης. τὸ τοπικὸν, ἐκ φιλαϊδῶν, εἰς φιλαϊδῶν, ἐν φιλαϊδῶν.

Φιλέα, χωρίον βυζαντίου. τὸ ἐθνικὸν, φιλεάτης. τινὲς δὲ φιλέαν. ἄλλοι δὲ φινέαν γράφουσι.

Φιλλωόριον, πόλις ἐν ἀρναίᾳ χώρᾳ τῆς βοιωτίας, ἀπὸ Φιλλώορος τοῦ αἰτωλοῦ. τὸ ἐθνικὸν, φιλλωόριος.

Φίλιπποι, πόλις μακεδονίας, οἱ πρότερον κρηνίδες. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ἕνδεκα, καὶ πόλις φίλιπποι τὸ παλαιὸν κρηνίδες. τοῖς δὲ κρηνίταις πολεμουμένοις ὑπὸ θρᾳκῶν, βοηθήσας ὁ φίλιππος, φιλίππους ὠνόμασεν. ἔνθεν ἦν Ἄδραστος ὁ περιπατητικὸς φιλόσοφος, Ἀριστοτέλους μαθητής. ἐκλήθησαν φίλιπποι καὶ αἱ θῆβαι θεσσαλίας. καὶ γόμφοι θεσπρωτίας. ὁ πολίτης, φιλιππεύς. φιλιππηνὸς δὲ παρὰ Πολυβίῳ.

Φιλιππόπολις, πόλις μακεδονίας, Φιλίππου τοῦ Ἀμύντου κτίσμα ἐν τῷ εὔρῳ. τὸ ἐθνικὸν, φιλιπποπολίτης.

Φιλομήλιον, πόλις τῆς μεγάλης Φρυγίας. Στράβων δωδεκάτῃ. τὸ ἐθνικὸν, φιλομηλεύς, ὡς δρυαλεύς, κοτυαεύς.

Φίλυρεῖς, ἔθνος πρὸς τῷ πόντῳ, ἀπὸ Φιλύρας τῆς μητρὸς Κρόνου. τὸ θηλυκὸν, φιλυρὶς, καὶ φιλυρηῒς πλεονασμῷ τοῦ η. δύναται καὶ ἀπὸ τοῦ φιλύρη φιλυρήτης εἶναι.

Φιλωτέρα, πόλις περὶ τὴν τρωγλοδυτικὴν, Σατύρου κτίσμα. Ἀπολλόδωρος δὲ φιλωτερίδα καλεῖ. ἔστι καὶ κοίλης συρίας φιλωτέρα, ὡς Χάραξ ἐν ὀγδόῳ χρονικῶν. τὸ ἐθνικὸν ταύτης, φιλωτέριος, διὰ τὸ τινὰς καὶ φιλωτερίαν αὐτὴν εἰρηκέναι. τῆς δ' αἰγυπτίας, φιλωτερίτης, διὰ τὸ συνήθες τοῦ ἐπιχωρίου τύπου.

Φίνειον, τόπος τοῦ πόντου, κτίσμα Φινέως. τὸ ἐθνικὸν, φινειεύς, ὡς σίγειον, σιγειεύς.

Φινόπολις, πόλις πρὸς τῷ πόντῳ, ἀπὸ Φινέως. τὸ ἐθνικὸν, φινοπολίτης.

Τὸ φι μετὰ τοῦ λάμβδα.

Φλαίων, πόλις καὶ λιμὴν περὶ τὴν ἄθυρτον νῆσον. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ·ια· μετὰ δὲ τὴν ἄλωον, λίμνη ἐστὶ φλαίων. καὶ πόλις φλαίων. καὶ πᾶς ὁ κόλπος οὗτος, φλαιωνικὸς καλεῖται. ἀπὸ οὖν τῆς γενικῆς φλαίων, φλαιωνίτης, ὡς νέβρων, νεβρωνίτης.

Φλέγρα, πόλις θρᾴκης, ἣν Εὔδοξος μετὰ ταῦτα παλλήνην φησὶ κληθῆναι. ὁ πολίτης, φλεγραῖος, καὶ φλεγραία, καὶ φλεγραῖον. ἔστι καὶ φλεγρὸς, καὶ φλέγρα. Λυκόφρων.

Φλεγύα, πόλις βοιωτίας, ἀπὸ Φλεγύου τοῦ Ἄρεος, καὶ χρυσῆς παιδός. ὁ πολίτης, φλεγύας, καὶ φλεγυεύς. λέγεται δὲ ἡ χώρα φλεγυαντὶς, ὡς ἀπὸ περιττοσυλλάβου γενικῆς. ἔστι δὲ τοῦ φλεγύου καὶ φλεγύης εὐθεῖα, καὶ φλεγύς.

Φλιοῦς, πόλις πελοποννήσου, ἡ πρότερον ἀραιθυρέα, καὶ ἀραντεία, ἀπὸ Φλιοῦντος τοῦ Διονύσου, καὶ Χθονοφύλης. Παυσανίας δὲ ἀπὸ Φλίαντος. καὶ τὸ ἐθνικὸν, φλιούντιος, ἢ φλιάσιος. Φιλήτας δέ φησι, φλιοῦς, πόλις ἐστὶ τοῦ Διονύσου φίλ υἱὸς Φλιοῦς, ἣν αὐτὸς ἐδείματο λευκόλοφος. ὠνόμασται δὲ παρὰ τὸ φλεῖν, ὅ ἐστιν εὐκαρπεῖν. λακεδαιμόνιοι δὲ τῶν μηνῶν ἕνα φλιάσιον καλοῦσιν, ἐν ᾧ τοὺς τῆς γῆς καρποὺς ἀκμάζειν συμβέβηκεν. ὤφειλε δὲ ἀπὸ τῆς φλιοῦντος γενικῆς φλιούσιος. πλεονασμῷ δὲ τοῦ α, φλιάσιος. καὶ Τίμων ὁ περὶ σίλλων γεγραφὼς, φλιάσιος ἐχρημάτισε. τὸ θηλυκὸν, φλιουντία, καὶ φλιουντίς.

Φλυγόνιον, πόλις φωκίδος. λέγεται καὶ θηλυκῶς φλυγονία. ὁ πολίτης, φλυγόνιος, καὶ φλυγονιεύς.

Φλυεῖς, δῆμος τῆς κεκροπίδος φυλῆς. ὁ δημότης, φλυεύς, καὶ φλυῆθεν. τὰ τοπικὰ, φλύαθεν, φλύαζε, φλυῆσι.

Τὸ φι μετὰ τοῦ ο μικροῦ.

Φοιβία, πόλισμα σικυωνίων. τὸ ἐθνικὸν, φοιβίας, ἢ φοιβιανός.

Φοινίκαιον, ὄρος κορίνθου. Ἔφορος ἐννεακαιδεκάτῳ. τὸ ἐθνικὸν, φοινικαῖος.

Φοινίκη, ἡ χώρα, ἀπὸ τῆς φοίνικος γενικῆς, ὡς κρὴς, κρητὸς, κρήτη. λίβυς, λίβυος, λιβύη. ὁ δὲ φοῖνιξ ἦν Ἀγήνορος παῖς, καὶ Ποσειδῶνος, καὶ λιβύης. ἐκαλεῖτο δὲ πρότερον ῥαββώθη, καὶ κολπίτης. τὸ ἐθνικὸν τῷ ὀνόματι τοῦ οἰκιστοῦ, φοῖνιξ, καὶ φοινίκιος. τὸ κτητικὸν, φοινικικός. ἔστι καὶ φοῖνιξ οὐ πολὺ ἀπέχον ῥόδου. καὶ ποταμός ἐστι φοῖνιξ.

Φοινικοῦς, πόλις κρήτης. ἔστι καὶ νῆσος πρὸς τῇ λυκίᾳ. ἔστι καὶ φοινικοῦς λίμνη. Θουκυδίδης ὀγδόῃ. τὸ ἐθνικὸν, φοινικούντιος, καὶ φοινικούσιος, ὡς σελινούντιος, καὶ σελινούσιος.

Φοινικοῦσσαι, δύο νῆσοι ἐν τῷ λιβυκῷ κόλπῳ πρὸς τῇ καρχηδόνι, ὡς Ἑκαταῖος περιηγήσει λιβύης. οἱ νησιῶται, φοινικουσσαῖοι. ἔστι καὶ πόλις φοινίκων τῶν ἐν συρίᾳ φοινικοῦσσαι, ὡς αὐτὸς ἐν ἀσίᾳ.

Φοιτίαι, πόλις ἀκαρνανίας, ἀπὸ Φοιτίου, τοῦ Ἀλκμαίωνος, τοῦ Ἀμφιαράου. Πολύβιος τετάρτῳ. λέγεται καὶ φοίτιον. καὶ τὸ ἐθνικὸν, φοιτιεύς, καὶ φοίτιοι, ὡς Ἑλλάνικος ἐν δ

τοῖς ζωϊκοῖς.

φ ολέγανδρος, νῆσος τῶν σποράδων, ἀπὸ Φολεγάνδρου τοῦ Μίνωος, ἣν Ἄρατος σιδηρείην ὀνομάζει, διὰ τὴν ζαχύτητα. ὁ πολίτης, Φολεγάνδριος, καὶ Φολεγανδρῖνος. καὶ οὐδέτερον, Φολεγανδρῖνον.

φ όλον, πόλις ἀρκαδίας, ἀπὸ Φόλου τοῦ κενταύρου. τὸ ἐθνικὸν, φολοεὺς, ὡς λυκωνοεὺς, αὐτονοεὺς, μεδριεύς.

φ ορβαὶ, πόλις τῶν ἐν θετταλίᾳ ἀχαιῶν. τὸ ἐθνικὸν, Φορβαίτιος, ἐπειδὴ Φορβαίτιον ὄρος ζοιζίου ὅρος.

φ ορεντανὸν, πόλις ἰταλίας. τὸ ἐθνικὸν, Φορεντανός. Στράβων πέμπτῃ.

φ ορίεια, κώμη ἀρκαδίας. τὸ ἐθνικὸν, Φοριαεὺς, ὡς Ἔφορος ἐν ἕκτῳ τῶν ἱστοριῶν.

φ όρουννα, πόλις θρᾴκης. Πολύβιος ἐννάτῳ. τὸ ἐθνικὸν, Φορουνναῖος, ὡς οὐνναῖος, πελινναῖος, Φαλανναῖος.

φ οροβρεντάτιον, πόλις λιβύης. τὸ ἐθνικὸν, Φοροβρεντατηνός.

φ οῦνδα, ὡς νῶλα, πόλις ἰταλίας. οἱ πολῖται, φουνδανοί. Διονύσιος πεντεκαιδεκάτῳ ῥωμαϊκῆς ἀρχαιολογίας.

φ ουρνῖται, πόλις λιβύης. οἱ οἰκήτορες, φουρνιτανοί. Φλέγων πεντεκαιδεκάτῳ ὀλυμπιάδων.

τὸ φρ μετὰ τοῦ ρα.

φ ράασσα, μηδίας πόλις. Κουάδρατος παρθικῶν τετάρτῳ. τὸ ἐθνικὸν Φραασσηνὸς, κατὰ τὸ ἔθος τῆς χώρας.

φ ράγγοι, ἔθνος ἰταλίας, τῶν ἀλπίων ὀρῶν ἐγγύς. Παρθένιος ὁ φωκαεὺς πρώτῳ.

φ ράδα, πόλις ἐν δράγγαις, ἣν Ἀλέξανδρος προφθασίαν μετωνόμασεν, ὡς Χάραξ ἐν ἕκτῳ χρονικῶν.

φ ρεάρροι, δῆμος ἀθήνησι τῆς λεοντίδος φυλῆς, ἀπὸ φρεαρίου ἀθήνησιν ἐπισήμου ἥρωος. ὁ δημότης, Φρεάρριος. τὰ τοπικὰ, Φρεαρρόθεν, Φρεαρρόνδε, Φρεαρροῖ.

φ ρέγελλα, πόλις ἰταλίας, ἣ τὸ μὲν ἀρχαῖον ἦν ὀπικῶν, ἔπειτα οὐολούσκων ἐγένετο. τὸ ἐθνικὸν, Φρεγελλανὸς, ὡς Διονύσιος ἐν ιε ῥωμαϊκῆς ἀρχαιολογίας, καὶ ἄλλοι πλεῖστοι.

φ ρὴς, Φρητὸς, Φρῆτες, ἔθνος λιβυκὸν, ὡς Ἡρωδιανὸς τετάρτῳ.

φ ρίκιον, ὄρος ὑπὲρ θερμοπυλῶν λοκρικὸν, ἀφ' οὗ φρικανεὺς, καὶ φρικανεῖς οἱ αὐτόθι οἰκήσαντες αἰολεῖς, ὡς Ἑλλάνικος ἐν ἱερειῶν Ἥρας β. καλεῖται καὶ Φρικωνὶς ἡ λάρισσα, καὶ φρικωνῖτις. ἔδει δὲ οὖν φρικιεύς. καὶ τὸ θηλυκὸν, φρικιάς. ἐκλήθη δὲ ἀπὸ φρικίου τοῦ κενταύρου, ὃν ἀπέκτεινεν Ἡρακλῆς. οἱ οἰκοῦντες, Φρικωνέες, καὶ φρικωνεῖς. καλεῖται καὶ φρίκειον, ὃ καὶ σφίος ὠνομάζετο. λέγεται καὶ Φρικωνία, καὶ φρικωνίτης, καὶ φρικωνιάτης. κεῖται δὲ παρὰ Γαρμίνον τι τῶν Βυζαντίων ἐν προτέρῳ ἰάμβῳ.

φ ρίξα, πόλις. ἡ δὲ Φρίξα κεῖται μὲν τῆς ὀλυμπίας ἀπέχουσα σταδίους λ. Φερεκύδης δὲ ἀρκαδίας αὐτὴν γράφει. τὸ ἐθνικὸν, Φριξαῖος.

φ ρίξος, πόλις λυκίας. ἔστι καὶ φρίξου λιμὴν παρὰ τῷ στόματι τοῦ πόντου ἐν τῇ χαλκηδονίᾳ περαίᾳ, περὶ οὗ Νύμφις ἐν α. περὶ ἡρακλείας τάδε φησί. τὸ ἐθνικὸν, Φρίξιος. εἰ μή τις τῷ ἔθει τῆς λυκιακῆς τῆς ἐκεῖ, Φριξεὺς εἴποι τὸ ἐ

φ ρουρεντανοὶ, ἔθνος ἰταλίας. Ἀρ (θνικόν. τεμίδωρος τετάρτῳ γεωγραφουμένων.

φ ρυγία, δύο χῶραι. Στράβων, Φρυγία τε γὰρ ἡ μὲν καλὴ, καὶ μεγάλη, ἧς ὁ Μίδας ἐβασίλευε. καὶ τῆς ἄλλης, μέρος οἱ γαλάται κατέσχον. ἡ δὲ, μικρὰ ἐφ' ἑλλησπόντῳ, περὶ τὸν ὄλυμπον, ἡ καὶ ἐπίκτητος λεγομένη. οἱ δὲ ἑκατέρας, λέγονται Φρύγες, καὶ μυσοί. λέγονται καὶ φρίγες. τὸ ἐθνικὸν, Φρὺξ, καὶ φρύγιος, καὶ φρυγία ἄνθρωπος. καὶ Φρύγιον. καὶ Φρυγικὸς κτητικὸν, καὶ Φρυγικὴ, καὶ Φρυγικόν. καὶ Φρυγίζειν, καὶ Φρυγιστί. ἔστι καὶ Φρυγία τόπος τῆς οἴτης, ἀπὸ τοῦ ἐκεῖ πεφρύχθαι τὸν Ἡρακλέα. ἔστι καὶ τὰ Φρύγια οὐδετέρως, τόπος μεταξὺ βοιωτίας, καὶ ἀττικῆς. τὸ τοπικὸν, Φρυγιεὺς, ὡς μέγαρα, μεγαρεύς.

τὸ φυ μετὰ τοῦ υ. ψιλοῦ.

φ υκοῦς, πόλις λιβύης. κεῖται δὲ ὁ Φυκοῦς κατὰ τὸ ταίναρον τῆς πελοποννήσου. ὁ πολίτης, Φυκούσιος, ἐπειδὴ καὶ φυκουσία λίμνη. εἰσὶ καὶ Φυκοῦσσαι νῆσοι λιβύης. ὀνομάζονται δὲ διὰ τὸ φύκων εἶναι πλήρεις. οἱ νησιῶται, Φυκουσσαῖοι, ἢ φυκούσσιοι.

φ υλάκη, πόλις θετταλίας. οἱ δὲ εἶχον Φυλάκην, καὶ πύρασον ἀνθεμόεντα. ἀπὸ φυλάκου τοῦ Δηΐονος. τὸ ἐθνικὸν δύναται μὲν διὰ περιφράσεως ἐκ φυλάκης. εἴρηται δ' ὅμως Φυλακήσιος, ὡς ἰθακήσιος. καὶ τὸ ἐκ τόπου ἐπίρρημα Ἡλιόδωρος ἐν Πρωτεσιλάῳ, Ἀργείων τελέεσσιν, ὅσοι φυλακῆθεν ἕποντο.

φ υλὴ, δῆμος οἰνηΐδος φυλῆς. Ἀριστοφάνης ἀχαρνεῦσι, πόθεν ἀπὸ Φυλῆς ἔλαβον οἱ βοιωτοί. καὶ ἐν ἱππεῦσι, μὴ μνησικακήσῃς εἰ στὴν φυλὴν κατέλαβες. ὁ δημότης, Φυλάσιος. τὰ τοπικὰ, ἐκ Φυλῆς. καὶ πληθυντικῶς, οἱ ἀπὸ Φυλῆς. φυλήνδε, Φυλῆσιν. ἔστι καὶ φυλὴ τὸ τρίτον εἶδος τῶν παρ' ἕλλησι κοινωνικῶν. τὸ ἐθνικὸν, φυλέτης. καὶ κτητικὸν, φυλετικὸς, φυλετική.

φ υλλὶς, χώρα θρᾴκης. Ἡρόδοτος ἑβδόμῃ, ἡ δὲ γῆ αὕτη παρὰ τὸ πάγγαιον ὄρος καλεῖται Φυλλίς. ἔστι καὶ ποταμὸς βιθυνίας φυλλὶς, οὗ Φυλληῒς τὸ θηλυκόν. οἱ οἰκήτορες, Φύλλιοι, ἢ Φυλλιεῖς. ἀφ' οὗ τὸ θηλυκὸν Φυλληΐς.

φυλλοῦς,

Φ υλλοῦσ, πόλισ ἐν θετταλίᾳ. Στράβων ἐννάτῃ. Ῥιανὸς δὲ φύλλον θηλυκῶς λέγει ἐν ἐννάτῳ θεσσαλικῶν. οἱ δ᾽ ἀφαρ ὁ πλισθέντεσ, ἵξον κραναὴν ἐπὶ φύλλον. οἱ οἰκοῦντες, φυλλεῖς.

Φ ύλον, τὸ ἔθνος, ἀπὸ τῆς φυλῆσ δηλονότι, ἢ ἀφ᾽ οὗ ἡ φυλή. σύνθετον, ἔμφυλος, καὶ ἐμφύλιος, ὡς βοιώτιος, καὶ κύπρος, κύπριος. καὶ πάμφυλος, παμφύλιοσ. λέγεται καὶ φύλιος αὐτοῦ τῆς ἐν.

Φ υσκία, πόλισ λυκίασ, ἐφ᾽ ὑψηλοῦ ὄρουσ κειμένη. τὸ ἐθνικὸν, φύσκιος.

Φ ύσκος, πόλισ λοκρίδος, ἀπὸ φύσκου τοῦ Αἰτωλοῦ, τοῦ Ἀμφικτύονος, τοῦ Δευκαλίωνος. ἔστι καὶ ἑτέρα φύσκοσ τῆσ καρίασ. ἔστι καὶ λιμὴν ῥόδου. λέγεται καὶ ἀρσενικῶσ ὁ φύσκοσ ὁ φυσκός. φύσκοσ δὲ, ἀφ᾽ οὗ οἱ λέλεγεσ, οἱ νῦν λοκροί. Ῥιανὸς δὲ φυσκέασ αὐτοὺς καλεῖ. λέγεται καὶ φυσκεύσ. ἔστι καὶ ἄλλη μακεδονίασ, ἧς μέμνηται Θεαγένης ἐν μακεδονικοῖς. καὶ τὸ ἔθνος, φύσκοι, καὶ λοκροί. ἔστι καὶ ποταμὸς φύσκος, καθά φησι Ξενοφῶν ἐν κύρου ἀναβάσει.

Φ ύταιον, πόλις αἰτωλίασ. Πολύβιος ἐν δεκάτῳ. τὸ ἐθνικὸν, φυταῖος.

Φ ύτειον, πόλις ἤλιδος τῆς κοίλης, ἀπὸ φυτέως λέγων αὐτὴν ὠνομάσθαι. Ἴστρος δὲ τετάρτῳ τῶν ἠλιακῶν. τὸ ἐθνικὸν, φυτεάτης, ὡς γυθεάτησ. ὁ γὰρ τύπος ἀρκάσι συνήθης.

Τὸ φῖ μετὰ τοῦ ω μεγάλου.

Φ ώκαια, πόλις ἰωνίασ. Ἡρόδοτος πρώτῃ. λέγεται καὶ φωκαίη διὰ τοῦ η. ἐκλήθη δὲ διὰ τὸ πολλὰς ἀκολουθῆσαι φώκασ τοῖς κτίσασιν. ὁ πολίτησ, φωκαεὺς, καὶ φωκαιεὺς, καὶ φωκαΐτης. καὶ θηλυκὸν, φωκαΐσ. ἔστι καὶ ἄλλη πόλις τῆς καρίας ἐν τῇ μυκάλῃ. ἐθνικὸν τὸ αὐτό.

Φ ωκὶς, χώρα περὶ τὸν παρνασσόν. Ἑκαταῖος εὐρώπῃ. ἀπὸ φώκου τινός. οἱ κατοικοῦντες, φωκεῖς. καὶ φωκικὸσ πόλεμος, καὶ φωκική. ἔστι γοῦν καὶ παροιμία, φωκικὴ ἀπόνοια, ἐπὶ τῶν τὰ ἀνάλγη βουλευομένων.

Φ ωραμοὶ, τόπος ἤλιδος, μεταξὺ παρθενίου, ἐπιτήδειος εἰς ἐνέδραν, ἐν στενῷ κείμενος.

Φ ωρμανοὶ, πόλις ἰταλίασ. ἐθνικὸν τὸ αὐτὸ, διὰ τὴν πρόληψιν τοῦ χαρακτῆρος.

Φ ωτίναιον, προπαροξυτόνως, πόλις θετταλίασ, ὡς Ἑκαταῖος περιηγήσει εὐρώπης.

ΑΡΧΗ ΤΟΥ ΧΙ ΣΤΟΙΧΕΙΟΥ.

Τὸ χῖ μετὰ τοῦ ἄλφα.

Χ Αβαρηνοὶ, ἔθνος. Εὔδοξος πρώτῳ γῆς περιόδου, ὀνομάζονται γοῦν καὶ χαβαρηνοὶ, οἱ περὶ καλύβην οἰκοῦντες. οἱ τῶν ξενικῶν γυναικῶν, ὧν ἴσως γίνωνται κύριοι, τιτθοὺς ὠμοὺς ἐσθίουσι. τὰ δὲ παιδία καταδουλοῦσι.

Χ αδισία, πόλισ λευκοσύρων. Ἑκαταῖος γενεαλογιῶν δευτέρῳ, ἣ δὲ θέμις κούρη, πεδίον ἐστὶν, ἀπὸ χαδισίης μέχρι θερμώδοντος. Μένιππος δὲ χαδίσιον κώμην, καὶ ποταμὸν ἐν περίπλῳ τῶν δύο πόντων φησίν. ἀπὸ τοῦ λυκάστου εἰς κώμην καὶ ποταμὸν χαδίσιον, στάδια ἑκατὸν πεντήκοντα. ἀπὸ χαδισίου ἐπὶ τὸν ἶριν ποταμὸν, στάδια ἑκατόν. οἱ πολῖται, χαδίσιοι. καὶ χαδισία τὸ θηλυκόν. Ἀπολλώνιος β. νόσφι διάκοντο.

Χ αδραμωτῖται, ἔθνος περὶ τὸν ἰνδικὸν κόλπον, τῷ πλείονι παροικοῦντες ποταμῷ, ὥσ φησι Μαρκιανός.

Χ αζήνη ἢ χαζαπεία, πρὸς τῷ εὐφράτῃ τῆς μεσοποταμίας. Ἀρριανὸς ἐν ἑκκαιδεκάτῳ παρθικῶν, ἐν ταύτῃ τῇ ὀλβίᾳ, καὶ τὰ πεδία τῆς χαζήνης ἢ χαζαπείας, ἐπιμήκη ἐστὶν ἀποτεταμένα.

Χ αιρέου, πόλις αἰγυπτία, κατ᾽ ἔλλειψιν τοῦ πόλισ. τὸ ἐθνικὸν, χαιρεώτης, ὡς νικεώτης.

Χ αιρώνεια, πόλις πρὸσ τοῖσ ὅροις φωκίδοσ. Ἑκαταῖος εὐρώπῃ. ἐν δὲ, χαιρώνεια πόλισ. τὸ πρῶτον κέκληται ἀπὸ Χαίρωνος. Ἀριστοφάνης ἐν βοιωτικῶν δευτέρῳ, λέγεται δὲ οἰκιστὴν γενέσθαι τοῦ πολίσματος Χαίρωνα. τοῦτον δὲ μυθολογοῦσιν Ἀπόλλωνος καὶ Θηροῦς, ὡς Ἑλλάνικος ἐν δευτέρῳ ἱερειῶν Ἥρας, Ἀθηναῖοι καὶ μετ᾽ αὐτοὺς τοὺς ὀρχομενίζοντας τῶν βοιωτῶν ἐπὶ ὀρχομενοῖς καὶ χαιρώνειαν πόλιν ὀρχομενίων εἶλον. ἐκαλεῖτο δὲ ἡ πόλις καὶ ἄρνη τὸ ἀρχαῖον. ὅθεν καὶ Ὅμηρος, ὥς ἔμοιγε δοκεῖ, τοῖς ἀρχαιοτέροις ἐκ τῆς ἐπιχωρίου ὀνομασίας, καθότι αἴγυπτον τὸν ποταμὸν εἶπεν, οὐ νεῖλον. καὶ πανταχοῦ τοῖς ἀρχαιοτέροισ ὀνόμασι κέχρηται. ὁ οἰκήτωρ, χαιρωνεύς. τὸ θηλυκὸν, χαιρωνίς. καὶ κτητικὸν, χαιρωνικὸς, καὶ χαιρωνικά. Ἀπολλόδωροσ ἐν χρονικῶν δευτέρῳ, κατὰ τὴν μάχην ὥσ φασι τὴν χαιρωνικήν. μάτην δὲ τοῦτο διὰ τῆς ει διφθόγγου γράφει Ἀρκάδιος. τὸ τοπικὸν, χαιρωνική, ὡς μαντινική. ἐκ δὲ τοῦ χαιρωνὶσ, ἔστι χαιρωνικός.

Χ άλαιον, πόλισ λοκρῶν. Ἑκαταῖος εὐρώπῃ, μετὰ δὲ, λοκροί. ἐν δὲ, χάλαιον πόλις. ἐν δὲ, οἱ αἰνθήπολοι. τὸ ἐθνικὸν, χαλαῖος. Θουκυδίδης γ. Μεταπίουσ, καὶ ξιταίους, καὶ χαλαίους, καὶ κολοφωνίουσ, καὶ ἰστίους, καὶ οἰανθίους.

Χ αλάστρα, πόλις θρᾴκης, περὶ τὸν θερμαῖον κόλπον. Ἑκαταῖος εὐρώπῃ, ἐν δ᾽ αὐτῷ θερ

μη πόλις ἐλλιμένων θρηΐκων. ἐν ζ΄, χαλάστρη πόλις θρηΐκων. στράβων δ᾽ ἐν ἑβδόμῃ μακεδονίας αὐτὴν καλεῖ. ὠνόμασται δὲ ἀπὸ χαλάστρης. ἔστι δὲ λίμνη τῇ πόλει ὁμώνυμος. ὁ πολίτης, χαλαστραῖος. λυκόφρων, θεστρωτὸς ἄμφω, καὶ χαλαστραῖος λέων.

x αλδία, χώρα τῆς ἀρμενίας. μένιππος ἐν περίπλῳ τῶν δύο πόντων, τὴν μέχρι τούτων τῶν βαρβάρων ἐστὶν ἡ ποντικὴ βασιλεία, καὶ κατὰ τιβαρίνην, καὶ χαλδίνην, καὶ σαννικὴν. οἱ ἐν ταύτῃ κατοικοῦντες, χάλδοι. οὕτω τ᾽ ἐπεκράτησε.

x αλδαῖοι, οἱ πρότερον κηφῆνες, ἀπὸ κηφέως τοῦ πατρὸς ἀνδρομέδας, ἀφ᾽ ἧς καὶ τοῦ περσέως τῆς δανάης καὶ διὸς, περσεύς. ἀφ᾽ οὗ οἱ κηφῆνες καὶ χαλδαῖοι πρότερον ἐκλήθησαν, ὡς εἴρηται ἐν τῷ περὶ κηφηνίας. ἑλλάνικος δέ φησιν ἐν πρώτῳ περσικῶν, ὅτι κηφέως οὐκέτι ζῶντος, στρατευσάμενοι ἐκ βαβυλῶνος, ἀνέστησαν ἐκ τῆς χώρας, καὶ τὴν χώραν ἔσχον, οὐκέτι ἡ χώρη κηφηνίη καλεῖται. οἱ δ᾽ ἄνθρωποι οἱ ἐνοικοῦντες, κηφῆνες, ἀλλὰ χαλδαῖοι. καὶ ἡ χώρα αὕτη πᾶσα νῦν χαλδαϊκὴ καλεῖται. ἐκλήθησαν δὲ ἀπὸ χαλδαίου τινὸς, ὡς δικαίαρχος ἐν πρώτῳ τοῦ τῆς ἑλλάδος βίου. τούτῳ δὲ συνέσει καὶ δυνάμει διάφορον γενόμενον τὸν καλούμενον νῖνον, τὴν ὁμώνυμον αὐτῷ συνοικίσαι πόλιν. ἀπὸ δὲ τούτου τέταρτον ἐπὶ δέκα βασιλέα γενόμενον, ᾧ τοὔνομα χαλδαῖον εἶναι λέγουσιν, ὅν φασι καὶ βαβυλῶνα τὴν ὀνομαστοτάτην πόλιν περὶ τὸν εὐφράτην ποταμὸν κατασκευάσαι, ἅπαντας εἰς ταυτὸ συναγαγόντα τοὺς καλουμένους χαλδαίους. λέγεται καὶ χαλδαία χώρα. εἰσὶ δὲ καὶ χαλδαῖοι ἔθνοι πλησίον τῆς κολχίδος. σοφοκλῆς τυμπανισταῖς, κόλχος τε, χαλδαῖός τε, καὶ σύρων ἔθνος. οἱ μέντοι χαριέστερον περὶ βαβυλῶνα λέγουσιν οἰκεῖν αὐτοὺς, ὡς δείκνυται. μαντεῖον δ᾽ ἔχειν αὐτοὺς παρὰ βαρβάροις, ὡς δελφοὶ παρ᾽ ἕλλησι.

x αλία, πόλις βοιωτίας. θεόπομπος με΄. τὴν δὲ χαλίαν, καὶ τὴν καλουμένην ὑείαν, ἥπερ ἐστὶν ἐφεξῆς ἐκείνης τῆς βοιωτίας. τὸ ἐθνικὸν, χάλιος. ὁ αὐτὸς, ὕστερον δὲ οἱ χαλκιδεῖς πολεμήσαντες ἀνελεῦσι τοῖς τὴν ἤπειρον ἔχουσι χαλίοις, καὶ βοιωτοῖς, καὶ ὀρχομενίοις,

x αλισία, πόλις λιβύης. ἐφο (καὶ θηβαίοις. ρος πρώτῳ, ἀναχθέντι δ᾽ ἀπὸ τούτων, πόλις ὀνομαζομένη χαλισία. ἔστι καὶ ἄλλη πρὸς τῷ πόντῳ, μία τῶν ἀμαζόνων, ἧς οἱ οἰκήτορες χαλίσιοι.

x αλκεία, πόλις λιβύης. ὁ πολυΐστωρ ἐν λιβυκῶν τρίτῳ, ὡς δημοσθένης, ᾧ μεμφόμενος πολύβιος ἐν τῷ δωδεκάτῳ, ὧδε γράφει, ἀγνοεῖ δὲ μεγάλως καὶ περὶ τῶν χαλκείων. οὔτε γὰρ πόλις ἐστὶν, ἀλλὰ χαλκουργεῖα. ἔστι καὶ καείας χαλκαία, ἧς τὸ ἐθνικὸν χαλκαιάτης, ὡς κρατερῷ δοκεῖ.

x άλκη, πόλις λιβύης. μετὰ δ᾽ αὐτὴν, πόλις φοινίκων χάλκη. ἔστι καὶ ἄλλη χάλκη λαρισσαίας πόλις. θουκυδίδης ἕκτῃ, ἀπέπλευσεν εἰς χάλκην. ἐντεῦθεν δ᾽ εἰς ἄμμ. θεόφραστος δὲ χάλκιον αὐτὴν λέγει. λέγεται καὶ πληθυντικῶς χάλκαι. θεόπομπος πρώτῳ φιλιππικῶν, καὶ ζ΄ τῷ, ἐπισυνεπλέμησεν ὁρμώμενος ἐκ χαλκῶν τῆς λαρισσαίας. βαρύνεται, ὡς ἡρωδιανός φησι. τὸ ἐθνικὸν, χαλκαῖος, καὶ χαλκίτης.

x αλκηδὼν, πόλις βιθυνίας, ἡ πρὸς τῷ στόματι τοῦ πόντου, καταντικρὺ τοῦ βυζαντίου. ὁ πολίτης, χαλκηδόνιος. στράβων, χαλκηδόνιοι ἐπὶ τῆς περαίας ἱδρυμένοι, πλησίον * μετέχουσι τῆς εὐπορίας ταύτης. τὸ θηλυκὸν, χαλκηδονία, καὶ χαλκηδονίς. στράβων ἐν δωδεκάτῃ, καλεῖται δ᾽ ἀριστερὰ τοῦ πόντου, τὰ δ᾽ ἐν δεξιᾷ, χαλκηδονίς. καὶ μένιππος ἐν περίπλῳ βιθυνίας, ἀπὸ ἱεροῦ διὸς οὐρίου, καὶ τοῦ στόματος τοῦ πόντου ἀριστερὰν ἔχοντα τὴν ἤπειρον, καὶ ἐπιπλέοντα εἰς χαλκηδόνα τὴν πόλιν εἰσὶ στάδια ἑκατὸν εἴκοσιν. ἀπὸ δὲ ταύτης ἕως τοῦ ἀκρίτου, στάδια .ξ. μέμνηται ὁ αὐτὸς καὶ τῆς χαλκήτιδος νήσου. ἐκλήθη δὲ ἀπὸ χάλκιδος τοῦ προειρημένου ποταμοῦ, ὡς οἱ ἱστορικοὶ ἅπαντές φασι.

x αλκιτόριον, πόλις κρήτης. ὁ πολίτης, χαλκητορεύς. ἀπολλώνιος τετάρτῳ χρονικῶν, μεθ᾽ οὗ χαρίδημος ἦν φυγὰς χαλκητορεύς. κρατερὸς δ᾽ ἐν τῷ περὶ ψηφισμάτων χαλκήτορας αὐτούς φησι.

x αλκὶς, πόλις εὐβοίας. ἑκαταῖος εὐρώπῃ, χαλκὶς πόλις ἐστὶν, ἡ πρότερον εὔβοια προσηγορεύθη. ἐκλήθη δὲ ἀπὸ κωμώσης τῆς χαλκίδος καλουμένης θυγατρὸς ἀσωποῦ. τινὲς δὲ χαλκιδεῖς φασι κληθῆναι, διὰ τὸ χαλκουργεῖα πρῶτον παρ᾽ αὐτοῖς ὀφθῆναι. τὸ παλαιὸν δὲ στύμφηλος προσηγόρευτο, νῦν δὲ, ἁλικάρνα. ἀλλὰ καὶ ὑπὸ χαλκὶς, διὰ τὸ ὑποκεῖσθαι ὄρει λεγομένῳ χαλκίδι. μέμνηται δ᾽ αὐτοῦ καὶ ὁ ποιητὴς, χαλκίδ᾽ ἐρέτριάν τε, πολυστάφυλόν τ᾽ ἱστίαιαν. ὁ πολίτης, χαλκιδεὺς, ὡς ἀπὸ τῆς χαλκίδος γενικῆς, ὡς τοῦ ἀρκάδος, ἀρκαδεὺς, καὶ τοῦ τρωάδος, τρωαδεύς. καὶ τὸ θηλυκὸν, ὁμώνυμον τῇ πόλει, ὡς φωκὶς, λοκρὶς, ἡ χώρα, καὶ ἡ γυνή. ἑλλάνικος ἱερειῶν ἥρας δευτέρῳ, θεοκλῆς ἐκ χαλκίδος μετὰ χαλκιδέων καὶ ναξίων ἐν σικελίᾳ πόλεις ἔκτισε. τὸ κτητικὸν, χαλκιδικόν. ἀριστοφάνης ἱππεῦσι, τουτὶ τί δρᾷ τὸ χαλκιδικὸν ποτήριον. καλοῦνται δὲ καὶ οἱ ἐν τῇ κώμῃ τῆς σικελίας χαλκιδεῖς.

κιδεῖς. οὗτοι δ' ἄποικοί εἰσιν τῆς εὐβοίας. ἔστι καὶ χαλκιδικὸν ὄρος σικελίας, ὡς Πολύβιος πρώτῳ, Ἐκ τῶν συρακουσῶν ἐποιεῖτο τὴν πορείαν. καὶ κατεστρατοπεδεύσατο ἐκ θατέρου μέρους περὶ τὸ χαλκιδικὸν ὄρος καλούμενον. ἔστι καὶ χαλκὶς πόλις κορίνθου. δευτέρῃ, αἰτωλίας, ἀφ' ἧς ἀχελῷος ῥεῖ. Διονύσιος ὁ περιηγητής, Νήσων τ' ἀλλάων, ὅσσαι τ' ἀπὸ χαλκίδος εἰσὶ πόρων. τετάρτη, πόλις ἐν συρίᾳ, κτισθεῖσα ὑπὸ Μονικοῦ τοῦ ἄραβος. τὸ ταύτης ἐθνικὸν, χαλκιδηνός. ἔστι καὶ πόλις χαλκὶς ἐν σκυθίᾳ, ἧς οἱ πολῖται χαλκῖται. καὶ ἡ χώρα, χαλκῖτις, ὡς Ἑρμείας ἐν περιηγήσει. ἔστι καὶ πόλις χαλκῖτις ἐν μεσσαπίᾳ τῆς ἰταλίας. ἑβδόμη, νῆσος ἔχουσα πόλιν ὁμώνυμον πρὸς τῇ λέσβῳ, ἧς οἱ πολῖται χαλκιδεῖς. ἔστι καὶ ἐν ἄθῳ ἄλλη χαλκὶς, ὡς Εὔδοξος τετάρτῳ, Μετὰ δὲ τὸν ἄθω μέχρι παλλήνης, ἡ ἐνθάδε θάτερα πεποίηκε κόλπον βαθὺν καὶ πλατὺν χαλκίδα ἐπονομαζόμενον.

x αλκίτης, νῆσος ἀντικρὺ χαλκηδόνος, ἔχουσα χαλκοῦ μέταλλον. Ἀρτεμίδωρος ἐν ἑνδεκάτῳ γεωγραφουμένων, Ἀπὸ δὲ τοῦ ἀκρίτου παραπλεύσαντι, εὑρίσκεται στάδια ἑκατὸν δέκα, ἄκρα κεῖται ὑρὶς καλουμένη, καὶ νῆσος ταύτῃ παράκειται πιτυώδης. καὶ ἄλλη νῆσος καλουμένη χαλκίτης. καὶ ἄλλη, Πρῶτα λεγομένη. ἀπὸ δὲ ταύτης, εἰς τὴν χαλκίτην λεγομένην πόλιν, στάδια τεσσαράκοντα. τὸ ἐθνικὸν, χαλκίτης, ὡς προσωπίτιδος, προσωπίτης.

x αλυβδοι, περὶ τὸν πόντον ἔθνος, ἐνθάδε τῷ ποταμῷ θερμώδοντι, περὶ ὧν Εὔδοξος ἐν πρώτῳ, ἐκ δὲ τῆς χαλκοῦς χώρας ὁ σίδηρος ὁ περὶ τὰ στόματα ἐπαινούμενος ἐξάγεται. τούτους Ὅμηρος ἀλιζῶνάς φησιν ἐν τῷ μετὰ τῶν παφλαγόνας καταλόγῳ, Αὐτὰρ ἀλιζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον τηλόθεν ἐξ ἀλύβων, ὅθεν ἀργύρου ἐστὶ γενέθλη. ἤτοι τῆς γραφῆς μετατεθείσης ἀπὸ τοῦ τηλόθεν ἐκ χαλύβης, τῶν ἀνθρώπων πρῶτον ἀλύβων λεγομένων, ἀντὶ τοῦ χαλύβων. λέγεται καὶ μετὰ τοῦ δ. χαλυβδικὸς τὸ κτητικόν. Λυκόφρων, χαλυβδικοῦ κνώδοντα. καὶ ἡ χώρα χαλυβδικὴ λέγεται. καὶ χάλυβοι παρ' ἑκαταίῳ, χαλύβοισι πρὸς νότον ἀρμένιοι ὁμουναίουσι.

x ανδδένη, πόλις ἰαπυγίας. Ἑκαταῖος εὐρώπῃ, Εν δὲ, χανδδένη πόλις. μετὰ δὲ, πευκαῖοι.

x ανδανάκη, πόλις περσική. Ἑκαταῖος ἀσίας περιηγήσει. τὸ ἐθνικὸν, χανδανακηνός.

x αονία, μέση τῆς ἠπείρου. οἱ οἰκήτορες, χάονες. Ἑλλάνικος ἱερειῶν Ἥρας δευτέρῳ, Ἀμβρακιῶται, καὶ οἱ μετ' αὐτῶν χάονες, καὶ ἠπειρῶται. καὶ ὁ Πρόξενος δὲ καταλέγων αὐτούς φησι, χάονες, θεσπρωτοὶ, τυμφαῖοι, παραύλιοι ἀμύμονες, ἄβαντες, κασσωποί. λέγεται καὶ χαόνιος. Εὐφορίων χιλιάσι, Ζηνὸς χαονίοιο προμάντιες ηὐδάξαντο. καὶ χαονίη τὸ θηλυκόν. Ἀλέξανδρος, ὡς Ἐφέσιος ἐν ἀσίῃ, καὶ λιβύῃ, Οἱ δὲ κάτω, πελασγίδα χαονίην. καὶ χαονῖται. Λυκόφρων, Τοῦ χαονίτου νᾶμα πολυανθέος δρεπτῶν. καὶ ἀπὸ τοῦ χάονος, χαονίτης, ὡς αὔσονος, αὐσονίτης. ὁ αὐτὸς, Τὸν αὐσονίτην πύργον δομήσεται. καὶ ἐν κτητικῷ τύπῳ ὁ αὐτὸς, φθογγὴν εἰδώλων χαονιτικὴν ἄπο. καὶ χαονικῶν, ἀπὸ τοῦ χάονος. Ἑκαταῖος εὐρώπῃ, Ὁ δὲ κόλπος, κιραῖος. καὶ τὸ πεδίον, ἐν τῇ χαονικῇ. καὶ χαονὶς τὸ θηλυκὸν, ὡς αὐσονίς. λέγεται

x αράδρα, πόλις φωκίδος, οὐ πόρρω λιλαίας. τὸ ἐθνικὸν, χαραδραῖος. ἐπάγει γοῦν ὁ ἡρωδιανὸς χαραδραίοις γάρ.

x αράδρος, λιμὴν, καὶ ἐπίνειον κιλικίας. Ἑκαταῖος ἀσίᾳ, Μετὰ δὲ, χάραδρος ποταμός.

x αράκμωβα, πόλις τῆς ναβαταίας παλαιστίνης, ἣν ἀναγράφει Πτολεμαῖος ἐν γεωγραφικοῖς ἐν πέμπτῳ βιβλίῳ ἐν τοῖς ἀραβικοῖς, ἀξιόπιστος δ' ἀνὴρ περὶ τὰ τοιαῦτα. σπουδὴν γὰρ ἔθετο ἱστορῆσαι ἀκριβῶς τὰ τῆς ἀραβίας. καὶ μωβουχάραξ φησίν. ὁ πολίτης τοῦ μὲν χαράκμωβα, χαρακμωβηνός. ἐκ δὲ τοῦ μωβουχάραξ, μωβουχαρακηνὸς, ἐπεὶ καὶ τοῦ χάραξ, χαρακηνὸς, ὡς δείξομεν. καὶ τοῦ μώαβα τὸ ἐθνικὸν, μωαβίτης. Γλαῦκος ἐν ἀραβικῆς ἀρχαιολογίας τετάρτῳ, Ἡσύχαζον δ' ἐν τούτοις χαρακμωβηνοί.

x αραξ, ἀλεξανδρείας τόπος, περὶ κελαινὰς τῆς φρυγίας, ἔνθα Ἀλέξανδρος ὁ τοῦ φιλίππου ἐστρατοπεδεύσατο. τὸ ἐθνικὸν, χαρακηνός. ἔστι καὶ κρήτης ἄλλη πόλις χάραξ, ἡ νῦν ἀξάλλις. ἔστι καὶ ἄλλος χάραξ ἐμπόριον μέγιστον ἐν τῷ τῆς νικομηδείας κόλπῳ, πλησίον αὐτῆς. τὸ ἐθνικὸν αὐτοῦ, ὅμοιον. ἔστι καὶ ἄλλος τόπος τῆς ποντικῆς.

x αριμάται, ἔθνος πρὸς τῷ πόντῳ. Παλαίφατος ἐν ἑβδόμῳ τρωϊκῆς, Κερκεταίων ἔχονται μόσχοι, καὶ χαριμάται τῆς παρθενίου ἄκρας τοῦσιν εἰς τὸν εὔξεινον πόντον. καὶ Ἑλλάνικος ἐν κτίσεσιν ἐθνῶν, καὶ πόλεων, Κερκεταίων δ' ἄνω οἰκοῦσι μόσχοι, καὶ χαριμάται, κάτω δ' ἡνίοχοι, ἄνω δὲ, κοραξοί.

x αρισίαι, πόλις ἀρκαδίας, ἀπὸ χαρισίου παιδὸς λυκάονος. Παυσανίας ὀγδόῳ, ὠνομάσθη δέ *

x αρμάνδη, πόλις πέραν τοῦ εὐφράτου. Σοφαίνετος ἐν κύρου ἀναβάσει, Ἐπὶ δὲ ταῖς βαβυλωνίαις πύλαις πέραν τοῦ εὐφράτου πόλις ᾤκιστο, ὄνομα χαρμάνδη. τὸ ἐθνικὸν, τῷ μὲν τῆς τέχνης λόγῳ, χαρμανδαῖος, καὶ χαρμανδίτης, ὡς σιδήτης. τῷ δὲ τῆς χώρας ἔθει, χαρμανδηνός.

x αρμις, πόλις ἐν σαρδοῖ, κτίσμα καλχηδόνιον. τὸ ἐθνικὸν, χαρμίτης. Παυσανίας δέ φησι τὸ

x αξαμωτίτης, χώρα πλησίον τῆς ὄρους αὐτοῦ.

θρᾶς θαλάσσης. οἱ πολῖται, χατραμωτῖται.
Στράβων πεντεκαιδεκάτῃ, Γερραῖοι δ' εἰς τὴν
χατραμωτίτην. καὶ πάλιν, Πρὸς ἕω μάλιστα
χατραμωτῖται. Οὐράνιος δ' ἐν πρώτῳ ἀρα-
βικῶν χατραμώτας αὐτοὺς καλεῖ, Καμηλο-
νόμοι χατραμῶται, σαββαῖοι, καὶ ὀμηρῖται.
X ατηνία, χώρα τρίτη γερραίων. Πολύβιος ιγ. Ἔστι
δ' ἡ χατηνία τὰ ἄλλα μὲν λυπηρά, κώμαις δὲ καὶ
πύργοις διεσκευάσται, διὰ τὸ εὐκαιρεῖν τῶν γερ-
ραίων. οὗτοι γὰρ αὐτὴν νέμονται. ἔστι δὲ τῆς ἐρυ-
θρᾶς θαλάσσης. οἱ πολῖται, χατηνοί, ὡς αὐ-
τὸς μὲν γὰρ παρήγγελλε φείδεσθαι τῆς τῶν
X αῦνοι, ἔθνος θεσπρωτι- (χατηνῶν χώρας.
κόν. Ῥιανὸς τετάρτῳ θεσσαλικῶν, Κεστρηνοί,
χαῦνοί τε, καὶ αὐχήεντες ἐλινοί.
X αύων, χώρα τῆς μηδίας. Κτησίας ἐν πρώτῳ περ-
σικῶν, Ἡ δὲ Σεμίραμις ἐντεῦθεν ἐξελαύνει,
αὐτή τε, καὶ ἡ στρατιά. καὶ ἀφικνεῖται εἰς
χαύονα τῆς μηδίας. τὸ ἐθνικόν, χαυόνιος.

Τὸ χῖ μετὰ τοῦ ε ψιλοῦ.

X είμερα, πόλις σικελίας. Ξενοφῶν ἑλληνικῶν
πρώτῳ, Στρατεύοντες δ' εἰς σικελίαν δέκα μυ-
ριάσι στρατιᾶς, αἱροῦσιν ἐν τρισὶ μησὶ δύο πό-
λεις ἑλληνίδας, σελινοῦντά τε, καὶ χείμεραν.
τὸ ἐθνικόν, χειμεραῖος, ὡς ἱμεραῖος.
X ειμέριον, ἄκρα θεσπρωτίας. τὸ ἐθνικόν, χειμε-
ριεύς, ὡς ἐλευθεριεύς, βιθυνιεύς, βουπρα-
X ελιδόνιοι, ἔθνος ἰλλυρικόν. Ἑκαταῖος (σιεύς.
εὐρώπῃ, Σεσαρηθίων πρὸς βορέω οἰκέουσι
χελιδόνιοι. εἰσὶ καὶ χελιδόνιαι πέτραι, ὧν πολ-
λάκις ἐμνήσθημεν. δύο δέ εἰσι κεκλημέναι, ἡ
μὲν, κορύδελα, ἡ δέ, μελανίππεια, ὡς Φαβω-
ρῖνος ἐν τοῖς παντοδαποῖς.
X ελωνίται, νῆσος ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ. τὸ
ἐθνικόν, χελωνίτης. προειλήφθη γὰρ τὸ
ἐθνικὸν ἐν τῷ πρωτοτύπῳ.
X έμμις, πόλις αἰγύπτου. Ἡρόδοτος, Ἔστι καὶ
χέμμις πόλις μεγάλη νομοῦ τοῦ θηβαϊκοῦ, ἐγ-
γὺς τῆς νέας πόλιος. φησὶ δ' ὁ αὐτὸς καὶ νῆ-
σον εἶναι χέμμιν ἐν αὐτῇ. ὁ πολίτης, χεμμίτης.
κλίνεται δὲ διὰ τοῦ εως. χέμμεως. ἔστι καὶ χέμβις
νῆσος διὰ τοῦ β. ἐν βούτοις, ὡς Ἑκαταῖος ἐν περι-
ηγήσει αἰγύπτου, Ἐν βούτοις περὶ τὸ ἱερὸν τῆς
Λητοῦς, ἔστι νῆσος χέμβις ὄνομα, ἱρὴ τοῦ Ἀπόλ-
λωνος. ἔστι δ' ἡ νῆσος μεταρσίη, καὶ περιπλεῖ
ἐπὶ τοῦ ὕδατος, καὶ κινεῖται ἐπὶ τοῦ ὕδα-
τος. ὁ νησιώτης, χεμμίτης, καὶ χέμμιος.
X ερρόνησος, πόλις ἐν τῇ κατὰ κνίδον χερρονή-
σῳ. καὶ τρίπολις. ὁ πολίτης, χερρονήσιος. Αἴλια-
νὸς ἐν πρώτῳ ἱστορικῆς διαλέξεως, Χερρονή-
σιοι δ' ἀπὸ κνίδου. ἔστι δευτέρα πόλις ἐν τῇ θρά-
κῃ χερρόνησος, περὶ ἧς Ἑκαταῖος ἐν εὐρώπῃ,
Ἐν δ' αὐτοῖσι πόλις χερρόνησος ἐν τῷ ἰσθμῷ
τῆς χερρονήσου. καὶ τὸν πολίτην χερρονήσιόν φη-
σιν, Ἀψινθίοισι πρὸς μεσημβρίαν ὁμορέουσι

χερρονησῖται, ἀπὸ τῶν πυργίων ἐσημήναντο τοῖ-
σιν ἀθηναίοισι τὸ γεγονός. τούτους καὶ χερρονη-
σίους λέγει. ὧν τὸ θηλυκὸν Εὐριπίδης, Ὅς
τὴν ἀρίστην χερρονησίαν πλάκα σπείρει. ἔστι
καὶ τρίτη πόλις τῆς ταυρικῆς. Ἡρόδοτος τετάρ-
τῃ, Νέμεται τὸ ταυρικὸν ἔθνος μέχρι χερρονήσου,
τῆς τραχείας καλουμένης. τὸ ἐθνικὸν ταύτης,
χερρονησίτης. τετάρτη χερρόνησος κατὰ κρή-
την νῆσος, ἔχουσα πολισμάτιον ὁμώνυμον.
Ξενίων ἐν τῷ περὶ αὐτῆς με     τὴν κρήτην.
κατὰ δὲ τὴν αὐτὴν πλευρὰν καὶ χερρόνησος
κεῖται πρὸς τῇ θαλάσσῃ, μεταξὺ τῆς τε κνω-
σοῦ, καὶ τοῦ ὁ     οἱ πολῖται, ὁμοίως χερρο-
νησῖται, καὶ χερρονήσιοι, ὡς αὐτός φησιν. ἔστι πέμ-
πτη πόλις λιβύης χερρόνησος καλουμένη, ὡς Ἀλέ-
ξανδρος ἐν λιβυκῶν τρίτῳ, Ἔχεται χερρό-
νησος ὄνομα χέρρουρα. ὁ πολίτης, χερρου-
ραῖος, ὡς τὸ ταύχειρα, ταυχειραῖος. ἢ χερνησσός, ἡ
πρὸς τῇ κορίνθῳ. ἔστι καὶ ἄλλη ἄκρα χερρόνησος
ἐν λυκίᾳ, καὶ ἄλλη πρὸς τὴν κορρωνίτην πό-
λιν. τὸ ἐθνικὸν τούτου, χερρονήσιος.

Τὸ χῖ μετὰ τοῦ ἦτα.

X ῆνα, πόλις τῆς λακωνικῆς. ὁ πολίτης, χηνι-
εύς. οὕτω γὰρ μυσῶν τῶν ἑπτὰ σοφῶν κριθέν-
των, εἰς χηνιεὺς ἐχρημάτιζεν. ἀλλὰ καὶ χη-
νεύς, ὡς Πλάτων ἐν Πρωταγόρᾳ, Τούτων τῶν
ἀνδρῶν ἦν Θαλῆς, καὶ Πιττακός, καὶ Βίας, καὶ
Κλεόβουλος, καὶ Σόλων ὁ ἡμέτερος, καὶ Μύσων
ὁ χηνεύς, καὶ ἕβδομος ἐξ αὐτῆς τῆς λακεδαί-
μονος, Χίλων.
X ηνοβοσκία, πόλις αἰγύπτου. Ἀλέξανδρος ἐν
πρώτῳ αἰγυπτιακῶν, Ἀντικρὺ δὲ τοῦ διο-
πολίτου, χηνοβοσκίον μηδὲν εἰς τὴν προσηγο-
ρίαν ἐμφέρουσα. νομὰς γὰρ χηνῶν οὐκ ἀνίδη-
τις ὑπαρχούσας. βάλλουσιν δὲ τὴν περὶ κροκο-
δείλου σπουδήν. τὸ ἐθνικόν, χηνοβοσκιάτης.
X ήσιον, ἰωνίας πολίχνιον, ὡς Ἀπολλόδωρος
ἐν χρονικῶν πρώτῳ. ὁ πολίτης, χησιεύς, ὡς
ἴλιον, ἰλιεύς, σούνιον, σουνιεύς. Ὧρος δ' ἀρσε-
νικῶς αὐτήν φησι. καὶ οὐδὲ πόλιν, ἀλλὰ τόπον.

Τὸ χῖ μετὰ τοῦ ἰῶτα.

X ίος, ἡ ἐπιφανεστάτη νῆσος τῶν ἰώνων, ἔχου-
σα καὶ πόλιν ὁμώνυμον. Ἑκαταῖος εὐρώπῃ,
Χίος κατὰ ἐρυθράς. ἐν ᾗ δέ, πόλις χίος. ἀπὸ Χίου
τῆς Ὠκεανοῦ, ἢ ἀπὸ τῆς χιόνος τῆς ἐκεῖ γι-
γνομένης πολλῆς, ἢ ἀπὸ νύμφης τῆς Χιόνος.
ἔστι καὶ ἑτέρα πόλις καρίας χίος, ὑπὸ τὸ ὄ-
ρος τὸ πελλιναῖον, ὑπὸ πέτραν. ἔστι καὶ ἄλλη
κατὰ τὸ τρόπιον κειμένη ἐν τῇ χερρονήσῳ. καὶ
τετάρτη, ἐν εὐβοίᾳ. τὸ πρωτότυπον ὄνομα,
βραχὺ ἔχει τὸ ι, ὡς τὸ Μῆτι δ' ἡνίοχος, καὶ τὸ
Θέτι. Πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια
τείνει. καὶ τὸ μάστι. Θουκυδίδης ὀγδόῃ, Χῖοι δὲ καὶ
ἐρυθραῖοι ἀποστῆναι καὶ αὐτοὶ ἕτοιμοι ὄντες.
καὶ Ἡρόδοτος πρώτῃ, Χῖοι μὲν καὶ ἐρυθραῖοι κατὰ

αὐτὸ διαλέγονται. τὸ κτητικὸν, χιακὸς, ὡς τοῦ ῥόδιος, ῥοδιακός. σάμιος, σαμιακός. οὗτοι δὲ πρῶτοι ἐχρήσαντο θεράπουσιν, ὡς λακεδαιμόνιοι τοῖς εἵλωσι, καὶ ἀργεῖοι τοῖς γυμνησίοις, καὶ σικυώνιοι τοῖς κορυνηφόροις, καὶ ἰταλιῶται τοῖς πελασγοῖς, καὶ κρῆτες δμωΐταις. ὅτι παρ' αὐτοῖς ἐγένετο πρῶτον μέ

x ιτώνη, οὕτως ἡ Ἄρτεμις λέγεται (λας οἶνος. καὶ χιτωνία, ὡς παρὰ Μενίππῳ. ὁ Βυζάντιος, καὶ Ἐπίχαρμος ἐν σφιγγὶ, καὶ τὸ τῆς χιτωνίης αὐλήσατο τίς μοι μέλος.

τὸ χι μετὰ τοῦ νῦ.

x νὰ, οὕτως ἡ Φοινίκη ἐκαλεῖτο, ὥσπερ λᾶ, ἡ λακωνικὴ πόλις. τὸ ἐθνικὸν ταύτης, χνάος, ὡς τοῦ λᾶ, λάος. τὸ χι μετὰ τοῦ ο μικροῦ.

x οῖ, ἔθνος βεχείρων ἐγγύς. Ἑκαταῖος ἀσίᾳ, ἐς μὲν τοῦτο ἡ βεχειρική. ἔχονται δ' αὐτῶν χοῖ. καὶ πάλιν, μέχρι μὲν τούτων, χοῖ. καὶ πάλιν, χοῖσι δ' ὁμοῦ ῥέουσι πρὸς ἥλιον ἀνίσχοντα διζηρές.

x οιράδες, πόλις μοσυνοίκων. Ἑκαταῖος εὐρώπῃ, τιβαροῖσι δὲ πρὸς ἥλιον ἀνίσχοντα μοσύνοικοι ὁμοῦ ῥέουσιν. ἐν δ' αὐτοῖσι, χοιράδες πόλις. τὸ ἐθνικὸν, χοιραδεὺς, ὡς τοῦ ἀρκαδίας, ἀρκαδεὺς, καὶ τῆς χαλκίδος, χαλκιδεὺς, καὶ τῆς ζωάδος, ζωαδεύς.

x όλαργος, οὕτω δίδυμος, καὶ διόδωρος. Διονύσιος δὲ χολαργοὶ καὶ πληθυντικῶς. μαρτυρεῖ. ἔστι δὲ δῆμος τῆς ἀκαμαντίδος φυλῆς. ὁ δημότης, χολαργεύς.

x ολλίδαι, δῆμος τῆς λεοντίδος φυλῆς. ὁ δημότης, χολλίδης. Διογένης δ' ὁ λαέρτιος ἐν δευτέρῳ φιλοσόφου ἱστορίας χολλιδεύς φησι. τὰ τοπικὰ, ἐκ χολλιδῶν, εἰς χολλιδῶν, ἐν χολλιδῶν.

x ολοβητήνη, μοῖρα ἀρμενίας. Ἀρριανὸς ἐν ὀγδόῳ παρθικῶν. τιγράνης ἀρχόμενος, ἄρχεται σαζάπης. ἡ δὲ χώρα, ἣν ὑπεῖχεν, χολοβητηνὴ ὀνομάζεται. τὸ ἐθνικὸν ὁμοίως, διὰ τὴν πρόληψιν τῆς ἐν τῷ πρωτοτύπῳ τούτου.

x ομψὼ, νῆσος ἐν τῷ νείλῳ, μέση αἰθιοπίας, καὶ αἰγύπτου, ὡς Ἡρόδοτος δευτέρᾳ. τὸ ἐθνικὸν, χομψοίτης, ὡς σαβοίτης.

x ορασμίνη, πόλις πρὸς ἕω πάρθων. Ἑκαταῖος ἀσίας περιηγήσει, ἐν δὲ αὐτοῖς, πόλις χορασμίη. αὐτοὶ δὲ χοράσμιοι, ὡς αὐτός φησι, πάρθων πρὸς ἥλιον ἀνίσχοντα, χοράσμιοι οἰκοῦσι. καὶ Ἡρόδοτος τρίτῃ. πάρθοι δὲ καὶ χοράσμιοι, καὶ σόγδοι. καὶ πάλιν, τοῦτο τὸ πεδίον ἦν ποτε χορασμίων.

x ορσία, πόλις βοιωτίας. Παυσανίας ἐνάτῳ, ἐκ δὲ κυρτώνων ὑπερβάλλοντι τὸ ὄρος, πόλισμά ἐστι χορσίας. τὸ ἐθνικὸν, χορσιεύς.

x ορτασὼ, πόλις αἰγύπτου. ὁ σχηματισμὸς. ὡς γὰρ τοῦ καλύψω, ἡ καλυψὼ, οὕτω καὶ τοῦ χορτάσω, χορτασώ. ἱστοροῦσι γὰρ κλεο

πάτραν εἰς πόλεμον μὴ ἔχειν σιτία, τοὺς δ' οἰκοῦσι τὸν τόπον τοσαύτην παρασχέσθαι τούτοις τὴν ἀφθονίαν, ὥστε χορτάσαι τὴν στρατιὰν, καὶ ὄνομα τῇ πόλει παρ' αὐτῇ ἐντεῦθεν τεθῆναι. τὸ χι μετὰ τοῦ ῥῶ.

x ρυσαορεὺς, πόλις καρίας, ἡ ὕστερον ἀδριὰς ὀνομασθεῖσα. Ἀπολλώνιος ἑβδόμῳ καρικῶν, καὶ α. πόλιν τὴν ὑπὸ λυκίων κτισθεῖσαν. τὸ ἐθνικὸν, χρυσαορεὺς, ὡς αὐτὸς ἐν αὐτοῖς, ταυροπολῖται μὲν συνεμάχουν, καὶ πλαρασεῖς, ἔτι καὶ χρυσαορεῖς δέ. Ἐπαφρόδιτος δὲ τὴν καρίαν πᾶσαν χρυσαορίδα λέγεσθαι.

x ρύση, βαρυτόνως ἡ πόλις τοῦ Ἀπόλλωνος, ἐγγὺς λήμνου. Σοφοκλῆς λημνίαις, ὦ λημνοχρύσης τ' ἀγχιτέρμονος πάγοι. καὶ ἐν αἰχμαλώτισι, ταύτην ἐγὼ κέλαντε καὶ χρύσην. εἰσὶ καὶ ἄλλαι χρῦσαι ὁμώνυμοι πόλεις, καὶ τόποι πολλοὶ περὶ σκῦρον. καὶ τῆς λεσβίας τόπος. καὶ πανηφαιστία τῆς λήμνου ἀκρωτήριον, πρὸς τένεδον βλέπον. καὶ ἐν βιθυνίᾳ, καὶ περὶ χαλκηδόνα, καὶ τῆς καρίας. καὶ ἐν τῇ ἁλικαρνασίδι δώριον πεδίον. καὶ ἐν ἑλλησπόντῳ πόλις μέση ὀφρυνίου, καὶ ἀβύδου. ὁ πολίτης, χρυσεύς. ἔστι καὶ ἄλλη περισπωμένως λεγομένη νῆσος ὠκεανῖτις, ἣν οὕτω καλεῖ Διονύσιος, διὰ τὸ χρυσοῦ ἔχειν μέταλλα. ἔστι καὶ ἄλλη χερρόνησος τῆς ἰνδικῆς. Μαρκιανὸς ἐν περίπλῳ, ἐν δὲ τῇ ἐκτὸς γάγγου, ἰνδικὴ χρυσῆ καλουμένη χερρόνησος.

x ρύσιππα, οὐδετέρως, πόλις κιλικίας, ἀπὸ χρυσίππου τοῦ κτίσαντος. τὸ ἐθνικὸν, χρυσιππανὸς, ὡς τοῦ ἀργείππου, ἀργειππανός. ἄμεινον δὲ χρυσιππεύς. πολὺς γὰρ παρ' αὐτοῖς ὁ εἰς εὺς τύπος.

x ρυσόπολις, πλησίον χαλκηδόνος ἐν (πος. βιθυνίᾳ, τοῖς ἀνάπλουν πλέουσιν ἐν δεξιᾷ. Ἔφορος εἰκοστῷ ζ' τῷ, παραδοῦναι τὴν καλχηδονίων χρυσόπολιν τοῖς συμμάχοις. καὶ Θεόπομπος ἐν πρώτῳ ἑλληνικῶν, ἀνήχθησαν εἰς καλχηδόνα, καὶ βυζάντιον μετὰ τοῦ λοιποῦ στρατεύματος, βουλόμενοι χρυσόπολιν καταλαβεῖν. Διονύσιος δ' ὁ Βυζάντιος τὸν ἀνάπλουν τοῦ βοσπόρου γράφων, περὶ τοῦ ὀνόματος αὐτοῦ τάδε φησὶ, κέκληται δὲ χρυσόπολις, ὡς μὲν ἔνιοι φασὶν ὅτι τῆς περσῶν ἡγεμονίας ἐνταῦθα ποιουμένων τοῦ προσιόντος ἀπὸ τῶν πόλεων χρυσοῦ τὸν ἀθροισμόν. οἱ δὲ πλείους, ἀπὸ χρυσοῦ παιδὸς χρυσηΐδος, καὶ Ἀγαμέμνονος. ἔστι καὶ ἄλλη κιλικίας χρυσόπολις, ὡς Πολυΐστωρ. τὸ ἐθνικὸν, χρυσοπολίτης, ὡς τοῦ νικόπολις, νικοπολίτης.

τὸ χι μετὰ τοῦ υ ψιλοῦ.

x υτὸν, χωρίον ἠπείρου. Ἔφορος ἐν εἰκοστῷ ἑβδόμῳ, οἱ δ' ἐκ κλαζομενῶν, κατῴκησαν τῆς ἠπείρου τὸ χυτὸν καλούμενον. τὸ ἐθνικὸν, χυτίτης, ὡς ὄφλις, ὀφλίτης, λίκνος, λικνίτης.

x υζοὶ, κύπρου πόλις, ἣν ὠνομάσθαι μὲν ξενα-

ἱστορίας φησὶν ἀπὸ Χύτρου τοῦ Ἀλέδρου, τοῦ Ἀκάμαντος. ὁ πολίτης, Χύτριος. Ἀλέξανδρος ἐν τῷ περὶ Κύπρου, τὴν δὲ Γορδίαν ἀποδοῦναι Χυτρίοις· καὶ πόλις· Εὐρυνόμην τῶν Χυτρίων βασιλεὺς ἔγημεν· ἀναλογεῖ δὲ τὸ ἐθνικὸν πρὸς τὸ Χύτρον ἑνικῶς, ὡς Κύπριος, πρὸς τὸ Κύπρος.

Χ υτρόπολις, Θράκης χωρίον. Θεόπομπος Φιλιππικῶν εἰκοστῷ δευτέρῳ, παρῆλθεν ἡ Χυτρόπολις χω ἀπῳκισμένον ὑπὸ Ἀφυτέως. τὸ ἐθνικὸν ἑξῆς ἐπάγει, εἰς δεξαμένων ὧν τὸν Χυτροπολίτην αὐτόν.

Τὸ χι μετὰ τοῦ ω μεγάλου.

Χ ωλὸν τεῖχος, πόλις Καρίας, ὡς Ἀπολλώνιος ὀκτωκαιδεκάτῳ Καρικῶν. τὸ ἐθνικὸν, Χωλοτειχίτης, περὶ ὧν πολλάκις εἰρήκαμεν.

Χ ώνη, πόλις Οἰνώτρων, ἧς Στράβων μέμνηται ἐν ἑβδόμῃ, καὶ τὴν γῆν ὠνόμασε Χώνην· καὶ Χώνη πόλις ὑπὲρ αὐτῆς, ἀφ' ἧς οἱ ταύτης Χῶνες ἐκλήθησαν. ἡ δὲ χώρα, Χώνη. Λυκόφρων, Ἄρδην βαθεῖαν Χωνίαν παγκληρίαν. οὐ κακὸν καὶ Χώνιος, ὡς Θρᾷξ, Θρᾳκὸς, Θρᾴκιος, Θρᾳκία. Τρὼς, Τρωὸς, Τρωῒς, Τρωΐα.

Χ ώρα, ἡ μοιρικὴ γῆ, ἀφ' οὗ τὸ χώρημα. ἀφ' οὗ καὶ χώρα, καὶ χθὼν, καὶ χωρικὴ γῆ. ἀφ' οὗ καὶ χῶρος, καὶ χώρα. ὅθεν τὸ χωρίτης, ὡς τοῦ μέσου, μεσίτης, τόπος, τοπίτης. ἢ ἀπὸ τοῦ χώρα, χωρίτης, ὡς ἀπὸ τοῦ ἕδρα, ἑδρέτης. ἑσπέρα, ἑσπερίτης. Σοφοκλῆς Αἰγεῖ ἐκλυομένῳ, οὐκ ἔτωγε χωρίτην γ' ὁρῶ. καὶ ἐν Ἡρακλεῖ, στρέφει σικρήνης φύλλα, καὶ χωρίτην ὄφιν. καὶ Αἰσχύλος ἐν Λέοντι, σατυρικὸν ὁδοιπορῶν δήλημα χωρίτης δράκων. καὶ Ἀπολλώνιος ἐν τῷ Κανώβῳ, τρέψει δὲ νηὸν ὁ γλυκύς σε χωρίτης πλόος κομίζων δῶρα Νείλου πλησίου. καὶ χώριος οὐ σύνηθες, ἀλλὰ τὸ ἐγχώριος, καὶ ἐπιχώριος σύνηθες, ἐκ τοῦ ἐν χώρᾳ, καὶ ἐπὶ χώρας, ὡς τοῦ ἐν τόπῳ, ἐντόπιος, καὶ τοῦ ἐκ τόπου, ἐκτόπιος. τὸ ἐγχώριος, καὶ παρὰ Σοφοκλεῖ κεῖται. τὸ ἐπιχώριος, καὶ ἐπιχωριάζειν, ἐν τῷ περὶ ψυχῆς φησι Πλάτων.

Χ ωραμναῖοι, ἔθνος Περσικὸν ἀγρίων ἀνθρώπων. Κτησίας ἐν Περσικῶν δεκάτῳ. οὕτω δὲ ταχύς ἐστιν ὁ ἄγριος ἄνθρωπος, καὶ διώκων τὰς ἐλάφους καταλαμβάνειν. καὶ ἄλλα πλεῖστα περὶ αὐτῶν φησι.

Χ ωχὴ, κώμη πρὸς τῷ Τίγριδι ποταμῷ. Ἀρριανὸς δεκάτῳ, καὶ βασιλεὺς δὲ ὑπερελαύνει ἐκ Σελευκείας οὐ πρόσω τοῦ ποταμοῦ τοῦ Τίγριδος ἐς κώμην, ᾗτινι Χωχὴ ὄνομα. τὸ ἐθνικὸν, δύναται καὶ Χωχηνὸς, καὶ Χωχαῖος, ὡς τὰ παρακείμενα χωρία, Καῤῥαῖος, Καῤῥηνὸς, Βατναῖος, Βατνηνός.

## ΑΡΧΗ ΤΟΥ ΨΙ ΣΤΟΙΧΕΙΟΥ.

Τὸ ψι μετὰ τοῦ ἄλφα.

Ψ Ἀμμαθοῦς, πόλις Λακωνική. Ἀρτεμίδωρος δευτέρῳ γεωγραφουμένων, μετὰ δὲ τὸ Ταίναρον πόλις ἐκδέχεται Ψαμμαθοῦς. τὸ ἐθνικὸν, Ψαμμαθούντιος, καὶ Ψαμμαθούσιος, ὡς Σελινούντιος, Σελινούσιος.

Τὸ ψι μετὰ τοῦ ε ψιλοῦ.

Ψ εβὼ, χώρα ἐνδοτέρα Αἰθιοπίας, περὶ ἧς Ἀρισταγόρας ἐν Αἰγυπτιακοῖς τάδε γράφει, οὗτοι δή φασιν εἶναι τὴν χώραν ἀπέχουσαν Αἰθιοπίας ὁδῶν πέντε, καλουμένην Ψεβώ. Ἀρτεμίδωρος ὀγδόῳ γεωγραφουμένων λίμνην εἶναί φησι. τὸ ἐθνικὸν, Ψεβοίτης, ὡς Σεβοίτης.

Ψ ενακὼ, κώμη τοῦ Ἀθριβίτου νομοῦ, ὡς Ἀρτεμίδωρος ὀγδόῳ γεωγραφουμένων. οἱ κατοικοῦντες, Ψενακῶται ἂν κυρίως λέγοιντο.

Ψ ενερὸς, Αἰγυπτία κώμη. τὸ ἐθνικὸν, Ψενερίτης τῷ τύπῳ τῆς χώρας.

Ψ έντρις, Αἰγυπτία κώμη. κλίνεται Ψέντρεως. τὸ ἐθνικὸν, Ψεντρίτης, ὡς Λεπτίτης, Λέπτεως, καὶ Μεμφίτης, Μέμφεως.

Ψ ευδαρτάκη, λόφος ἐν Σκυθίᾳ μετὰ τὸ λεγόμενον ὄρος ἄπιον. τὸ τοπικὸν, Ψευδαρτακαῖος. καὶ κατὰ τέχνην, λέγεται Ψευδαρτακηνὸς, διὰ τὰ πλησιόχωρα.

Ψ ευδοκοράσιον, αἰγιαλὸς μέγας μεταξὺ Κωρύκου τῆς Σελευκείας τῆς παρ' Ἰσαύροις. Ἀρτεμίδωρος ἐννάτῳ τῶν γεωγραφουμένων, παραλλάξαντι δὲ ταύτην, αἰγιαλὸς ἄλλος ἐκδέχεται σταδίων τριαδν, μηνοειδὴς, ὕφορμος, καλούμενος Ψευδοκοράσιον.

Τὸ ψι μετὰ τοῦ ἦτα.

Ψ ησοὶ, ἔθνος τῆς Ταυρινίας. Ἀπολλόδωρος ἐν δευτέρῳ περιηγήσεως. ἔπειτα δ' ὑπὲρ μαώνασα, σὺν κῆπος· τυρὶ δὲ τὸ Ψησῶν ἔθνος.

Τὸ ψι μετὰ τοῦ ἰῶτα.

Ψ ίλιον, ποταμὸς μεταξὺ Θυνίας, καὶ Βιθυνίας. Δομίτιος Καλλίστρατος ἐν τρίτῳ περὶ Ἡρακλείας, ἐν κυριεύσαντος ἀπὸ τοῦ Σαγγαρίου χωρίου, εὗ τοῦ Ψιλίου ποταμοῦ. ἔστι καὶ ἄλλος Ψίλιος ποταμὸς τῆς Βιθυνίας, ἐκρέων εἰς τὸν Εὔξεινον πόντον. τὸ τοπικὸν, Ψιλίτης. ἐν δὲ τῇ συνηθείᾳ ἐπεκράτησεν ἀμφοτέρων τῶν ποταμῶν τοὺς οἰκήτορας Ψιλιανοὺς καλεῖν.

Ψ ιμάδα, χωρίον Ἰσαυρίας. τὸ ἐθνικὸν, Ψιμαδεῖς. Καπίτων πεντεκαιδεκάτῳ, Κόνωνα δὲ παρόντα Ψιμαδέα μεγάλως ἐφιλοφρονήσατο.

Ψ ίναφος, Αἰγύπτου πολίχνιον, ὡς Ἀλέξανδρος ἐν Αἰγυπτιακῶν δευτέρῳ. τὸ ἐθνικὸν, Ψινα-

Ψ ινέκταβις, κώμη Αἰγυπτία. κλίνε σφίτης. ται Ψινεκτάβεως. τὸ ἐθνικὸν Ψινεκταβίτης,

τῷ λόγῳ τῶν εἰς ις, καὶ τῷ τύπῳ τῆς χώρας.

ψ ιττακὴ, πόλις παρὰ τῷ τίγριδι, ἐν ᾗ τὸ φυτὸν τῶν ψιττακίων, ὡς Δαμόφιλος ὁ πολίτης, ψιττάκιος, ὡς ἀπὸ τοῦ ψιττακίου καρποῦ. τὸ κυριώτερον δὲ ἐθνικὸν, ψιττακηνὸς, διὰ τὸ ἐπιχώριον. ψιττακηνὴ ἡ χώρα, ἧς καὶ Ἀριστοτέλης μέμνηται ἐν τοῖς θαυμασίοις.

ψ ιττάχεμμις, κώμη τῆς αἰγύπτου. τὸ ἐθνικὸν, ψιττάχεμμίτης. καὶ τῷ τύπῳ τῶν εἰς ις. καὶ ὅτι τὸ ἁπλοῦν τὸ χέμμις, τὸ ἐθνικὸν, χεμμίτης. κώμη δὲ ἐστὶ καὶ αὐτὴ αἰγυπτία.

Τὸ ψ μετὰ τοῦ υ ψιλοῦ.

ψ υκτήριον, τόπος ἐν θράκῃ, ἀπὸ Ἡρακλέους ἀναψύξαντος τοὺς ἱδρῶτας ἐν τῷ καταπαλαῖσαι τὸν Ἀδραμύλην, καθώς φησιν Ἀπολλώνιος ἐν Κνίδης κτίσει. τὸ ἐθνικὸν, ὁμωνύμως, διὰ τὸ προκατειλῆφθαι τὸ πρωτότυπον ἔχον αὐτόν.

ψ ύλλα, χωρίον μεταξὺ ἡρακλείας τῆς τύπου. καὶ τοῦ πόντου. Μένιππος ἐν περίπλῳ τοῦ πόντου, ἀπὸ κρηνίδων εἰς ψύλλαν χωρίον στάδια εἴκοσιν. ἀπὸ ψύλλης χωρίου εἰς τίον πόλιν, καὶ ποταμὸν βίλλαιον, στάδια π. τὸ ἐθνικὸν, ψυλλάτης.

ψ ύλλοι, καὶ ψυλλικὸς κόλπος, ἐν τῷ λιβυκῷ κόλπῳ. Ἑκαταῖος περιηγήσει λιβύης, ὁ ψυλλικὸς κόλπος μέγας, καὶ βαθὺς, τριῶν ἡμερῶν πλοῦς. περὶ δὲ ψύλλων, Ἡρόδοτος τετάρτῃ, Νασαμῶσι προσόμοροί εἰσιν οἱ ψύλλοι. λέγονται δὲ ἀπὸ ψύλλου. οὗτοι λέγονται πᾶσι θηρίοις καὶ ἑρπετοῖς δακνόμενοι, ἀβλαβεῖς διατελεῖν.

ψ ύρα, νῆσος μικρὰ, πλησίον χίου, ἣν ὁ ποιητὴς ψυρίαν καλεῖ, νήσου ἐπὶ ψυρίης. τὸ ἐθνικὸν τοῦ ψύριος. καὶ τὸ θηλυκὸν, ψυρία. τὸ οὐδέτερον, ψύριον. Στράβων ἐν τεσσαρεσκαιδεκάτῃ ψυρά φησιν οὐδετέρως, τὰ ψυρὰ νῆσος ἀπὸ πεντήκοντα σταδίων τῆς ἄκρας. τὸ ἐθνικὸν, ψυρεὺς, ὡς μυρεύς. λαμβάνεται δὲ τὸ ὄνομα ἐπὶ εὐτελείας, διὰ τὸ εὐτελεστάτην εἶναι τὴν νῆσον. Κρατῖνος, ψυρᾶ τὸν Διόνυσον ἄγοντες. καὶ ἐν νεμέσῃ, ψυρᾶ τε τὴν σπάρτην ἄγεις.

ψ υττάλεια, νῆσος περὶ σαλαμῖνα. Ἡρόδοτος εἰς τὴν νησῖδα τὴν ψυττάλειαν, τὴν μεταξὺ σαλαμῖνος κειμένην, καὶ τῆς ἠπείρου. Ἡρωδιανὸς μέντοι ψυττάλην αὐτὴν καλεῖ. ἔοικε δὲ τὸ ψυττάλεια πρωτότυπον εἶναι, ὡς μαντίνεια, ἐρύθεια, ζέλεια. ἀφ' ὧν κατὰ συναλοιφὴν ἐγένετο ἀγάμη, μαντίνη, ζέλη, ἐρύθη. περὶ ὧν κατὰ τοὺς οἰκείους εἰρήκαμεν τόπους. τὸ ἐθνικὸν, ψυτταλεὺς, ὡς ἀτταλεὺς, μαντινεὺς, ἀντιοχεύς. ἔστι δὲ ἡ ψυττάλεια, ὡς ἀττάλεια. κέκληται δὲ ἀπὸ

ψ ύχιον, ὄρος κρήτης, ἐν ᾧ πόλις ψυττάλεια ὁμώνυμος. τὸ ἐθνικὸν, ψυχιεὺς, ὡς τοῦ νότιον, νοτιεὺς, δουλίχιον, δουλιχιεύς.

Τὸ ψ μετὰ τοῦ ω μεγάλου.

ψ ωφὶς, πόλις ἀρκαδίας. κέκληται ἀπὸ ψώφιδος τοῦ Λυκάονος, ὑφ' οὗ φασι τὸ παλαιὸν ἐκτίσθαι αὐτήν. ἢ ἀπὸ ψώφιδος τῆς Ἔρυκος θυγατρός. ἔστι καὶ ἑτέρα πόλις ψωφὶς ἀκαρνανίας, ἡ παλαιὰ λεγομένη. ἔστι καὶ τρίτη τῆς ἀχαΐας. ὁ πολίτης ὤφειλεν εἶναι ψωφίτης τῷ τύπῳ τῶν εἰς ις ληγόντων, ἀλλὰ γέγονεν ἀπὸ τῆς γενικῆς, ὡς τῆς ἀρκάδος, ἀρκάδιος, καὶ τῆς αὐλίδος, αὐλίδιος, οὕτω ψωφίδος, ψωφίδιος. Ἑκαταῖος γενεαλογιῶν δευτέρῳ, καπ ἦν ἐν τῷ ὄρει, καὶ ψωφιδίους κατὰ πόλιν ἔορτεν. ἔστι καὶ ἑτέρα ψωφὶς, πόλις λιβύης. ὁ πολίτης, ψωφίτης τῷ τῆς χώρας τύπῳ. λέγεται καὶ ἡ ζακυνθίων ἀκρόπολις ψωφὶς, ὡς Παυσανίας φησὶν ὀγδόῳ περιηγήσεως.

ψ ωχέμμις, πολίχνιον αἰγύπτου. Ἀρτεμίδωρος ὀγδόῳ γεωγραφουμένων, καὶ περικερμὶς ἐκ δεξιῶν μερῶν, καὶ θαλαβαῦση, καὶ ψωχέμμις. τὸ ἐθνικὸν, ψωχεμμίτης τῷ ῥηθέντι λόγῳ ἐν τῷ ψιττάχεμμίτου.

## ΑΡΧΗ ΤΟΥ · Ω · ΜΕΓΑΛΟΥ ΣΤΟΙΧΕΙΟΥ.

Τὸ · ω · μέγα μετὰ τοῦ βῆτα.

ω Βαρηνοὶ, μέρος ἀρμενίας, περικείμενον Κύρῳ ποταμῷ, ὅς τις Εὐφράτην παράλληλος ἔχει. μέμνηται δὲ αὐτῶν καὶ Κουάδρατος ἐν ἕκτῳ παρθικῶν. Παρὰ δὲ κύρῳ ποταμῷ ὠβαρηνοί ταὶ, καὶ ὠγηνοὶ νέμονται, μέγα μέρος ἀρμενίας ὄντες.

Τὸ · ω · μέγα μετὰ τοῦ γάμμα.

Ω γενος, ἀρχαῖος θεὸς, ὅθεν ὠγενίδαι καὶ ὠγένιοι ἀρχαῖοι. Παρθένιος ὁ Φωκαεὺς, Δηλωσύνη τὲ ἑῶ τηθάτε καὶ ὠγενίης στυγὸς ὕδατι.

Ω γυγία, νῆσος ἀρχαία, ἔνθα Ὀδυσσεὺς ἐκ τοῦ ναυαγίου ἐξερρίφη. λέγεται καὶ ἡ βοιωτία, καὶ ἡ θήβη, ἀπὸ Ὠγύγου υἱοῦ Τερμέρας ταῖς λέγονται καὶ οἱ λύκιοι ὠγύγιοι ἐξ αὐτοῦ Ὠγύγου. ἐλέγετο καὶ ἡ ἀττικὴ παρὰ ὠγυγίας, Χάραξ φησὶν ἐν τοῖς χρονικοῖς.

Ω γυλος, νῆσος μεταξὺ πελοποννήσου, καὶ κρήτης. τὸ ἐθνικὸν, ὠγύλιος.

Ω γυρις, νῆσος ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ. τὸ ἐθνικὸν, ὠγυρίτης διὰ τὴν συνήθειαν τοῦ τόπου. ὁμηρίται γὰρ, καὶ σαβαῖται, καὶ ἄλλα παραπλήσια πλεῖστα.

Τὸ · ω · μέγα μετὰ τοῦ δέλτα.

Ω δωνοὶ, ἔθνος θράκης τοῖς μήδοις ὅμορον. Διονύσιος ἐν βασσαρικῶν τεσσαρεσκαιδεκάτῳ, Μαίδοντες ἄγρια φῦλα, καὶ ὠδωνοὶ ἐγχεσίπαλοι.

Τὸ · ω · μέγα μετὰ τοῦ κάππα.

Ω καλέα, πόλις βοιωτίας. Ὠκαλέην, μεδεῶνά τε ἐϋκτίμενον πτολίεθρον. Ὅμηρος. ἔστι δὲ πρὸς τῇ ἁλιάρτῳ. ἐκαλεῖτο δὲ ὠκάλεια, ὡς Ἀπολλόδωρος. τὸ ἐθνικὸν, ὠκαλεύς. ὡς μέν τινες ἐκλήθη δὲ οὕτω, διὰ τὸ συντόμως πορεύεσθαι

ἐκ θεσπιῶν εἰς θήβας. αἱ δὲ θεσπιαὶ γειτονοῦσι καὶ ὁμοροῦσιν αὐτῇ.

Ω κεανὸς, ὁ ποταμὸς ὁ περιέχων τὴν γῆν. Φαβωρῖνος ἐν ταῖς παντοδαπαῖς ἱστορίαις, προσαγορεύουσι δὲ τὴν ἔξω θάλατταν ἐκείνην μὲν οἱ πολλοὶ τῶν βαρβάρων ὠκεανόν. οἱ δὲ τὴν ἀσίαν οἰκοῦντες, μεγάλην θάλατταν. οἱ δ᾽ ἕλληνες, ἀτλαντικὸν πέλαγος. ἐκλήθη δ᾽ οὕτω παρὰ τὸ ὠκέως νάειν, ὅ ἐστι ῥεῖν. οἱ παροικοῦντες, ὠκεανῖται. καὶ τὸ θηλυκὸν, ὠκεανῖτις. ἀλλὰ καὶ ὠκεανὶς ἐκ τοῦ ὠκεανός. καὶ ὥσπερ παρὰ τὸ ποταμὸν, καὶ κηφισὸν, καὶ παρὰ, γίνεται ἐκ δύο εἰς ἓν παραγωγὴ, παραποτάμιοι, καὶ παρακηφίσιοι, οὕτω καὶ ἐκ τοῦ πρὸς, καὶ ὠκεανὸν, προσωκεάνιοι. προσωκεανίους ἔφησεν ἐν ἐννεακαιδεκάτῳ τῆς ῥωμαϊκῆς ἀρχαιολογίας Διονύσιος ὁ ἁλικαρνασεὺς, οὕτω λιβύην χειρωσάμενος μέχρι καὶ τῶν προσωκεανίων ἐθνῶν. περὶ δὲ τῆς τοιαύτης παραγωγῆς, πολλάκις εἰρήκαμεν.

Τὸ. ω. μέγα μετὰ τοῦ λάμβδα.

Ω λενος, πόλις ἀχαΐας, καὶ αἰτωλίας, θηλυκῶς λεγομένη. Αἰσχύλος, Γραύσιον τὴν αἰπεινὴν ζαθέαν ὤλενον. Σοφοκλῆς ἐν ἱππῶνι, Ἐξ ὠλενίου γῆς φορβάδος κομίζομαι. γ. Ἀπολλόδωρος δὲ ἀρσενικῶς αὐτήν φησιν ἐν ὀγδόῳ τοῦ νεῶν καταλόγου, τὸν ὤλενον, καὶ τὴν πελήνην. νῦν μὲν οὐκέτι εἶναι συμβέβηκε. κέκληται δ᾽ ἀπ᾽ Ὠλενίου τοῦ διὸς, ὡς Ἴστρος ἐν αἰγυπτίων ἀποικίαις, τῶν δὲ δαναΐδων Ἀναξιθέας καὶ Διὸς, ὤλενον γενέσθαι τὸν ἄρξαντα τῶν ὠλενίων. ἔστιν οὖν καὶ ἄλλη αἰτωλίας, ἧς Ὅμηρος μνημονεύει, Οἳ πλευρῶν᾽ ἐνέμοντο, καὶ ὤλενον, οἱ δὲ, πελήνην. τὸ θηλυκὸν, ὠλενία. Ἡσίοδος, Ὤκεε δ᾽ ὠλενίην πέτρην ποταμοῖο παρ᾽ ὄχθας. τὸ τοπικὸν ἐπιρρηματικῶς, ὠλενίηθεν. τὸ οὐδέτερον, ὠλένιον.

Ω λερος, κρητικὴ πόλις. περὶ ἧς Ξενίων ἐν κρητικοῖς φησι, Πορρωτέρω δὲ τῆς ἱεράς πύτνης ὤλερος ἦν πόλις, ἐφ᾽ ὑψηλοῦ μὲν κειμένη τόπου. ὁ πολίτης, ὠλέριος. καὶ ὠλερία ἀθηνᾶ. τὸ οὐδέτερον, ὠλέριον. φησὶ γὰρ οὕτω, τῇ δὲ θεῷ ταύτῃ ἑορτὴν ἄγουσιν ἱεραπύτνιοι. τὴν δ᾽ ἑορτὴν ὠλερίαν προσαγορεύουσιν.

Ω λίαρος, νῆσος τῶν κυκλάδων μία, περὶ ἧς Ἡρακλείδης ὁ ποντικὸς ἐν τῷ περὶ νήσων οὕτω φησὶν, Ὠλίαρος σιδωνίων ἀποικία, ἀπέχουσα πάρου σταδίους πεντηκονταοκτώ. τὸ ἐθνικὸν, ὠλιαρίος, ὡς ἄμυρος, ἀμύριος.

Ω λινα, πόλις πρὸς τῇ κελτικῇ θαλάσσῃ. τὸ ἐθνικὸν, ὠλιναῖος, ὡς πελιναῖος, τῆς πελήνης.

Τὸ. ω. μέγα μετὰ τοῦ πι.

Ω πίαι, ἔθνος ἰνδικόν. Ἑκαταῖος ἀσίᾳ. Ἐν δ᾽ αὐτοῖς οἰκέουσιν ἄνθρωποι παρὰ ἰνδὸν ποταμὸν ὠπίαι. ἐν δὲ, τεῖχος βασιλήιον μέχρι τούτου ὠπίαι. ἀπὸ τούτου ἐρημίη μέχρις ἰνδῶν.

Τὸ. ω. μέγα μετὰ τοῦ ῥῶ.

Ω ρεὸς, πόλις εὐβοίας. ἡ δὲ εὔβοια νῆσός ἐστι περιφανεστάτη τῆς ἑλλάδος, ἡ λεγομένη εὔριπος. τούτου τὸ ἐθνικὸν διὰ τῆς. ει. διφθόγγου γράφεται, ὠρείτης, ὡς ζελείτης. σαμαρείτης. μαρωνείτης. μέμνηται τοῦ ἐθνικοῦ καὶ Χάραξ ἐν χρονικῶν ἑκκαιδεκάτῳ. Ἀθηναῖοι ἅμα χαλκιδεῦσι τοῖς ἐν εὐβοίᾳ, καὶ μεγαρεῦσι στρατευσάμενοι εἰς ὠρεὸν, Φιλιστίδην τὸν τύραννον ἀπέκτειναν, καὶ ὠρείτας ἠλευθέρωσαν. Ἀπολλόδωρος δὲ τετρασυλλάβως φησὶν, οὐ διὰ τῆς. ει. διφθόγγου, ἀλλὰ διὰ τοῦ ε, καὶ. ι, ὠρεΐτας, οὕτω τὴν τῶν ὠρεϊτῶν νύκτωρ αἱροῦσι πόλιν. καὶ δοκεῖ ἀναλογώτερον εἶναι. τὰ γὰρ ἀπὸ τῶν εἰς. ος. διὰ τοῦ ιτης παραγόμενα, μιᾷ συλλαβῇ πλεονάζει τῆς τοῦ πρωτοτύπου γενικῆς, σάγειρ, σαγείρου, σαγειρείτης. ἄβδηρος, ἀβδήρου, ἀβδηρείτης. πεντάσχοινος, πενταχοίνου, πενταχοινίτης. δίολκος, διόλκου, διολκίτης. οὕτως ὠρεὸς, ὠρεοῦ, ὠρεΐτης. καὶ κατὰ σύνοδον τοῦ. ε. καὶ. ι, ὠρείτης. οὐχ ὅμοιον δὲ τούτῳ τὸ ζελείτης, καὶ σαμαρείτης. ταῦτα γὰρ ἀπὸ τῶν εἰς. α. καθαρὸν ληγόντων παρῆκται.

Ω ρικὸς, πόλις ἐν τῷ ἰονίῳ κόλπῳ. Ἑκαταῖος λιμένα καλεῖ ἠπείρου τὸν ὠρικὸν ἐν τῇ εὐρώπῃ. Μετὰ δὲ, βουθρωτὸς πόλις. μετὰ δὲ, ὠρικὸς λιμήν. Ἀπολλόδωρος δὲ ὁ θαυμασιώτατος πόλιν αὐτὴν οἶδε. λέγεται ἀρσενικῶς, ὡς Πολύβιος ἑβδόμῳ. Οἱ δὲ τὸν ὠρικὸν κατοικοῦντες, οἳ καὶ πρῶτοι κεῖνται παρὰ τὴν εἰσβολὴν πρὸς τὸν ἀδρίαν, ἐκ δεξιῶν εἰσπλέοντι. ὁ πολίτης, ὠρίκιος. τὸ θηλυκὸν, ὠρικία, ἡ χώρα, καὶ ἡ γωνία.

Ω ρισία, πόλις ἰβηρίας. τὸ ἐθνικὸν, ὠριτανός. Ἀρτεμίδωρος ἐν δευτέρῳ γεωγραφουμένων. ἀμφότεροι γάρ φησι κατοικοῦσι τὴν παραλίαν, καί τινα τῆς μεσογείου, πρῶτον μὲν ὠριτανοί. πόλεις δ᾽ ἐν αὐτοῖς εἰσι μεγάλαι, ὀρσία, καὶ κατάλων.

Ω ρῖται, ἔθνος ἰνδικὸν αὐτόνομον. Στράβων πεντεκαιδεκάτῃ, ὁρίζοντι αὐτοὺς ἀπὸ τῶν ἑξῆς ὠριτῶν, ἰνδῶν δέ ἐστι καὶ αὕτη μοῖρα, ἔθνος αὐτόνομον. καὶ Ἀπολλόδωρος δευτέρῳ, Ἔπειτα δ᾽ ὠρίτας τε καὶ γεδρωσίους. ὧν τοὺς μὲν ἰνδοὺς, ὡς ἐνοικοῦντας τὴν πέζαν.

Ω ρύχιον, τόπος τῆς ἀττικῆς. τὸ τοπικὸν, ὠρύχιος. Εὐφορίων Διονύσῳ, Ἴχνος ἐν ὠρυχίοισιν ἕρκεσιν ὀκλάσσαιντο.

Ω ρωπὸς, πόλις μακεδονίας, ἐξ ἧς Σέλευκος ὁ νικάτωρ. καὶ ἄλλη βοιωτίας, περὶ ἧς Εὐφορίων, Κλισμοὶ ῥεῖς αὐλητῆς, ὠρωπός τε, καὶ ἀμφιάρεια λοεστά. κέκληται ἀπὸ Ὠρωποῦ τοῦ μακεδόνος, τοῦ Λυκάονος. ἔστι καὶ ἄλλη εὐβοίας. Ἀριστοτέλης γοῦν τὸν ὠρωπὸν γραΐαν φησι

λέγεσθαι. ἡ δὲ γραῖα, τόπος τῆς ὠρωπίας, πρὸς τῇ θαλάσσῃ καὶ ἐρετρίας, καὶ εὐβοίας κειμένη. ἔστι καὶ τρίτη ἐν συρίᾳ, κτισθεῖσα ἀπὸ Νικάτορος, περὶ ἧς ὁ πολυΐστωρ ἐν τῇ περὶ συρίας φησὶν οὕτω, Ξενοφῶν ἐν ταῖς ἀναμετρήσεσι τῶν ὅλων περὶ ἀμφίπολιν κεῖσθαι ὠρωπὸν, ἣν πρότερον τελμισσὸν καλεῖσθαι ἀπὸ τῶν κτισάντων. ταύτην δ' ἔφασαν ὑπὸ σελεύκου τοῦ Νικάτορος ἐπικτισθεῖσαν, ὠρωπὸν καλεῖσθαι, ἀπὸ τοῦ ἐν τῇ ἑλλάδι ὠρωποῦ. ἔστιν οὖν καὶ τετάρτη ἐν ἄργει, ὕστερον κτισθεῖσα. καὶ πέμπτη ἡ ἐν θεσπρωτίᾳ, ἤτοι ἐν νικοπόλει. λέγεται καὶ ἀρσενικῶς. Θουκυδίδης ὀγδόῃ, Ἔχοντες οὖν τὸν ὠρωπὸν, ἀφικνοῦνται εἰς τὴν ῥόδον. τὸ ἐθνικὸν, ὠρωπεύς. οὕτω γοῦν ὡς αὐτὸς ἐν νεῶν καταλόγῳ πρώτῃ, Ἔστι δ' ἡ γραῖα τόπος, τῶν ὠρωπίων πόλις. Στράβων δ' ἐν τῇ ἐννάτῃ φησὶν, Ἀπὸ τῆς ὠρωπίας, ἐπὶ τὴν δύσιν. ὡς ἀπὸ τοῦ ὠρώπιος. εἰ δ' ἦν ἀπὸ τοῦ ὠρωπιδος, ὠρωπιὰς εἶπε. Παυσανίας δὲ ἐν τῷ ἑβδόμῳ, τὴν μὲν πόλιν θηλυκῶς εἶπε, Διαρπάζουσιν ὠρωπὸν ὑπήκοον σφίσιν. οὕτω τὸ ἐθνικὸν, οὕτω καταφεύγουσιν ἐπὶ τὴν ῥωμαίων βουλὴν οἱ ὠρώπιοι. καὶ Θουκυδίδης δευτέρᾳ, Γαριόντι ὠρωπὸν γῆν τὴν γραικὴν καλουμένην, ἣν νέμονται ὠρώπιοι, ἀθηναίων ὑπήκοοι ἐδῄωσαν. καὶ Θεόπομπος καὶ Ἑλλάνικος ἀνακοινοῦνται τῶν ὠρωπίων Τηλέφῳ, καὶ τοῖς μετ' ἐκείνου βουλομένοις, καὶ τὸν ὠρωπὸν ὑπάρχειν αὐτοῖς.

Τὸ . ω . μέγα μετὰ τοῦ σίγμα.

Ω στία, πόλις ἰταλίας. Ἰόβας ἐν πρώτῳ ῥωμαϊκῆς ἱστορίας, Ἀπὸ μὲν τῶν βορείων μερῶν ὁ τίβρις, ὠστία πόλις πλησίον. καὶ Πολύβιος ἕκτῳ, Ἔκτισε δὲ καὶ πόλιν ὠστίαν ἐπὶ τοῦ τιβέριδος. ἐκτίσθη δ' ὑπὸ Μαρκίου βασιλέως τοῦ ἀπὸ νουμᾶ τρίτου, ὡς Διονύσιός φησιν ἐν ῥωμαϊκῇ ἀρχαιολογίᾳ. τὸ ἐθνικὸν, δύναται καὶ ὠστιανὸς, καὶ ὠστιάτης. συνήθης δ' ὁ τύπος τοῖς ἰταλοῖς. Φλέγων δὲ ὠστίους αὐτοὺς καλεῖ, λέγων, Παρέλαβε δὲ τὴν ὠστίων πόλιν. Στράβων δὲ ἐν τρίτῃ οὕτω φησὶν οὐδετέρως, τὰ ὤστια τῆς ῥώμης ἐπίνειον.

Ω στίωνες, ἔθνος παρὰ τῷ δυτικῷ ὠκεανῷ, οὓς κοσσίνους Ἀρτεμίδωρός φησι. Πυθέας δ' ὠστιαίους, τούτων δ' ἐξ εὐωνύμων οἱ κόσσινοι λεγόμενοι ὠστίωνες, οὓς Πυθέας ὠστιαίους προσαγορεύει.

Τὸ . ω . μέγα μετὰ τοῦ ταῦ.

Ω τηνὴ, μοῖρα ἀρμενίας. Κουάδρατος ἐν παρθικῶν τρίτῳ, ὁ δὲ τῆς ἀρμενίας βασιλεὺς Γάκορος ἐν τούτῳ περὶ ἀρτάξαντα, καὶ τὴν ὠτηνὴν τῆς ἀρμενίας διέπων. τὸ ἐθνικὸν, ὁ αὐτὸς ἐν τῷ δευτέρῳ, πρὸς δὲ κῦρον ποταμὸν, ὠβαρηνοί τε καὶ ὠτηνοὶ νέμονται, μέγα μέρος ἀρμενίας ὄντες.

Ω πιεῖς, μοῖρα κυπρίων. Ἔφορος ἐννεακαιδεκάτῳ, Ἀμαθούσιοι δὲ, καὶ σόλιοι, καὶ ὠπιεῖς ἀντέχοντες ἔτι τῷ πολέμῳ.

Τὸ . ω . μέγα μετὰ τοῦ φῖ.

Ω φθὶς, πόλις λιβύης, αἰγύπτῳ παρακειμένη. ὁ πολίτης, ὠφθίτης διὰ τὴν εἰς . ις . κατάληξιν τὴν εἰθισμένην αἰγυπτίοις τε, καὶ λίβυσι. τὸ μέντοι ὠφθὶς κατὰ χρῆσιν οὕτω τέως εὗρον.

ΤΕΛΟΣ.

Ἐτυπώθη ἐνετίῃσι παρ' Ἄλδῳ τῷ ῥωμαίῳ ἔτει ἀπὸ τῆς θεογονίας χιλιοστῷ πεντακοσιοστῷ δευτέρῳ, μηνὶ μουνιχιῶνι, οὐ μέντοι γ' ἄνευ προνομίου.

Α A. Β B. Γ C. Δ D. Ε E. Η G. Θ H. Ι I. Κ K. Λ L.

Ἅπαντά εἰσι τετράδια. πλὴν ἰστέον ὅτι μὴ εὑρόντες τοὐπίλοιπον τοῦ κάππα, εἰάσαμεν τόπον, ὡς εἰ τύχοι που τὶς ἐφεύροι, ἁρμοδίως ἂν κατὰ χῶρον ἐνθείη.

Venetiis apud Aldum Romanum mense Ianuario .M.DII. & cum Priuilegio ut in aliis.

Α A. Β B. Γ G. Δ D. Ε E. Η G. Θ H. Ι I. Κ K. Λ L.

Omnes sunt quaterni. Nota lector deesse hoc in libro quaternionem. ζ F. quia nō extat reliquum cappa literæ, relictus ē igitur locus, ut si forte quispiam, quod deest, aliquando inuenerit, illud cōmode huic libro queat adiungere.

2

20. 10.

RARA
440/75/21586(5)
X13<7521586500013

chbinderei
JOB KOHNERT
Berlin 12

75
21586

STEPHANVS
BYZANTINVS
1502

Rara

Freie Universität Berlin